Nachor autem Seruchi F. annos natus LXXIX, genuit Tharam; et deinde vixit annos CXXIX, et mortuus est, cum vixisset annos CCVIII.

Thara vero, annos natus LXX, genuit Abrahamum, Nachorem, et Aramum, patrem Loti: qui etiam ante patrem suum Tharam diem obiit. Thara autem vixit posthaec annos CXXXV, et mortuus est, cum vixisset annos CCV.

Temporibus autem praedictis gigas erat, ex Chami posteris, nomine

Νεβρώδ, υἱὸς Χοῦς τοῦ Αἰθίοπος, ἐκ φυλῆς Χάμ, ὃς κτίσας τὴν Βαβυλῶνα πόλιν καὶ πρῶτος καταδείξας κυνηγίαν καὶ μαγείαν Περσῶν ἐπρώτευσε, διδάξας αὐτοὺς ἀστρονομίαν καὶ ἀστρολογίαν, τῇ οὐρανίῳ κινήσει τὰ περὶ τοὺς τικτομένους πάντα δῆθεν σημαίνοντα· ἀφ᾽ ὧν Ἕλληνες τὴν γενεθλιαλογίαν μαθόντες ἤρξαντο τοὺς γενομένους ὑπὸ τὴν τῶν ἄστρων κίνησιν διαφέρειν. οὐκοῦν ἀστρονομία τε καὶ ἀστρολογία καὶ μαγεία ἀπὸ Μαγουσαίων, ἤτοι Περσῶν, ἤρξαντο· οἱ γὰρ Πέρσαι Μαγὼγ ὑπὸ τῶν ἐγχωρίων προσαγορεύονται, οἵ γε τὸν Νεβρὼδ λέγουσιν ἀποθεωθέντα καὶ γενόμενον ἐν τοῖς ἄστροις τοῦ οὐρανοῦ ὃν καλοῦσιν Ὠρίωνα, περὶ οὗ φησι Μωσῆς ὅτι γέγονεν ἡ ἀρχὴ τῆς βασιλείας αὐτοῦ Βαβυλὼν καὶ Χαλάνη ἐν γῇ Σεναάρ, ὅθεν ἐξῆλθε Φιλι- O 19 στιεὶμ ἐκ τῆς φυλῆς τοῦ Σὴμ τοῦ Ἀσσούρ, ἀφ᾽ οὗ Ἀσσύριοι. B

Καὶ κρατήσας τὴν Συρίαν καὶ τὴν Περσίδα καὶ τὰ λοιπὰ μέρη τῆς ἀνατολῆς ἀνεφάνη καὶ ἄλλος, υἱός τινος Οὐρανοῦ λεγομένου καὶ Ἀφροδίτης, γυναικὸς αὐτοῦ, γιγαντιαῖος, ὀνόματι Κρόνος κατὰ τὸ ὄνομα τοῦ πλανήτου ἀστέρος· γενόμενος δὲ καὶ οὗτος δυνατὸς πάνυ καὶ πολλοὺς ὑποτάξας καὶ κυριεύσας πρῶτος κατέδειξε τὸ βασιλεύειν καὶ κρατεῖν τῶν ἄλλων ἀνθρώπων. ὃς καὶ βασιλεύσας πρῶτος Συρίας ἔτη νϛ´ ὑπέταξε πᾶσαν

5. *σημαίνοντα*] Scribe *σημειούμενος*. 7. *Μαγουσαίων* cod., *Μαγουσάλων* Ox. 8. *ὑπὸ* cod., *ἀπὸ* Ox. 11. *Ὠρίωνα* Ch., *Ὠρίονα* Ox. *ibid. Μωσῆς*] Genes. X. 10. 12. *Φιλιστιεὶμ* cod., *Φιλιστεὶμ* Ox. „*ὅθεν ἐξῆλθε Φιλιστεὶμ* etc.] Ista non sunt hujus loci, quem hoc modo legendum puto: *ὅθεν ἐξῆλθεν ἐκ τῆς φυλῆς τοῦ Σὴμ ὁ Ἀσσούρ, ἀφ᾽ οὗ Ἀσσύριοι*. Vide Genes. cap. 10. ver. 10. et 11.“ Ch. Verba *ὅθεν ἐξῆλθε Φυλιστιείμ* leguntur Genes. X. 14. Conf. etiam Chron. Pasch. p. 36. B. 14. *μέρη* cod., *μέλη* Ox.

Nebrodus, Chusi Aethiopis filius. Babylonem urbem hic extruxit; arteque venandi et Magia adinventis, ipse Persis primus imperavit, Astronomia et Astrologia eos imbuens, et motu coelesti observato, omnia ex natali die mortalibus praedicens, a quibus Graeci Genethlialogiam accipientes, de natalitiis secundum astrorum motum judicare primum coeperunt. Astronomia itaque et Astrologia et Magia a Magusaeis, seu Persis ortae sunt. Persae enim Magog ab indigenis appellantur: qui etiam Nebrodum in coelitum ordinem relatum, eumque esse quem inter sidera Orionem vocant asserunt. De hoc dicit Moses: *Principium regni ejus Babylon et Chalane in terra Sennaar:* unde exivit Assur, Semi F. a quo Assyrii dicti sunt.

Extitit et alius gigantaeae staturae, Coeli cujusdam et Veneris filius, Saturnus, a Planetae nomine dictus: qui Syriam, Persidem, reliquasque Orientis regiones sibi subjectas habuit. Hic, cum ad potentiam magnam esset evectus, imperioque suo multos subjecisset, primus regnandi modum, aliosque sub jugum mittendi ostendit: Qui cum Syriae regno primus per annos LVI potitus fuisset, Persidem sibi omnem facto a Syria

τὴν Περσίδα, ἀρξάμενος ἀπὸ τῆς Συρίας. ἔχων δὲ γυναῖκα Σεμίραμιν, τὴν καὶ Ῥέαν καλουμένην παρὰ Ἀσσυρίοις, ἔσχεν καὶ υἱοὺς δύο καὶ θυγατέρα μίαν, καὶ τὸν μὲν προσηγόρευσε Δία C εἰς ὄνομα τοῦ πλανήτου ἀστέρος, τὸν δὲ ἐπωνόμασε Νίνον, καὶ τὴν θυγατέρα Ἥραν, ἣν καὶ ἔλαβεν εἰς γυναῖκα Πῖκος ὁ καὶ Ζεύς, τὴν ἰδίαν ἀδελφήν.

Μετὰ δὲ Κρόνον ἐβασίλευσε Νίνος, ὁ υἱὸς αὐτοῦ, ἔτη νβʹ. ὅς γε τὴν ἰδίαν μητέρα Σεμίραμιν λαβὼν εἰς γυναῖκα, νόμος ἐγέ- O 20 νετο Πέρσαις λαμβάνειν τὰς ἑαυτῶν μητέρας καὶ ἀδελφὰς διὰ τὸ καὶ τὸν Δία λαβεῖν τὴν ἰδίαν αὐτοῦ ἀδελφὴν Ἥραν ὁ καὶ Πῖκος λεγόμενος. ὁ δὲ Νίνος ἐπικρατὴς γενόμενος τῆς Συρίας, καὶ κτίσας πόλιν μεγίστην σφόδρα, πορείας ὁδοῦ ἡμερῶν τριῶν, ἐκάλεσεν αὐτὴν εἰς ὄνομα αὐτοῦ Νινευί, καὶ πρῶτος ἐν αὐτῇ βασιλεύει. ἐξ οὗ ἐγένετο καὶ Ζωρόαστρος ὁ περιβόητος Περσῶν ἀστρονόμος· ὃς μέλλων τελευτᾶν ηὔχετο ὑπὸ οὐρανίου πυρὸς D ἀναλωθῆναι, εἰπὼν τοῖς Πέρσαις, Ἐὰν καύσῃ με τὸ πῦρ, ἐκ τῶν καιομένων μου ὀστέων λάβετε καὶ φυλάξατε, καὶ οὐκ ἐκλείψει τὸ βασίλειον ἐκ τῆς χώρας ὑμῶν, ἕως οὗ φυλάττεται τὰ ὀστᾶ μου. καὶ εὐξάμενος τῷ Ὠρίωνι ὑπὸ ἀερίου πυρὸς ἀνηλώθη, καὶ λαβόντες οἱ Πέρσαι ἀπὸ τῶν τεφρωθέντων ὀστέων αὐτοῦ ἔχουσι φυλάττοντες ἕως ἄρτι.

1. 8. *Σεμίραμιν* Ch., *Σεμήραμιν* Ox. 3. 5. *θυγατέρα* Ch., *θυγατέραν* Ox. 3. 10. *Δία* Ch., *Δίαν* cod., *Δάν* Ox. 4. *Νῖνον* hic et infra Ox. 10. *ὁ καὶ Πῖκος λεγόμενος*] Dele vel scribe *τὸν καὶ Πῖκον λεγόμενον.* 14. *καὶ* ante *Περσῶν* delevi cum Chron. Pasch. p. 37. C, Cedreno p. 16. B. 19. *Ὠρίωνι* Ch., *Ὠρίονι* Ox. 20. *τεφρωθέντων* Ox., *τεφροθέντων* cod.

initio subjecit. Uxor huic fuit Semiramis, apud Assyrios Rhea appellata: ex qua filios duos et filiam habuit: illorum vero alterum Jovem, juxta Planetae nomen, alterum Ninum vocavit: filiae autem nomen erat Juno; quam etiam frater ejus Picus, qui et Jupiter dictus est, in uxorem duxit.

Post Saturnum regnavit filius ejus Ninus, annis LII, qui matrem suam Semiramidem habuit uxorem: unde Persis lex nata matres et sorores in tori consortium asciscendi; eo quod Jupiter Picus etiam sororem suam Junonem duxisset uxorem. Ninus autem Syriae regno potitus, urbem condidit magnam itinere trium dierum, quam a nomine suo Niniven vocavit, in qua etiam primus regnavit. Ex hujus stirpe prodiit Zoroaster, celeberrimus ille Persarum Astronomus; qui moriturus votis expetebat, ut ab igne coelesti exureretur; Persisque haec praecepit: „Si me coelestis ignis consumpserit, crematorum ossium meorum reliquias sumite et servate; nec regnum a regione vestra tolletur quamdiu ossa mea custodietis.“ Invocato itaque Orione, ab igne coelesti absumptus est: Persae autem, quod ille praeceperat executi, ossium ejus reliquias collegerunt; quas etiamnum custodiunt.

Μετὰ δὲ Νίνον ἐβασίλευσεν Ἀσσυρίων Θούρας τις τοὔνομα ἔτη λ', ὃν καὶ μετωνόμασαν Ἄρεα εἰς ὄνομα τοῦ πλανήτου ἀστέ-
ρος. ᾧτινι Ἄρεϊ πρῶτον στήλην ἀναστήσαντες Ἀσσύριοι καὶ V 8
ὡς θεὸν μέχρι τοῦ νῦν προσκυνοῦντες καλοῦσι περσιστὶ Βάαλ θεόν, τουτέστιν Ἄρης πολεμικός. οὗ καὶ Δανιὴλ μέμνηται ὡς προσκυνουμένου παρὰ Περσῶν καὶ λατρευομένου.

Μετὰ δὲ Ἄρεα ἐβασίλευσε Λάμης ἔτη κ'. μετὰ δὲ Λάμην O 21
ἐβασίλευσε Σαρδανάπαλος ὁ μέγας ἔτη λε', καὶ ἐσφάγη ὑπὸ τοῦ Περσέως. οἱ δέ γε κόλακες καὶ μιμηταὶ τῆς ἐκείνου φιλοσαρκίας καὶ γαστριμαργίας καὶ οἰστρηλασίας ἐπέγραψαν ὡς ἐξ αὐτοῦ δῆθεν τῷ τάφῳ αὐτοῦ τοιάδε. Τόσ' ἔχω ὅσ' ἐφύβρισα καὶ ἔφαγόν τε καὶ ἔπιον καὶ μετ' ἔρωτος τερπνοῦ ἐπολιτευσάμην. παθόντα δὲ πολλὰ καὶ ὄλβια πάντα λέλειπται· καὶ γὰρ νῦν σπόδος εἰμὶ Νίνου μεγάλης βασιλεύσας.

Ὁ δὲ ἀδελφὸς τοῦ Νίνου Πῖκος ὁ καὶ Ζεὺς βασιλεύων B
τῆς Ἰταλίας ἐπέμεινεν. ἐν δὲ τοῖς αὐτοῖς χρόνοις οὔτε πόλις οὔ-

5. *Δανιὴλ*] XII. 11. *τόσ' ἔχω ὅσ' ἐφύβρισα* etc.] „Habemus hic Epigrammatis metrici partem in prosam conversam. Extat Epigramma hoc Epigram. l. 3. Ep. 152. cujus primum distichon sic se habet.

Τόσσ' ἔχω, ὅσσ' ἔφαγον, καὶ ἐφύβρισα, καὶ μετ' ἔρωτος
Τέρπν' ἐδάην· τὰ δὲ πολλὰ καὶ ὄλβια κεῖνα λέλειπται.

ubi pro *ἐδάην*, Scholiastes legit *ἔπαθον*, uti noster habet: et pro *λέλειπται*, Athenaeus habet *λέλυνται*. Caeterum neutra harum lectionum Auctori nostro usui esse potest, cum dixisset potius *λέλειφε*, vel *λέλοιπε*. Atque huc usque habes (Lector) Excerptorum Chronologicorum Auctorem Anonymum; ex quo ea tantum mutuati sumus quae apud Jo. Malalam desunt. Paginam sequentem ex Chr. Alex. descripsimus; scilicet ut omnia rite connectantur. Atque hoc facientes, non tam commodato accipimus, quam nostra reposcimus. Cum enim sequentia *αὐτολεξεὶ* ex nostro descripta videantur, non est quod de praecedentibus in eadem, saltem Pici Jovis, Mercurii, et Vulcani historia, dubitemus.“ Ch. 15. seq. *Πῖκος* Ch., *Πῆκος* Chron.

Post Ninum vero Assyriis imperavit Thuras quidam, annos xxx, quem etiam Martem, a Planetae nomine, appellarunt. Huic Assyrii primam excitantes statuam, eumque etiamnum pro Deo colentes, lingua Persica Baalem deum vocant; id est, Martem bellatorem. Hunc etiam a Persis cultum, et pro Deo habitum fuisse, memorat Daniel.

Post Martem regnavit Lames, annis xx: post hunc vero regnum habuit Sardanapalus ille magnus, per annos xxxv; qui a Perseo occisus est. Hujus adulatores, et carnalitatis ejus, ingluviei, libidinisque imitatores, tumulo ejus, tanquam ab ipso prolata, haec inscripserunt. Ea habeo, quae petulanter profudi, edi, bibi, dulcique amori indulsi: multa vero et beata expertus, omnibus destituor. Cinis enim nunc sum, qui Ninivae olim imperavi.

Caeterum Jupiter Picus, Nini frater, Italiae regnum tenuit. Ea tempestate nec urbs ulla, nec domicilium erat in occidente; sed simpli-

τε διοίκησίς τις ἦν ἐν τῇ δύσει, ἀλλὰ ἁπλῶς ᾠκεῖτο πᾶσα ἡ γῆ ἐκείνη ἀπὸ τῶν μετοικησάντων ἐκεῖ ἐκ τῆς φυλῆς τοῦ Ἰάφεθ, υἱοῦ Νῶε.

Ἔζησεν δὲ Πῖκος ὁ καὶ Ζεὺς ἔτη ρκ', κρατῶν τὴν δύσιν καὶ
O 22 *βασιλεύων αὐτῆς. καὶ ἔσχεν υἱοὺς πολλοὺς καὶ θυγατέρας ἀπὸ τῶν εὐπρεπῶν γυναικῶν. ἔσχεν δὲ αὐτὸς Πῖκος ὁ καὶ Ζεὺς υἱὸν ὀνόματι Φαῦνον, ὃν καὶ Ἑρμῆν ἐκάλεσεν εἰς ὄνομα τοῦ πλανήτου ἀστέρος.*

Μετὰ δὲ τὴν τελευτὴν τοῦ αὐτοῦ Πίκου τοῦ καὶ Διὸς ἐβασί-
C *λευσεν ὁ υἱὸς αὐτοῦ Φαῦνος ὁ καὶ Ἑρμῆς τῆς Ἰταλίας ἔτη τριάκοντα πέντε, ὃς ἦν ἀνὴρ πανοῦργος καὶ μαθηματικός· ὅστις ἐφεῦρεν τὸ μέταλλον τοῦ χρυσίου ἐν τῇ δύσει πρῶτος καὶ τὸ χωνεύειν. γνοὺς δὲ ὅτι διαφθονοῦνται αὐτῷ οἱ ἀδελφοὶ αὐτοῦ οἱ ἀπὸ τῶν γυναικῶν ὧν ἔσχεν Πῖκος ὁ καὶ Ζεύς, ὁ αὐτοῦ πατήρ· ἠβούλοντο γὰρ αὐτὸν φονεῦσαι, ὡς ὄντες πολλοί, περί που ἑβδομήκοντα· μετὰ γὰρ πολλῶν συμμιγνύμενος γυναικῶν ἐτεκνοποίησεν ὁ Ζεύς· πολὺ χρυσίον ἐγκολπωσάμενος εἰς ὑπερβολὴν ἀνεχώρησεν, καὶ ἀπέρχεται εἰς τὴν Αἴγυπτον πρὸς τὴν φυλὴν τοῦ Χάμ, υἱοῦ Νῶε, οἵτινες ἐδέξαντο αὐτὸν ἐν τιμῇ. καὶ διέτριβεν ἐκεῖ ὑπερηφανῶν πάντας, καὶ φορῶν τὴν χρυσῆν στολὴν ἐφιλοσόφει*
D *παρὰ τοῖς Αἰγυπτίοις, λέγων αὐτοῖς μαντείας μελλόντων· ἦν γὰρ φύσει σφόδρα λογικός· καὶ προσεκύνουν αὐτόν, λέγοντες θεὸν Ἑρμῆν, ὡς λέγοντα τὰ μέλλοντα καὶ διακονοῦντα αὐτοῖς ἐκ τοῦ*

9. *Πήκου τοῦ* Ox., *τοῦ Πήκου* Chron. p. 44. C.

cem agrestemque vitam illarum partium incolae, qui ex Japheti, Noae filii, stirpe profecti erant, agebant.

Vixit autem Jupiter Picus annos cxx, Occidentis rex; multosque filios ac filias ex praestantibus forma mulieribus suscepit: inter quos ei natus est filius, nomine Faunus, quem etiam a Planetae nomine, Mercurium vocavit.

Defuncto vero Jove Pico, Italiae regnum per annos xxxv administravit filius ejus Faunus, qui et Mercurius dictus est. Subtilis erat hic ingenii, artiumque Mathematicarum peritus; qui et aurum primus in Occidente reperit, ejusque conflandi rationem. Verum cum intellexisset se apud fratres suos patri Jovi de variis pellicibus natos invidia laborare; (ejus enim interimendi consilium ceperant; ut qui numero essent circiter septuaginta: Jupiter enim cum plurimis consueverat mulieribus, liberosque multos ex eis susceperat) ingenti auri pondere convasato, Italiaque relicta, in Aegyptum se contulit, ad gentem a Chamo Noae filio oriundam; a qua perhonorifice exceptus est. Qui dum ibi degeret, prae se contempsit omnes; vestemque ferens auream, philosophabatur apud Aegyptios, futuraque eis praedicebat: Natura enim perquam erat ingeniosus. Adorarunt itaque eum, et Deum Mercurium appellarunt; ut qui fu-

θεοῦ τῶν μελλόντων τὴν ἀπόκρισιν καὶ παρέχοντα αὐτοῖς χρήμα-
τα. ὅντινα καὶ πλουτοδότην ἐκάλουν, ὡς τὸν χρυσὸν θεὸν ὀνο-
μάζοντες.

Ὅτε οὖν αὐτὸς Ἑρμῆς εἰς τὴν Αἴγυπτον ἦλθεν, ἐβασίλευσε O 23
τῶν Αἰγυπτίων τότε ἐκ τοῦ γένους τοῦ Χὰμ ὁ Μεστραΐμ. οὗ-
τινος τελευτήσαντος ἐποίησαν οἱ Αἰγύπτιοι τὸν Ἑρμῆν βασιλέα.
καὶ ἐβασίλευσε τῶν Αἰγυπτίων ἔτη λθʹ ἐν ὑπερηφανίᾳ.

Καὶ μετ᾽ αὐτὸν ἐβασίλευσε τῶν Αἰγυπτίων ὁ Ἥφαιστος ἡμέ-
ρας ͵αχπʹ, ὡς γενέσθαι ἔτη δʹ, μῆνας ζʹ, ἡμέρας γʹ· οὐκ ᾔδεισαν E
γὰρ τότε ἐνιαυτοὺς μετρεῖν οἱ Αἰγύπτιοι, ἀλλὰ τὴν περίοδον τῆς
ἡμέρας ἐνιαυτοὺς ἔλεγον. τὸν δὲ αὐτὸν Ἥφαιστον θεὸν ἐκάλουν·
ἦν γὰρ πολεμιστὴς καὶ μυστικός. ὅστις ἐλθὼν εἰς πόλεμον συνέ-
πεσεν σὺν τῷ ἵππῳ αὐτοῦ, καὶ πληγεὶς ἔμεινε χωλεύων.

Ὁ δὲ αὐτὸς Ἥφαιστος νόμον ἔθηκε τὰς Αἰγυπτίας γυναῖκας
μονανδρεῖν καὶ σωφρόνως διάγειν, τὰς δὲ ἐπὶ μοιχείαν εὑρισκο-
μένας τιμωρεῖσθαι. καὶ ηὐχαρίστησαν αὐτῷ οἱ Αἰγύπτιοι, διότι V 9
πρῶτον νόμον σωφροσύνης τοῦτον ἐδέξαντο.

Ὁ δὲ αὐτὸς Ἥφαιστος ἀπὸ μυστικῆς τινος εὐχῆς τὴν ὀξυλά- O 24
βην ἐδέξατο ἐκ τοῦ ἀέρος εἰς τὸ κατασκευάζειν ἐκ σιδήρου ὅπλα·
ὅθεν καὶ ἐπικρατὴς σιδήρου ηὑρέθη εἰς τοὺς πολέμους· ἀπεθέω-

4. καὶ ante ἐβασίλευσε delendum vidit Ch. 5. Μεστρέμ Chron. 9. γίνεσθαι Ox. *ibid.* ᾔδεισαν Ch., εἴδησαν Chron.

tura praenuntiaret, illisque a Deo responsa de futuris velut internuntius referret, opesque eis subministraret: unde et Opum Largitor Aureusque Deus vocatus est.

Mercurio vero in Aegyptum veniente, Aegyptiis regnavit Mesremus, ex Chami gente oriundus: cui fatis functo Aegyptii Mercurium suffecerunt regem: qui annis XXXIX superbe admodum imperitavit.

Post hunc Aegyptiis imperavit Vulcanus per dies CIƆDCLXXX, sive annos IV, menses VII, et dies III. Nesciebant enim tum temporis Aegyptii annos definire; sed diei circuitus pro annis numerabant. Vulcanum porro hunc Deum appellarunt; bellicosus enim erat et ingeniosus: qui in bellum profectus, cum una cum equo suo corruisset, exinde claudicavit.

Hic Vulcanus lege condita sanxit, uti foeminae Aegyptiae unico contentae viro vitam caste agerent; adulterae autem deprensae uti poenas darent. Grataner hoc a Vulcano tulerunt Aegyptii, quod primam hanc continentiae legem accepissent.

Idem Vulcanus mystica quadam precula forcipem ex aëre, ad arma e ferro fabricanda, impetravit: unde et Ferri Domitor in belli usum factus est. In Deorum itaque numerum, ob legem continentiae latam, et

σαν οὖν αὐτόν, ὡς σωφροσύνην νομοθετήσαντα καὶ τροφὴν ἀνθρώποις διὰ κατασκευῆς ὅπλων εὑρηκότα καὶ ἐν τοῖς πολέμοις δύναμιν καὶ σωτηρίαν ποιήσαντα· πρὸ γὰρ αὐτοῦ ῥοπάλοις καὶ λίθοις ἐπολέμουν.

quod mortalibus ex armorum fabricatione victus parandi rationem ostendisset, simulque ad potentiam in bellis victoriamque adipiscendam viam aperuisset, relatus est. Ante ipsum enim fustibus et lapidibus praeliabantur.

ΙΩΑΝΝΟΥ ΜΑΛΑΛΑ

ΧΡΟΝΟΓΡΑΦΙΑ.

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ.

Μετὰ δὲ τελευτὴν Ἡφαίστου ἐβασίλευσεν Αἰγυπτίων ὁ υἱὸς αὐ- O 25
τοῦ Ἥλιος ἡμέρας ͵δυοζʹ, ὡς εἶναι ἔτη ιβʹ καὶ ἡμέρας ϟζʹ· οὐ B
γὰρ ᾔδεισαν οἱ Αἰγύπτιοι τότε ἢ ἄλλοι τινὲς ἀριθμὸν ψηφίσαι,
ἀλλ᾽ οἱ μὲν τὰς περιόδους τῆς σελήνης ἐψήφιζον εἰς ἐνιαυτούς, οἱ
δὲ τὰς περιόδους τῶν ἡμερῶν εἰς ἔτη ἐψήφιζον· οἱ γὰρ τῶν ιβʹ

Inscriptio libri periit cum ipso eius initio. Chilmeadus quam posuit, *Χρονογραφία Ἰωάννου Μαλάλα*, sumpsit ab Ioanne Damasceno ed. Leq. vol. I. p. 368., qui *ἐκ τῆς Χρονογραφίας Ἰωάννου Ἀντιοχείας τοῦ καὶ Μαλάλα* afferens locum de haemorrousa p. 100. seq. operis auctorem prodidit Gregorio. v. Hodii Proleg. XLIII. Minus accurata videtur quam habet praefatio Eclogarum Constantini Porphyrogeniti p. 5. ed. Vales. *Ἰωάννου τοῦ ἐπίκλην Μαλέλα χρονικῆς* vel *Io. Malclae historiae* in earundem Eclogarum codice Turonensi apud Haenelium Catalog. p. 483. Post *λόγος δεύτερος*, quae et ipsa desunt codici, addenda notatio temporum hoc libro comprehensorum.

1. *Μετὰ δὲ τελευτὴν Ἡφαί*[*στου, ἐβασίλ.*] „Huc usque Chr. Alex. Author; deinceps Antiochenum ipsum habes.“ Ch. 2. *͵δυοξʹ* Ch., Chron. Pasch. p. 45. D, Ioannes Antioch. apud Ducangium p. 499., *͵δυξʹ* Ox. 3. *ἢ ἄλλοι τινὲς ἀριθμὸν*] *ἢ ἄλλον τινὰ ἀριθμὸν* Chron. Pasch., *ἢ ἄλλοι τινὲς ἐνιαυτὸν* Ioannes.

CHRONOGRAPHIA JOANNIS MALALAE.

Post mortem vero Vulcani, regnavit ad Aegyptum filius ejus Sol, per spatium 4407 dierum: ex quibus emergunt anni duodecim, cum diebus 97. Illis enim temporibus nec Aegyptii, nec alii ulli alium ab hoc habuere computandi modum: sed revolutiones hi Lunares, illi vero dierum periodos pro annis enumerabant. Modus vero per duodecim menses sup-

μηνῶν ἀριθμοὶ μετὰ ταῦτα ἐπενοήθησαν, ἐξότε ἐπωνομάσθη τὸ
O 26 ὑποτελεῖς εἶναι τοὺς ἀνθρώπους τοῖς βασιλεῦσιν. ὁ δὲ αὐτὸς Ἥλιος, ὁ υἱὸς Ἡφαίστου, ἦν φιλότιμος δυνατός· ὅστις ἐδιδάχθη ὑπό τινος ὡς γυνή τις Αἰγυπτία τῶν ἐν εὐπορίᾳ καὶ ἀξίᾳ οὐσῶν παρ' αὐτοῖς ἐρῶσά τινος ἐμοιχεύετο ὑπ' αὐτοῦ. καὶ
C ἀκούσας ὁ Ἥλιος ἐζήτησεν αὐτὴν πιάσαι διὰ τὴν τοῦ πατρὸς αὐτοῦ Ἡφαίστου νομοθεσίαν, ἵνα μὴ λυθῇ· καὶ λαβὼν στρατιώτας ἐκ τοῦ ἰδίου στρατοῦ, μαθὼν τὸν καιρὸν τῆς μοιχείας αὐτῆς γίνεσθαι νυκτῶν, ἐπιῤῥίψας αὐτῇ τοῦ ἀνδρὸς αὐτῆς μὴ ὄντος αὐτόθι, εὗρεν αὐτὴν μετὰ ἄλλου καθεύδουσαν τοῦ ἐρωμένου παρ' αὐτῆς. ἥντινα εὐθέως καταγαγὼν ἐπόμπευσεν ἐν πάσῃ τῇ χώρᾳ τῆς Αἰγύπτου τιμωρησάμενος· καὶ γέγονε σωφροσύνη μεγάλη ἐν τῇ γῇ τῆς Αἰγύπτου· κἀκεῖνον δὲ τὸν μοιχὸν ἀνεῖλε, καὶ εὐχαριστήθη. περὶ οὗ ἱστορεῖ ποιητικῶς Ὅμηρος ὁ ποιητὴς ὡς ὁ Ἥλιος, φησίν, ἤλεγξε τὴν Ἀφροδίτην συμμιγνυμένην νυκτὸς Ἄρεϊ· Ἀφροδίτην δὲ ἐκάλεσε τὴν ἐπιθυμίαν τῆς πορνείας ἀπὸ τοῦ Ἡλίου βα-
D σιλέως ἐλεγχθεῖσαν. τὸ δὲ ἀληθές, ὡς προγέγραπται, Παλαίφατος ὁ σοφώτατος χρονογράφος συνεγράψατο.

Μετὰ δὲ τὴν τελευτὴν Ἡλίου βασιλέως, υἱοῦ Ἡφαίστου, ἐβασίλευσε τῶν Αἰγυπτίων Σῶσις, καὶ μετὰ τὴν βασιλείαν αὐτοῦ ἐβασίλευσεν Ὄσιρις, καὶ μετὰ Ὄσιριν ἐβασίλευσεν Ὧρος, καὶ μετὰ Ὧρον ἐβασίλευσε Θοῦλις, ὃς παρέλαβε μετὰ δυνάμεως πολ-

1. ἐπωνομάσθη] ἐνομίσθη Chron., ἐπενοήθη Ioannes. 3. φιλότιμος] φιλόσοφος Chron. 5. οὐσῶν Hodius ex Chron., οὖσα Ox. 6. Post ἀκούσας omisi ἀπ' αὐτοῦ cum Chron.

putandi tum demum obtinuit, cum Regibus vectigales fieri coeperunt Mortales. Sol vero, Vulcani F. potens fuit et gloriae cupidus: Qui a quodam edoctus, foeminam quandam Aegyptiam, opibus et dignitate florentem, cum quodam amasio suo adulterii consuetudinem habere; in studiis habuit illam prehendere, quo Legem a Patre latam praestaret inviolatam. Certior itaque factus, tempus quo congressuri erant jam instare; delectis militibus stipatus, noctu illam adoritur: deprensamque, per absentiam viri cum Amasio suo decumbentem, extraxit: et per omnem Aegyptum circumferri jussit, graviter in illam animadvertens. Moechum vero ipsum morte multavit: quo facto gratiam sibi conciliavit; Aegyptii vero omnes uti Castitatem colerent, effecit. De his autem Homerus Poëta, more suo, fabulatur, ubi tradit; Solem deprehendisse Venerem cum Marte noctu cubantem. Per Venerem vero intelligit coëundi libidinem, a sole rege reprehensam: rem ipsam vero uti a nobis exposita est, Palaephatus sapientissimus Chronographus literis consignavit.

Post mortem vero Solis Vulcani filii, Aegyptiis imperavit Sosis: post hunc regnavit Osiris; Osiridem excepit Horus: et Horum Thulis. Hic ingenti instructus exercitu, omnem circa regionem, usque ad Oceanum,

λῆς πᾶσαν τὴν γῆν ἕως τοῦ Ὠκεανοῦ. καὶ ἐν τῷ ὑποστρέφειν ἦλ- O 27
θεν ἐπὶ τὴν Ἀφρικὴν χώραν εἰς τὸ μαντεῖον ἐν ὑπερηφανίᾳ· καὶ V 10
θυσιάσας ἐπυνθάνετο λέγων, Φράσον μοι, πυρισθενές, ἀψευδές, μάκαρ, ὁ τὸν αἰθέριον μετεγκλίνων δρόμον, τίς πρὸ τῆς ἐμῆς βασιλείας ἠδυνήθη ὑποτάξαι τὰ πάντα, ἢ τίς μετ' ἐμέ; καὶ ἐδόθη αὐτῷ χρησμὸς οὗτος. Πρῶτα θεός, μετέπειτα λόγος καὶ πνεῦμα σὺν αὐτοῖς· σύμφυτα δὲ πάντα καὶ εἰς ἓν ἰόντα, οὗ κράτος αἰώνιον. ὠκέσι ποσὶ βάδιζε, θνητέ, ἄδηλον διανύων βίον. καὶ εὐθέως ἐξελθὼν ἐκ τοῦ μαντείου, συσκευασθεὶς ὑπὸ τῶν ἰδίων [εὐθέως] ἐσφάγη ἐν τῇ Ἀφρικῇ. ταῦτα δὲ παλαιὰ καὶ ἀρχαῖα βασίλεια τῶν Αἰγυπτίων Μανέθων συνεγράψατο· ἐν οἷς συγγράμμασιν αὐτοῦ ἐμφέρεται ἄλλως λέγεσθαι τὰς ἐπωνυμίας τῶν πέντε πλανητῶν ἀστέρων. τὸν γὰρ λεγόμενον Κρόνον B
ἀστέρα ἐκάλουν τὸν λάμποντα, τὸν δὲ Διὸς τὸν φαέθοντα, τὸν δὲ Ἄρεος τὸν πυρώδη, τὸν δὲ Ἀφροδίτης τὸν κάλλιστον, τὸν δὲ Ἑρμοῦ τὸν στίλβοντα· ἅτινα μετὰ ταῦτα Σωτάτης ὁ σοφώτατος ἡρμήνευσε.

Καὶ λοιπὸν ἐν τοῖς μετὰ ταῦτα χρόνοις ἐβασίλευσεν Αἰγυπτίων πρῶτος ἐκ τῆς φυλῆς τοῦ Χὰμ Σῶστρις· ὅστις ὁπλισάμε- O 28
νος ἐπολέμησεν Ἀσσυρίοις, καὶ ὑπέταξεν αὐτοὺς καὶ τοὺς Χαλδαίους καὶ Πέρσας ἕως Βαβυλῶνος. ὁμοίως δὲ ὑπέταξε καὶ τὴν Ἀσίαν καὶ τὴν Εὐρώπην πᾶσαν καὶ τὴν Σκυθίαν καὶ τὴν Μυ-

3. πυρισθενές Chron. et MS. apud Bentleium Epist. p. 11. XV., πυρισθένη Ox. De sequenti oraculo vide annotationem ad Chron. 10. εὐθέως om. Chron. et Cedrenus p. 20. B. 15. πυρώδη Chron., πυρόην Ox. 16. Σωτάτης] Σωτάδης?

in potestatem suam redegit. In reditu autem suo per Africam iter faciens, Oraculum superbus adiit; Sacrisque peractis, Pythium in haec verba tentavit. „Dic mihi, Ignipotens, Veridice, Beate, aetherium cursum qui flectis; Quis, ante Me, omnia sibi subjicere potuit; aut quis, post Me, poterit? Respondit Oraculum. Primum Deus: deinde verbum; cumque his Spiritus. Congenita sunt haec omnia, in unumque fiunt; cujus potestas aeterna est. Fac cito discedas Mortalis, quem Fata manent incerta.“ Ille vero statim Fano egressus, per insidias interemptus est a suis in Africa. Haec autem de regibus Aegypti antiquissima Monumenta Manetho tradidit: cujus etiam ex scriptis apparet aliter olim appellatos fuisse quinque Planetas. Quem enim alii Saturnum, illi Lampontem nominabant: Jovem, Phaëthontem: Martem Pyroem: Venerem, Callistum: et Mercurium, Stilbontem: quae nomina post temporis sapientissimus Sotates exposuit.

Posteris autem temporibus regnavit ad Aegyptum, ex Chami filiis, primum Sostris. Hic expeditionem in Assyrios adornavit; quibus etiam, una cum Chaldaeis Persisque, Babylonem usque, in potestatem suam redactis; Asiam quoque et Europam omnem, Scythiam etiam Mysiamque

σίαν. καὶ ἐν τῷ ὑποστρέφειν αὐτὸν ἐπὶ τὴν Αἴγυπτον ἐκ τῆς
C *χώρας τῆς Σκυθίας ἐπελέξατο ἀνδρῶν νεανίσκων πολεμιστῶν χιλιάδας ιε'· οὕστινας μετανάστας ποιήσας ἐκέλευσεν αὐτοὺς οἰκεῖν ἐν Περσίδι, δόσας αὐτοῖς χώραν ἐκεῖ οἵαν αὐτοὶ ἐπελέξαντο. καὶ ἔμειναν ἐν Περσίδι οἱ αὐτοὶ Σκύθαι ἐξ ἐκείνου ἕως τῆς νῦν· οἵτινες ἐκλήθησαν ἀπὸ τῶν Περσῶν Πάρθοι, ὅ ἐστιν ἑρμηνευόμενον Περσικῇ διαλέκτῳ Σκύθαι· οἳ καὶ τὴν φορεσίαν καὶ τὴν λαλιὰν*
O 29 *καὶ τοὺς νόμους Σκυθῶν ἔχουσιν ἕως τῆς νῦν, καὶ εἰσὶ μαχιμώτατοι ἐν πολέμοις, καθὼς Ἡρόδοτος ὁ σοφώτατος συνεγράψατο.*

Ἐν τοῖς χρόνοις τῆς βασιλείας τοῦ προειρημένου Σώστρου ἦν Ἑρμῆς ὁ Τρισμέγιστος ὁ Αἰγύπτιος, ἀνὴρ φοβερὸς ἐν σοφίᾳ· ὃς ἔφρασε τρεῖς μεγίστας ὑποστάσεις εἶναι τὸ τοῦ ἀῤῥήτου καὶ δη-
D *μιουργοῦ ὄνομα, μίαν δὲ θεότητα εἶπε· διὸ καὶ ἐκλήθη ἀπὸ τῶν Αἰγυπτίων Τρισμέγιστος Ἑρμῆς. ἐμφέρεται γὰρ ἐν διαφόροις αὐτοῦ λόγοις πρὸς Ἀσκληπιὸν εἰρηκὼς περὶ θεοῦ φύσεως ταῦτα. εἰ μὴ πρόνοιά τις ἦν τοῦ πάντων κυρίου ὥστε μοι τὸν λόγον τοῦτον ἀποκαλύψαι, οὐδὲ ὑμᾶς τοιοῦτος ἔρως κατεῖχεν, ἵνα περὶ τούτου ζητήσαιτε· οὐ γὰρ ἐφικτόν ἐστιν εἰς ἀμυήτους τοιαῦτα μυστήρια παρέχεσθαι, ἀλλὰ τῷ νοῒ ἀκούσατε. ἓν μόνον ἐστὶ τὸ φῶς νοερὸν πρὸ φωτὸς νοεροῦ· καὶ ἦν ἀεὶ νοῦς νοὸς φωτεινός,*

1. *τῆς*] *τὸν* Ox. 6. *ἀπὸ*] *ὑπὸ* Larcher. ad Herod. vol. I. p. 402. frustra. 12. *δημιουργοῦ*] Adde *θεοῦ* cum Chron. et Cedreno. 15. *Ἀσκλήπιον* Ox. hic et 112. A. 16. *μοι*] Sic et Chron., *με* Cyrillus c. Iulianum I. p. 35. C ed. Spanh. 18. *ζητήσετε* Ox., *ζητήσητε* Cyr., *ζητήσεται* Chron. *ibid.* *εἰς* addidi ex Cyrillo et Chron. 19. *ἓν μόνον* praecedentibus iungit Chron., om. Cedrenus et Suidas v. *Ἑρμῆς*. *ibid.* *ἐστὶ τὸ*] *ἦν* Cyrillus p. 35. A, Chron, Cedrenus, Suidas. 20. *ἦν*] *ἐστὶν* Cyrillus. *ibid.* *φωτεινός* Ch., *φωτινός* Ox.

subegit. Reversurus autem a Scythis in Aegyptum, selegit ex flore juventutis eorum quindecim Millia: quos in Persidem translatos, sedes ibi figere jussit; data eis, quam ipsi delegissent, regione. Exinde vero ad hoc usque tempus Scythae Persidem habitarunt: qui a Persis etiam Parthi dicti sunt: quod lingua Persica Scythae sonat. Retinuerunt autem adhuc Parthi isti vestitum, linguam legesque Scytharum; et in bello fortissimi sunt: sicuti scriptum reliquit sapientissimus Herodotus.

In diebus autem supradicti regis Sostris, floruit Mercurius Trismegistus, Aegyptius, vir eruditionis stupendae, qui pronunciavit, Dei Creatoris ineffabile nomen tres esse maximos Personas, Deitatem vero unam. Unde et ab Aegyptiis, Mercurius *Trismegistus*, i. e. Termaximus appellatus est. Invenitur enim in variis ejus scriptis ad Aesculapium, de Dei natura verba faciens, in hunc modum. „Si non daretur Providentia Numinis omnia gubernantis, per quam hoc ipsum mihi revelatum esset; non utique tantus vos ardor incessisset de hoc quaerendi. Neque possibile est Profanos hujusmodi proferre Mysteria: sed mentem advertite. Una tantum est Lux intelligens, ante Lucem intelligentem; et semper erat

καὶ οὐδὲν ἕτερον ἦν ἢ ἡ τούτου ἑνότης, ἀεὶ ἐν αὐτῷ ὢν ἀεὶ τῷ O 30
αὑτοῦ νοΐ καὶ φωτὶ καὶ πνεύματι πάντα περιέχει. ἐκτὸς τούτου
οὐ θεός, οὐκ ἄγγελος, οὐ δαίμων, οὐκ οὐσία τις ἄλλη· πάν-
των γὰρ κύριος καὶ θεός, καὶ πάντα ὑπ' αὐτὸν καὶ ἐν αὐτῷ ἐστιν. E
ὁ γὰρ λόγος αὐτοῦ προελθὼν παντέλειος ὢν καὶ γόνιμος καὶ δη-
μιουργός, ἐν γονίμῳ φύσει πεσών, ἐν γονίμῳ ὕδατι, ἔγκυον τὸ
ὕδωρ ἐποίησε. καὶ ταῦτα εἰρηκὼς ηὔξατο λέγων, Ὁρκίζω σε, οὐ-
ρανέ, θεοῦ μεγάλου σοφὸν ἔργον, ἵλαος ἔσο· ὁρκίζω σε, φωνὴ
πατρός, ἣν ἐφθέγξατο πρώτην, ἡνίκα κόσμον ἅπαντα ἐστηρί- V 11
ξατο βουλῇ. φωνὴν πατρός, ἣν ἐφθέγξατο πρώτην, τὸν μο-
νογενῆ λόγον αὐτοῦ. ταῦτα δὲ καὶ ἐν τοῖς κατὰ Ἰουλιανοῦ τοῦ
βασιλέως ὑπὸ τοῦ ὁσιωτάτου Κυρίλλου συναχθεῖσιν ἐμφέρεται,
ὅτι καὶ ὁ Τρισμέγιστος Ἑρμῆς ἀγνοῶν τὸ μέλλον τριάδα ὁμοού-
σιον ὡμολόγησεν.

Ὁ δὲ Σῶστρις βασιλεὺς μετὰ τὴν νίκην καταλαβὼν τὴν Αἴγυπτον τελευτᾷ· καὶ ἐβασίλευσε μετ' αὐτὸν τῆς τῶν Αἰγυπτίων χώρας Φαραὼ ὁ καὶ Μαραχὼ καλούμενος. καὶ ἐκ τοῦ αὐτοῦ γένους ἐβασίλευσαν Αἰγυπτίων οἱ λοιποί.

1. ἢ addidi ex Chron. et Cedreno, ἡ om. Cyrillus, ἢ Suidas. *ibid.* ἑαυτῷ Cyrillus, αὐτῷ Ox., Chron., Cedrenus. *ibid.* τῷ ἑαυτοῦ Cyrillus et Cedrenus, τῷ αὐτῷ Ox., ἐν τῷ αὐτῷ Chron. 7. Iusiurandum caeteris emendatius scribunt Iustinus Cohort. XV. 78. *Οὐρανὸν ὁρκίζω σε θ. μ. σοφὸν ἔργον, αὐδὴν ὁρκίζω σε πατρός, τὴν φθέγξατο πρῶτον, ἡνίκα κ. ἅ. ἑαῖς στηρίξατο βουλαῖς*, et qui *ἣν φθ. πρώτην* Cyrillus. Quae apud Malalam corrupta et interpolata sunt, repetuntur pleraque ab Chron., Cedreno, Suida. 11. *αὐτοῦ*] adde *φησὶ* ex Cyrillo p. 33. B, omissum etiam in Chron.

Mens Mentis lucida: et nihil aliud erat, quam hujus unitas, in seipso semper existens, eademque semper Mente, luce, ac spiritu omnia comprehendens. Extra hanc, nec Deus, nec Angelus, nec daemon, nec alia aliqua Essentia. Omnium enim Dominus et Deus est; et omnia sub ipso et in ipso sunt. Ejus enim verbum, quod ab ipso prodiit, undique perfectum cum esset, et in foecunda natura opifex; in genitalem incidens undam, foecundam undam effecit." His ita dictis, in haec verba precatus est. „Adjuro te Coelum, Magni Numinis sapiens opificium, propitiare. Adjuro te Vocem illam Patris, quam tum primum effatus est, cum Mundum universum consilio suo stabilivit: Vocem Patris, quam primam edidit, verbum suum unigenitum." Afferuntur vero ista a sanctissimo Cyrillo, in scriptis suis adversus Julianum Imperatorem: nempe quod Mercurius Trismegistus futuri licet ignarus, unam tamen Trinitatis Essentiam professus sit.

Porro rex Sostris, post victoriam partam, reversus in Aegyptum, fato concessit. Post quem, Aegypti regnum obtinuit Pharaoh, qui et Maracho: ex quo oriundi sunt succedanei Aegyptiorum Reges.

B Ἐν δὲ τοῖς προειρημένοις τοῦ Πίκου Διὸς χρόνοις ἐπὶ τὰ δυ-
O 31 τικὰ μέρη ἀναφαίνεταί τις ἐκ τῆς φυλῆς τοῦ Ἰάφεθ ἐν τῇ χώρᾳ
τῶν Ἀργείων, ὀνόματι Ἴναχος· ὅστις πρῶτος ἐβασίλευσεν ἐν τῇ
χώρᾳ ἐκείνῃ, καὶ κτίζει πόλιν ἐκεῖ εἰς ὄνομα τῆς σελήνης, ἐτίμα
γὰρ αὐτήν, ἣν ἐκάλεσεν Ἰώπολιν· οἱ γὰρ Ἀργεῖοι μυστικῶς τὸ
ὄνομα τῆς σελήνης τὸ ἀπόκρυφον Ἰὼ λέγουσιν ἕως ἄρτι. ἔκτισε
δὲ καὶ ἱερὸν ἐν τῇ πόλει τῇ σελήνῃ, ἀναστήσας αὐτῇ στήλην χαλ-
κῆν, ἐν ᾗ ἐπέγραψεν, Ἰὼ μάκαιρα λαμπαδηφόρε. ὁ δὲ αὐτὸς
Ἴναχος ἠγάγετο γυναῖκα Μελίαν ὀνόματι· ἐξ ἧς ἔσχε παῖδας
τρεῖς, Κάσον καὶ Βῆλον καὶ θυγατέρα, ἣν ἐπωνόμασεν Ἰὼ εἰς
ὄνομα τῆς σελήνης· ἦν γὰρ ἡ κόρη εὐπρεπεστάτη πάνυ. τότε
C ὁ Πῖκος ὁ καὶ Ζεὺς ἀκούσας περὶ τοῦ Ἰνάχου ὅτι ἔχει θυγατέρα
παρθένον εὐπρεπῆ, ὁ βασιλεὺς τῶν δυτικῶν μερῶν πέμψας ἥρ-
πασε τὴν Ἰώ, θυγατέρα τοῦ Ἰνάχου, καὶ ταύτην φθείρει, καὶ
ἔγκυον ποιήσας ἔσχεν ἐξ αὐτῆς θυγατέρα, ἥντινα ἐκάλεσε Λιβύην.
ἡ δὲ Ἰὼ ἐπαχθῶς ἔφερεν ἐπὶ τῷ συμβάντι αὐτῇ, καὶ μὴ θέλουσα
συνεῖναι τῷ Πίκῳ, διαλαθοῦσα αὐτὸν καὶ πάντας καὶ τὴν θυ-
γατέρα αὐτῆς ἐάσασα, καὶ τὸν πατέρα αὐτῆς Ἴναχον αἰσχυνομέ-
νη, ἔφυγεν, εἰς Αἴγυπτον καταπλεύσασα. καὶ εἰσελθοῦσα ἐν
τῇ χώρᾳ τῆς Αἰγύπτου ἡ Ἰὼ ἐκεῖ διῆγε· καὶ μαθοῦσα μετὰ χρό-
O 32 νον ὅτι Ἑρμῆς βασιλεύει τῆς Αἰγύπτου, ὁ υἱὸς Πίκου Διός, καὶ
φοβηθεῖσα τὸν αὐτὸν Ἑρμῆν, φεύγει ἐκεῖθεν ἐπὶ τὴν Συρίαν εἰς

1. Πήκου Ox. sic et infra. 2. ἀνεφαίνεται Ox. 5. Ἰώπολιν Chron. p. 41. B, Ἰόπολιν Ox. 6. seq. Ἰῶ Ox. 8. μάκαιρα Ch. cum Chron., μάκερα Ox. 10. Κάσον] Κάσσον Ox.

Praedictis autem Pici Jovis temporibus ad occidentem regnantis innotescere coepit ex Argivorum regione quidam, cui nomen Inachus, ex Japheti gente oriundus. Primus hic Argivis imperavit, urbemque condidit, quam a Lunae nomine, cui cultum exhibuit, Jopolim vocavit. Argivis enim usque adhuc in Mysteriis suis reconditum Lunae nomen Jo est. Fanum quoque in ea urbe condidit, Lunae sacrum; et ex aere statuam ei erexit, cum hac Inscriptione. *Jo, Beata, Lucifera.* Inachus autem iste in uxorem sibi accepit Meliam; ex qua tergeminam suscepit prolem, Cassum, Belum, filiamque, quam a Lunae nomine Jo vocavit; forma enim erat Virgo laudatissima. Picus interim, qui et Jupiter, qui partibus Occidentalibus imperavit, ubi inaudisset Inacho filiam esse, pulcherrimae formae virginem; per emissarios raptam compressit, gravidamque fecit; et ex ea filiam habuit, quam Libyam nominavit. Jo autem illatam sibi injuriam indigne ferens, diutius cum Jove Pico consuetudinem habere dedignata est: derelictaque filia, Patris etiam conspectu ob pudorem evitato, clam omnibus in Aegyptum profuga navigavit, ibique sedem fixit. Ubi cum per aliquod tempus mansisset, edocta est, Regiam ibi potestatem habere Mercurium, Jovis Pici filium. Metuens igitur sibi ab eo, ex Aegypto in Syriam fuga evasit, ad Montem Silpium; ubi

τὸ Σίλπιον ὄρος· εἰς ὅπερ Σέλευκος ὁ Νικάτωρ ὁ Μακεδὼν ἔκτισε D
πόλιν μετὰ χρόνους καὶ ἐκάλεσεν εἰς τὸ ὄνομα τοῦ ἰδίου αὐτοῦ
υἱοῦ Ἀντιόχειαν τὴν μεγάλην. ἀπελθοῦσα δὲ εἰς τὴν Συρίαν ἡ
Ἰὼ ἐκεῖ ἐτελεύτησεν, ὡς Θεόφιλος ὁ σοφώτατος συνεγράψατο.
ἕτεροι δὲ ἐξέθεντο ὅτι ἐν τῇ Αἰγύπτῳ ἐτελεύτα ἡ Ἰώ. ὁ δὲ
Ἴναχος, ὁ πατὴρ αὐτῆς, εἰς ἀναζήτησιν αὐτῆς ἔπεμψε τοὺς ἀδελ-
φοὺς αὐτῆς καὶ τοὺς συγγενεῖς καὶ τὸν Τριπτόλεμον καὶ Ἀρ-
γείους μετ' αὐτῶν, οἵτινες πανταχοῦ ζητήσαντες οὐχ εὗρον αὐ-
τήν· γνόντες δὲ οἱ Ἀργεῖοι Ἰωπολῖται ὅτι ἐτελεύτα εἰς γῆν Συρίαν
ἡ Ἰώ, ἐλθόντες ἔμειναν ἐκεῖ πρὸς μικρόν, κρούοντες εἰς ἕκαστον
οἶκον αὐτοῦ καὶ λέγοντες, Ψυχὴ Ἰοῦς σωζέσθω. καὶ ἐν ὁράματι
χρηματισθέντες εἶδον δάμαλιν, λέγουσαν αὐτοῖς ἀνθρωπίνῃ φω- E
νῇ ὅτι Ἐνταῦθά εἰμι ἐγὼ ἡ Ἰώ. καὶ διυπνισθέντες, τὴν τοῦ
ὁράματος δύναμιν θαυμάζοντες ἔμειναν. καὶ λογισάμενοι ὅτι O 33
ἐν τῷ ὄρει αὐτῷ κεῖται ἡ Ἰώ, κτίσαντες αὐτῇ ἱερὸν ᾤκησαν ἐκεῖ
εἰς τὸ Σίλπιον ὄρος, κτίσαντες καὶ πόλιν ἑαυτοῖς, ἣν ἐκάλεσαν
Ἰώπολιν· οἵτινες ἐκλήθησαν παρὰ τοῖς αὐτοῖς Σύροις Ἰωνῖται
ἕως τῆς νῦν. οἱ οὖν Σύροι Ἀντιοχεῖς ἐξ ἐκείνου τοῦ χρόνου ἀφ'
οὗ οἱ Ἀργεῖοι ἐλθόντες ἐζήτησαν τὴν Ἰὼ ποιοῦσιν οὖν τὴν μνή- V 12
μην, κρούοντες τῷ καιρῷ αὐτῷ κατ' ἔτος εἰς τοὺς οἴκους τῶν Ἑλ-
λήνων ἕως ἄρτι. διὰ τοῦτο δὲ οἱ Ἀργεῖοι ἔμειναν αὐτοὶ ἐκεῖ εἰς
τὴν Συρίαν, ἐπειδὴ ἐκελεύσθησαν ἀπολυόμενοι ἀπὸ τῆς Ἀργείων
χώρας ὑπὸ τοῦ Ἰνάχου βασιλέως, τοῦ πατρὸς τῆς Ἰώ, ὅτι Εἰ μὴ

3. *Ἀντιοχείαν* Ox. 15. *ᾤκεσαν* Ox. 17. *Ἰώπολιν* Chron., *Ἰόπολιν* Ox. 21. *αὐτοὶ* Ch. cum Chron., *αὐτοῖς* Ox. 22. *τῆς* Chron., *τῶν* Ox.

posteris temporibus Seleucus Nicator Macedo urbem condidit, quam a filii sui nomine Antiochiam Magnam appellavit. At vero Jo vitam suam in Syria, quo profugerat, finivit; sicuti scriptum reliquit sapientissimus Theophilus. Alii vero tradiderunt, in Aegypto eam obiisse. Inachus autem pater Jus, ad eam inquirendam fratres ejus misit et propinquos, nec non et Triptolemum, cum Argivis aliis: qui eam ubique vestigantes, non invenerunt. Edocti vero Argivi Jopolitae, eam in Syria defunctam; illuc ventitantes, aliquandiu ibi commorati sunt; domosque singulas pulsantes, dixerunt: *Salva sit* Jus *Anima.* Acceptoque per insomnium Oraculo, visi sunt sibi videre buculam, humana voce ita se alloquentem: *Hic ego sum Jo.* A somno vero excitati, vimque Visionis secum reputantes, omnino censuerunt, eam in monte Silpio sepultam jacere. Extructo igitur ibi Fano, sedes illic posuere; urbemque condiderunt, quam Jopolim nominarunt: unde et ipsi a Syris, ad hunc usque diem, Jonitae vocantur. Syri autem Antiocheni, ex eo tempore quo illuc advenerunt Argivi, Jo quaeritantes, in perpetuam rei memoriam, ritu anniversario, domos Graecorum pulsant, in hunc usque diem. Quod autem Argivi illic in Syria sedes suas posuerint, in causa fuit rex Inachus, pater Jus;

ἀγάγητε τὴν θυγατέρα μου Ἰώ, μὴ ὑποστρέψητε ἐπὶ τὴν Ἀργείων χώραν. ἔκτισαν οὖν ἐκεῖ οἱ αὐτοὶ Ἰωνῖται ἱερὸν Κρόνου εἰς τὸ Σίλπιον ὄρος.

Ἡ δὲ Λιβύη, ἡ θυγάτηρ τῆς Ἰὼ καὶ τοῦ Πίκου τοῦ καὶ Διός, ἐγαμήθη τινὶ ὀνόματι Ποσειδῶνι· ἐξ ὧν ἐτέχθησαν ὁ Ἀγήνωρ καὶ Βῆλος καὶ Ἐνυάλιος, παῖδες τρεῖς. ὁ δὲ Ἀγήνωρ καὶ Βῆλος κατέλαβον τὴν Συρίαν καὶ αὐτοὶ εἰς ἀναζήτησιν τῆς
B Ἰοῦς, εἰ ἔτι ζῇ, καὶ τῶν ἀδελφῶν αὐτῆς, εἴπερ εἰσίν· ἦσαν γὰρ αὐτῶν συγγενεῖς. καὶ μηδένα εὑρηκότες, ὑπέστρεψαν. καὶ ὁ μὲν Βῆλος ἐπὶ τὴν Αἴγυπτον ἀπῆλθε, κἀκεῖ γαμήσας τὴν Σίδα
O 34 ἔσχεν υἱοὺς δύο, Αἴγυπτον καὶ Δαναόν. ὁ δὲ Ἀγήνωρ ἐπὶ τὴν Φοινίκην ἐλθὼν ἠγάγετο τὴν Τυρώ· καὶ κτίζει πόλιν, ἣν ἐκάλεσε Τύρον εἰς ὄνομα τῆς ἑαυτοῦ γαμετῆς. ἐβασίλευσεν οὖν ἐκεῖ, καὶ ἔσχεν υἱοὺς ἐκ τῆς Τυρώ, τὸν Κάδμον καὶ τὸν Φοίνικα καὶ τὸν Σύρον καὶ τὸν Κίλικα, καὶ θυγατέρα, ἣν ἐκάλεσεν Εὐρώπην. καὶ βασιλεύει ὁ Ἀγήνωρ τῶν μερῶν ἐκείνων ἔτη ξγ'. τὴν δὲ Εὐρώπην οἱ ποιηταὶ ἐξέθεντο θυγατέρα εἶναι τοῦ Φοίνικος, τοῦ υἱοῦ Ἀγήνορος βασιλέως, μὴ ὁμοφωνήσαντες τοῖς χρονογράφοις.
C ἐπιῤῥίψας δὲ τῇ πόλει Τύρῳ Ταῦρος ὁ τῆς Κρήτης βασιλεύς, ναυμαχίᾳ πολεμήσας παρέλαβε τὴν αὐτὴν Τύρον πόλιν ἑσπέρας· καὶ πραιδεύσας ἔλαβεν αἰχμαλώτους ἐκ τῆς πόλεως πολλούς· ἐν οἷς ἔλαβε καὶ τὴν Εὐρώπην, θυγατέρα τοῦ Ἀγήνορος βασιλέως. ὁ δὲ Ἀγήνωρ καὶ οἱ υἱοὶ αὐτοῦ ἐπολέμουν ἐπὶ τὸ λίμιτον· τοῦτο

10. Σίδα] Σίδαν Chron. et Hamartolus MS. apud Hodium. 12. Τυρῷ Ox. 23. τοῦτο Ταῦρος] „Supple ex Chr. Alex. καὶ γνοὺς τοῦτο Ταῦρος, aut aliquid tale." Ch.

qui eis in mandata dederat, ex Argis soluturis; uti, non nisi Jo filia inventa, in Argivorum terras reverterentur. Itaque etiam condiderunt ibi Jonitae templum Saturno, in monte Silpio.

Libya autem, Pici Jovis et Jus filia, Neptuno cuidam nupta, tres ei filios peperit; quibus nomina, Agenor, Belus, et Enyalius: ex quibus Agenor et Belus in Syriam profecti sunt, exploraturi, an in vivis adhuc esset Jo, cum fratribus ejus; et qui illis sanguine conjuncti essent. Nemine autem invento, redierunt: et quidem Belus in Aegyptum profectus, in uxorem accepit sibi Sidam; ex qua duos suscepit filios Aegyptum et Danaum. Agenor vero Phoeniciam se recipiens, Tyro uxorem duxit: a cujus nomine, Civitatem ibi a se extructam, Tyrum vocavit. Ubi et imperium tenens ex Tyro filios suscepit Cadmum, Phoenicem, Syrum, et Cilicem: filiamque unicam, cui Europae nomen indidit. Regnavit autem Agenor in regionibus iis per annos LXIII. Poetae vero Europam Phoenicis, Agenoris filii, filiam faciunt, a Chronologis dissentientes. Taurus autem, rex Cretae, Tyrum invasit; commissoque navali praelio, urbem cepit, ad vesperam: qua spoliata, captivos inde abduxit plurimos; inter quos et Europa erat, Agenoris regis filia. Cum enim Agenor filiique

Ταῦρος ὁ τῆς Κρήτης βασιλεὺς ἐξαίφνης ἐπέῤῥιψε τῇ χώρᾳ διὰ O 35 θαλάττης· ἧστινος ἑσπέρας μνήμην ποιοῦνται οἱ Τύριοι ἕως τῆς νῦν, λέγοντες Κακὴν ὀψινήν. ἀπήγαγε δὲ τὴν Εὐρώπην εἰς τὴν ἰδίαν πατρίδα ὁ Ταῦρος, ἥντινα καὶ γυναῖκα ἔλαβε, παρθένον οὖσαν καὶ εὐπρεπῆ· καὶ ἐκάλεσε τὰ μέρη ἐκεῖνα εἰς ὄνομα αὐτῆς Εὐρώπεια. ἐξ ἧς ἔσχεν υἱὸν τὸν Μίνω, καθὼς καὶ Εὐριπίδης ὁ σοφώτατος ποιητικῶς συνεγράψατο, ὅς φησι, Ζεὺς μεταβληθεὶς D εἰς Ταῦρον τὴν Εὐρώπην ἥρπασεν. ἔκτισε δὲ ἐν τῇ αὐτῇ Κρήτῃ νήσῳ ὁ αὐτὸς Ταῦρος βασιλεὺς πόλιν μεγάλην, ἣν ἐκάλεσε Γόρτυναν εἰς ὄνομα τῆς αὐτοῦ μητρὸς τῆς ἐκ γένους Πίκου Διός· τὴν δὲ τῆς αὐτῆς πόλεως τύχην ἐκάλεσε Καλλινίκην εἰς ὄνομα τῆς σφαγιασθείσης παρ' αὐτοῦ κόρης. ὁ δὲ Ἀγήνωρ βασιλεὺς ἐλθὼν ἐκ τοῦ πολέμου ἐν τῇ Τύρῳ, καὶ μαθὼν τὴν γενομένην παρὰ τοῦ Ταύρου ἐξαίφνης ἔφοδόν τε καὶ ἁρπαγήν, εὐθέως ἐξέπεμψε τὸν Κάδμον διὰ τὴν Εὐρώπην μετὰ χρημάτων πολλῶν καὶ στρατοῦ. μέλλων δὲ τελευτᾶν ὁ αὐτὸς βασιλεὺς Ἀγήνωρ διετάξατο πᾶσαν ἣν ὑπέταξε γῆν μερίσασθαι τοὺς τρεῖς αὐτοῦ υἱούς. καὶ ἔλαβεν O 36 E ὁ Φοῖνιξ τὴν Τύρον καὶ τὴν αὐτῆς ἐνορίαν, καλέσας τὴν ὑπ' αὐτὸν γενομένην γῆν Φοινίκην· ὁμοίως δὲ καὶ ὁ Σύρος, εἰς τὸ ἴδιον ὄνομα καλέσας τὴν ἐπιλαχοῦσαν αὐτῷ χώραν Συρίαν· ὡσαύτως δὲ καὶ ὁ Κίλιξ τὸ ἐπιλαγχάνον αὐτῷ κλῖμα ἐκάλεσε Κιλικία εἰς τὸ ἴδιον αὐτοῦ ὄνομα.

6. Εὐρώπεια] Εὐρώπια Ox. 7. ὅς Ch., Chron., ὥς Ox. 9. Γορτύναν Ox. 18. Φοίνιξ Ox. 21. ἐπιλαγχάνον Ch., ἐπιλαγχάνων Ox. *ibid.* Κιλικία] Κιλικίαν Ch., Chron. Conf. ad p. 5. A.

ad limites bellis aliis distinerentur; Taurus interim, qui hoc rescierat, per maris viam irrumpens, Tyrios inopinos opprimit. Memoriam autem vesperae illius Tyrii usque adhuc recolentes, *Vesperam Infaustam* appellant. Taurus vero Europam in patriam suam abduxit: cumque Virgo esset egregiae formae, pro uxore eam habuit: regionesque eas omnes, ab ejus nomine, Europaeas vocavit. Filium etiam ex ea habuit, cui Minos nomen. De his vero sapientissimus Euripides Poetice scribens, enarrat, raptam Europam fuisse a Jove in taurum verso. Idem rex Taurus urbem magnam condidit in Creta insula, cui nomen Gortynam dedit, a Matre sua, ex genere Pici Jovis oriunda: Urbis vero Fortunam a Virginis a se mactatae nomine Callinicen vocavit. Agenor autem a bello redux, ubi de subitis Tauri incursionibus, urbisque direptione edoctus fuisset; sine mora Cadmum emisit, magna pecuniarum vi et exercitu instructum, uti Europam curaret reducem. Moriturus deinde Rex Agenor mandavit, uti tota regio, quam sibi subjugaverat, inter tres filios suos distribueretur. Phoenix igitur Tyrum accepit, partesque vicinas: regionemque omnem sibi subditam Phoeniciam vocavit. Similiter etiam Syrus partem, quam ipse sortitus erat, a nomine suo Syriam appellavit. Cilix etiam sortem suam a nomine suo, Ciliciam nuncupavit.

Ἐν δὲ τοῖς χρόνοις τῆς βασιλείας τοῦ Φοίνικος ἦν Ἡρακλῆς
V 13 ὁ φιλόσοφος, ὁ λεγόμενος Τύριος, ὅστις ἐφεῦρε τὴν κογχύλην·
ἐωριζόμενος γὰρ ἐπὶ τὸ παράλιον μέρος τῆς Τύρου πόλεως εἶδε
ποιμενικὸν κύνα ἐσθίοντα τὴν λεγομένην κογχύλην, ὅπερ ἐστὶ μι-
κρὸν εἶδος θαλάσσιον κοχλιοειδές, καὶ τὸν ποιμένα, νομίζοντα
αἱμάσσειν τὸν κύνα, λαβόντα ἀπὸ τῶν προβάτων πόκον ἐρέας καὶ
καταμάσσοντα τὸ καταφερόμενον ἐκ τοῦ στόματος τοῦ κυνὸς καὶ
βάπτοντα τὸν πόκον. ὁ δὲ Ἡρακλῆς, προσεσχηκὼς μὴ εἶναι αὐτὸ
αἷμα, ἀλλὰ βάμματος παραξένου ἀρετήν, ἐθαύμασε· καὶ γνοὺς
ὅτι ἐκ τῆς κογχύλης ἐστὶ τὸ κατιὸν βάμμα τοῦ πόκου, εἰληφὼς
O 37 ἐκ τοῦ ποιμένος τὸν πόκον ὡς μέγα δῶρον τοῦτο προσήγαγε τῷ
βασιλεῖ τῆς Τύρου Φοίνικι. καὶ ἐκπλαγεὶς καὶ αὐτὸς ἐπὶ τῇ θέᾳ
τῆς ξένης χρόας τοῦ βάμματος, θαυμάζων τὴν τούτου εὕρεσιν
B ἐκέλευσεν ἐξ αὐτοῦ τοῦ βάμματος κογχύλης βαφῆναι ἐρέαν καὶ
γενέσθαι αὐτῷ περιβόλαιον βασιλικόν· καὶ ἐφόρεσεν αὐτὸς πρῶ-
τος ἐκ πορφύρας περιβόλαιον, καὶ πάντες ἐθαύμασαν τὴν αὐτοῦ
βασιλικὴν ἐσθῆτα, ὡς ξένην θέαν. καὶ ἔκτοτε ἐκέλευσεν ὁ βα-
σιλεὺς Φοῖνιξ μηδένα [τῶν] ὑπὸ τὴν αὐτοῦ ὄντα βασιλείαν τολ-
μᾶν φορεῖν τὴν τοιαύτην ἐνάρετον ἐκ γῆς καὶ θαλάσσης οὖσαν
φορεσίαν, εἰ μήτι αὐτὸν καὶ τοὺς μετ' αὐτὸν βασιλεύοντας τῆς
Φοινίκης, διὰ τὸ γινώσκεσθαι τὸν βασιλέα τῷ στρατῷ καὶ παντὶ
τῷ πλήθει ἐκ τῆς θαυμαστῆς καὶ παραξένου φορεσίας. πρώην

1. ἦν addidit Ch., Chron. 7. στόματος Ch., Chron., πόματος Ox. 12. θέᾳ Ch., Chron., θέαν Ox. 18. Φοίνιξ Ox. *ibid.* τῶν om. Chron. 19. ἐνάρετον Ch., Chron., ἐνάρεστον Ox.

Phoenicis autem sub regno floruit Hercules ille, Tyrius Philosophus, qui purpuram invenit. Cum enim forte per littus Tyrium obambularet, pastorium vidit canem, qui ostreum, (quod Conchyle dicitur, parvumque genus est testudinis marinae,) edebat. Pastor interim sanguinare canem existimans; lana, ab ove rapta, quod ab ore ejus profluebat, abstersit, lanamque tinxit. Hercules autem cum observasset, sanguinem illud non esse; sed peregrini scilicet alicujus liquoris vim, obstupuit: et cum ex Conchyli tincturam illam lanae expressam sciret; exceptam a pastore lanam Phoenici, Tyriorum regi, tanquam munus insigne, detulit. Qui et ipse attonitus novi coloris aspectu, simul etiam inventum admiratus, lanam Conchylis liquore tingi jussit, sibique regiam inde vestem parari. Primus ergo ipse purpuream Chlamydem gestavit, quae quidem Vestis Regia, tanquam inusitatum spectaculum, omnibus in admirationem cedebat. Exinde vero edicto cavit rex Phoenix, ne quis ex suis subditis praeclaro hoc terrae marique debito gestamine uti praesumeret, praeter ipsum Regem et Regis successores: ut ex novo hoc et mirabili gestamine exercitus, omnisque adeo populus, Regem suum agnoscerent. Namque ante hoc tempus, ignotum fuit mortalibus tingendi artificium;

γὰρ οὐκ ἐγίνωσκον οἱ ἄνθρωποι βάπτειν χρόας ἱματίων, ἀλλὰ τὰς τῶν προβάτων ἐρέας, οἷαι κἂν ἦσαν, ταύτας ἐποίουν ἱμάτια καὶ ἐφόρουν. καὶ οἱ βασιλεῖς δὲ τὰς αὐτὰς χρόας τῆς τυχούσης C ἐρέας ἱμάτια ἐφόρουν, καὶ οὐκ εὐχερῶς ἐγνωρίζοντο τῷ ὑπηκόῳ πλήθει οἱ βασιλεῖς. λοιπὸν οὖν οἱ κατὰ τόπον βασιλεῖς, ἤτοι ῥῆγες καὶ τοπάρχαι, ἀκηκοότες τοῦτο, οἱ μὲν περιβόλαια, οἱ δὲ φίβλας χρυσᾶς καὶ μανδύας ἐπενόησαν ἑαυτοῖς, πορφύρεα ἢ ῥού- O 38 σεα βάπτοντες αὐτὰ ἀπὸ βοτανῶν τινων, καὶ ἐφόρουν διὰ τὸ γινώσκεσθαι τῷ ἰδίῳ πλήθει, καθὼς Παλαίφατος ὁ σοφώτατος συνεγράψατο. μετὰ οὖν χρόνους πολλοὺς οἱ Ῥωμαῖοι τὴν Φοινίκην ὑποτάξαντες χώραν τὸ ἐξ ἀρχῆς ἀναδειχθὲν ἐκ τῆς κογχύλης ἀληθινὸν σχῆμα βασιλικὸν ἐφόρεσαν, ὅπερ ἐκάλεσαν ῥωμαϊστὶ τόγαν· ἥντινα καὶ ὕπατοι Ῥωμαίων ἕως τῆς νῦν φοροῦσι. Νουμμᾶς δὲ ὁ καὶ Πομπήλιος, βασιλεύσας Ῥωμαίων μετὰ τὸν D Ῥῶμον καὶ τὸν Ῥῆμον, δεξάμενος πρεσβευτὰς ἐκ τῆς χώρας τῶν λεγομένων Πελασγῶν, φοροῦντας χλαμύδας ἐχούσας ταβλία ῥούσεα, καθάπερ οἱ ἀπὸ τῆς τῶν Ἰσαύρων χώρας, καὶ τερφθεὶς τοῦ σχήματος, πρῶτος ἐν τῇ Ῥώμῃ ἐπενόησε χλαμύδας φορεῖσθαι, τὰς μὲν βασιλικὰς πορφυρᾶς, ἐχούσας ταβλία χρυσᾶ, τὰς δὲ τῶν συγκλητικῶν αὐτοῦ καὶ τῶν ἐν ἀξίαις καὶ στρατείαις χλαμύδας ἐχούσας σήμαντρον τῆς βασιλικῆς φορεσίας ταβλία πορφυρᾶ, δηλοῦντα ἀξίαν Ῥωμαϊκῆς πολιτείας καὶ ὑποταγήν, κελεύσας μηδέ-

2. κἂν] καὶ Chron. 14. Πομπηϊανὸς] Πομπήλιος cum Chron. p. 117. A Ch. 18. χλαμύδας Chron. et Cedrenus p. 19. B, χλαμύδα Ox. 19. πορφύρας Ox. et mox πορφύρα. 22. κελεύσας Ch., Chron., κελευούσας Ox.

sed ex ovium vellere, quale a natura fuit, simplici vestes conficiebant. Sed et Regiae etiam vestes velleris colorem simplicem referebant; neque facile erat populo Principem suum dignoscere. Ex eo itaque tempore Imperatores alii Regesque et Dynastae, qui de his aliquid inaudierant, comparabant sibi, hi quidem indumenta, alii fibulas aureas, et Mantela purpurea, vel russa, succis herbarum infecta; quae gestare solebant, ut a populo dignoscerentur: quemadmodum scriptis tradidit sapientissimus Palaephatus. Longo autem post tempore, Romani, Phoenicia in potestatem suam redacta, ex vera illa antiquitusque inventa purpura, regium sibi amictum parabant; quem lingua sua *Togam* dixere: quam et adhuc usque Consules Romani gestare solent. Numa autem, qui et Pompeianus, qui post Romulum et Remum Romanis imperavit; cum ad eum Pelasgorum Legati venissent, Chlamydas gestantes clavis russis distinctas, (quales etiam Isauri ferre consueverunt;) ornatu delectatus, primus auctor fuit Romanis, uti Chlamydas gestarent, Reges quidem purpureas, clavis aureis distinctas; Senatus vero, et Magistratus, militiaeque Praefecti, purpuratos clavos; insignia nempe Regii ornatus, quae Romani Imperii dignitatem et Subjectionem indigitarunt: edixitque, ne-

O 39 να συγχωρεῖσθαι εἰσελθεῖν εἰς τὸ παλάτιον πρὸς αὐτὸν δίχα τοῦ
σχήματος τῆς αὐτῆς χλαμύδος, καὶ οὐ συνεχώρουν τινὰ εἰσελθεῖν
οἱ φυλάττοντες τὸ παλάτιον, εἰ μὴ ἐφόρει χλαμύδα ἔχουσαν φι-
E λοτιμίαν βασιλικῆς ἐσθῆτος, καθὼς ὁ σοφώτατος Τραγκύλλος,
Ῥωμαίων ἱστορικός, ταῦτα συνεγράψατο.

Ὁ δὲ Σύρος, ὁ υἱὸς τοῦ Ἀγήνορος, ἀνὴρ ἐγένετο σοφός, ὃς συνεγράψατο Φοινικικοῖς γράμμασι τὴν ἀριθμητικὴν φιλοσοφίαν· ὑπέθετο δὲ ἀσωμάτους εἶναι ἀρχάς, καὶ σώματα μεταβάλλεσθαι καὶ τὰς ψυχὰς εἰς ἀλλογενῆ ζῶα. οὗτος πρῶτος ἐξέθετο ταῦτα, ὡς Κλήμιος ὁ σοφώτατος συνεγράψατο.

V 14 Ἐν τοῖς χρόνοις τούτοις ἐγένετο Φάλεκ, υἱὸς Ἕβερ, ἀνὴρ
θεοσεβὴς καὶ σοφός, ζήσας ἔτη τλθʹ, περὶ οὗ Μωσῆς ὁ προφήτης συνεγράψατο. ἔστιν οὖν ἀπὸ Ἀδὰμ ἕως τοῦ Φάλεκ ἔτη ͵γ κατὰ τὴν προφητείαν.

Ὁ δὲ προειρημένος Πῖκος ὁ καὶ Ζεὺς ἐν τοῖς ἀνωτέροις χρόνοις ἔσχε μετὰ τὸν Ἑρμῆν καὶ τὸν Ἡρακλέα καὶ ἄλλον υἱόν, τὸν Περσέα, ἀπὸ εὐπρεποῦς γυναικὸς ὀνόματι Δανάης, θυγατρὸς τοῦ Ἀκρισίου τοῦ καταγομένου ἐκ τῆς Ἀργείων χώρας· περὶ ἧς ἐμυθολόγησεν Εὐριπίδης ὁ σοφώτατος ἐν τῇ συντάξει τοῦ αὐτοῦ δράματος ἐν κιβωτίῳ τινὶ βληθεῖσαν καὶ ῥιφεῖσαν τὴν Δα-
O 40 νάην, ὡς φθαρεῖσαν ὑπὸ Διὸς μεταβληθέντος εἰς χρυσόν. ὁ δὲ
B σοφώτατος Βούττιος, ἱστορικὸς χρονογράφος, ἐξέθετο ὡς ὁ αὐτὸς

10. *Κλήμιος*] *Κλήμης* Cedrenus p. 19. C. 12. *Μωσῆς*] Genes. XI. 17. 18. 16. *μετὰ* Chron. p. 38. C., *κατὰ* Ox. *ibid.* *Ἡρακλέα* Ch, *Ἡρακλέαν* Ox. 20. *καὶ ῥιφεῖσαν*] *βληθῆναι κατὰ θάλασσαν* Chron. 22. *ἱστορικὸς*] *ὁ ἱστορικὸς καὶ* Chron.: conf. p. 33. A. *Βούττιος* autem Malalae est *Βρούττιος*.

quis Regiam postea non Chlamydatus ingrederetur. Sed neque Palatini satellites quenquam sine Chlamyde, insigne Regium prae se ferente, in Palatium intromittebant: sicuti haec scriptis mandavit sapientissimus Tranquillus, Romanorum Historiographus.

Syrus vero, Agenoris filius, vir fuit sapiens. Hic Phoenicum lingua Philosophiam Arithmeticam conscripsit: Principia item corporea esse statuit; Corporea autem ipsa, sicut et animas in alia animantia migrare, primus docuit: uti prodidit sapientissimus Clemius.

Hisce temporibus erat Phalecus, Eberi filius, qui vixit annos trecentos triginta novem: de quo Moses Propheta scripsit. Ab Adamo igitur ad Phalecum usque, secundum Prophetiam, anni numerantur MMM.

Praedictus autem Picus, qui et Jupiter, de quo superius, filium habuit praeter Mercurium atque Herculem Perseum quoque, quem ex muliere formosa, cui nomen Danaë, Acrisii Argivi filia, suscepit. De qua sapientissimus Euripides in Tragoedia fabulatur, vitiatam illam fuisse a Jove, in aurum transformato: ideoque arcula inclusam, in mare projectam fuisse. Buttius autem sapientissimus Historiographus in Chronico suo

Πῖκος ὁ καὶ Ζεὺς οὖσαν ταύτην ἐν κουβουκλείῳ παρακειμένῳ τῇ θαλάσσῃ πολλῷ χρυσῷ πείσας ἠδυνήθη προτρεψάμενος· ἥντινα ἁρπάσας ὡς πάνυ εὐπρεπῆ ἔφθειρεν, καὶ ἐξ αὐτῆς ἔσχεν υἱὸν ὀνόματι Περσέα, τὸν προειρημένον. ὅντινα πτερωτὸν γράφουσι διὰ τὸ ἐκ παιδόθεν περίγοργον εἶναι τὸν παῖδα· ὅθεν καὶ ὁ τούτου πατὴρ Πῖκος ὁ καὶ Ζεὺς ἐδίδαξεν αὐτὸν πράττειν καὶ τελεῖν τὴν μαγγανείαν τοῦ μυσεροῦ σκύφους, διδάξας αὐτὸν πάντα τὰ περὶ αὐτοῦ μυστικὰ καὶ δυσσεβῆ πλανήματα, λέγων αὐτῷ ὅτι Νικᾷς πάντας τοὺς πολεμίους ἐξ αὐτοῦ καὶ τοὺς ἐχθρούς σου καὶ πάντα ἄνθρωπον ἐναντίον καὶ πάντας τοὺς βλέποντας ἐν αὐτῷ τῷ προσώπῳ τυφλουμένους καὶ μένοντας ὡσεὶ νεκροὺς καὶ κατασφαζομένους ὑπό σου. καὶ λοιπὸν ὁ Περσεὺς πεισθεὶς τῷ ἰδίῳ C πατρὶ Πίκῳ τῷ καὶ Διί, εἰς τὸν μετὰ ταῦτα χρόνον μετὰ τελευτὴν τοῦ αὐτοῦ πατρὸς Πίκου τελείας ἡλικίας γενόμενος, ἐπεθύμησε τῆς τῶν Ἀσσυρίων βασιλείας, διαφθονούμενος τοῖς τέκνοις O 41 τοῦ Νίνου, τοῦ θείου αὐτοῦ, τοῦ ἀδελφοῦ τοῦ πατρὸς αὐτοῦ. καὶ χρηματισθεὶς ἀπῆλθεν ἐν τῇ χώρᾳ τῆς Λιβύης· καὶ κατὰ τὴν ὁδὸν ὑπήντησε τῷ αὐτῷ Περσεῖ μία παρθένος, κόρη χωρική, ἀγρίας ἔχουσα τὰς τρίχας καὶ ὀφθαλμούς. καὶ στήσας ἐπηρώτησεν αὐτὴν λέγων, Τί σου τὸ ὄνομα; ἡ δὲ εἶπε μετὰ παῤῥησίας Μέδουσα· καὶ κρατήσας αὐτῆς τὰς τρίχας ᾧ ἐβάσταζε λογχοδρεπάνῳ ξίφει ἀπέτεμεν αὐτῆς τὴν κάραν. καὶ λαβὼν ὁ Περσεὺς εὐθέως ἐτέλεσε τὴν αὐτὴν κάραν μυστικῶς, καθὼς ἐδιδάχθη ὑπὸ τοῦ ἰδίου πατρὸς Πίκου τῆς μυσερᾶς μαγγανείας τὴν πλά- D

9. πολεμίους Ch. cum Chron. et Cedreno p. 22. B, πολέμους Ox. 19. ἐπερώτησεν Ox.

scriptum reliquit, Jovem Picum in cubiculo quod mare spectabat commorantem eam, utpote pulcherrimam, vi auri magna, sibi conciliasse; raptamque inde, compressisse; filiumque ex ea habuisse Perseum, quem diximus. Hunc alatum perhibent, eo quod a pueris summa esset corporis agilitate: unde et pater ejus Jupiter Picus nefandi illius Scyphi parandi magicum ei artificium aperuit, quaeque ad eum pertinent mysticas illum et impias edocuit imposturas; Hujus ope, inquiens, vinces tuos inimicos et adversarios omnes: et quicunque Caput hoc aspexerint, occaecati et quasi mortui a te percussi videbuntur. Perseus igitur, Jovis Patris dicto audiens fuit: qui, post eum mortuum, adolescentior factus, regnum Assyriorum in animo habuit: quippe hoc invidebat patruelibus suis, Nini filiis. Accepto autem oraculo, in Libyam profectus est: per iter vero occurrit ei virgo quaedam Indigena, oculis capillisque fera. Constitit ad visum Perseus, et percontatus eam, Quod, inquit, tibi nomen est? Respondit illa imperterrita, Medusa. Tum Perseus, comprehensa verticis coma, falcato quem ferebat ense caput illi amputavit: quod arreptum, Incantamentis magicis et infandis, juxta ac a Patre edoctus

γην· ἥντινα ἐβάσταζεν εἰς ἰδίαν βοήθειαν πρὸς πάντας ἐχθροὺς
καὶ πολεμίους εἰς τὸ ὑποτάσσειν καὶ ἀναιρεῖν. τὴν δὲ κάραν ἐκά-
λεσε Γοργόνα διὰ τὸ ὀξὺ τοῦ βοηθήματος καὶ διὰ τὸ ἐνεργὲς πρὸς
τοὺς ὑπεναντίους. κἀκεῖθεν περάσας ἦλθεν ἐπὶ τὴν τῆς Αἰθιο-
πίας χώραν, ἥτις ἐβασιλεύετο ὑπὸ τοῦ Κηφέως, καὶ εὑρηκὼς
ἐκεῖ ἱερὸν Ποσειδῶνος, εἰσῆλθεν ἐν αὐτῷ καὶ εἶδεν ἐν τῷ ἱερῷ
O 42 παραμένουσαν κόρην, κατὰ τάγμα τοῦ ἰδίου αὐτῆς πατρὸς τοῦ
Κηφέως ἐκδοθεῖσαν, τὴν λεγομένην Ἀνδρομέδαν παρθένον. καὶ
ταύτην ἀπέσπασεν ἐκ τοῦ ἱεροῦ, καὶ φθείρας αὐτὴν ὡς εὐπρεπῆ
• ἔλαβεν εἰς γυναῖκα. καὶ καταπλεύσας ἀνεχώρησεν ἐκ τῆς χώρας
E ἐκείνης· ἐρχόμενος κατὰ τὴν Ἀσσυρίων χώραν κατήντησεν ἐν τῇ
χώρᾳ τῆς Λυκαονίας· καὶ γνόντες εὐθέως ἀντιστάντες ἐπολέμη-
σαν αὐτῷ· καὶ χρησάμενος τῇ βοηθείᾳ τῆς κάρας τῆς Γοργόνης
ἐνίκησε τοὺς Λυκάονας. καὶ εὑρηκὼς κώμην λεγομένην Ἀμάν-
δραν ἐποίησεν αὐτὴν πόλιν, καὶ ἔστησεν ἑαυτῷ στήλην ἔξω τῶν
πυλῶν, βαστάζουσαν τὸ ἀντεικόνισμα τῆς Γοργόνος, καὶ θυσίαν
ποιήσας ἐκάλεσε τὴν τύχην τῆς πόλεως Περσίδα εἰς τὸ ἴδιον αὐ-
V 15 τοῦ ὄνομα· ἥτις στήλη ἕως τοῦ παρόντος ἵσταται ἐκεῖ. ἥντινα
πόλιν ἐκάλεσε τὸ Ἰκόνιον, διότι πρώτης νίκης εἰκόνα σὺν τῇ Γορ-
γόνῃ ἐκεῖ ἔλαβεν. ὑπέταξε δὲ καὶ τὰς ἄλλας χώρας μηδενὸς ἀν-
θισταμένου. ἐρχόμενος δὲ ἐπὶ τὴν Ἰσαυρίαν καὶ Κιλικίαν, καὶ
ἀντιστάσεις αὐτοῦ πολεμίων ὑπομένοντος, ἐχρηματίσθη ταῦτα
ὅτι Ἀπὸ τοῦ ἰδίου ἵππου ἀποβὰς τὸν σὸν ταρσὸν τοῦ ποδὸς εἰς

11. *ἐρχόμενος*] *καὶ* addit Chron. 13. *κόρης*] *κάρας* Ch. cum Chron. 19. *πρὸ τῆς νίκης εἰκόνα τὴν τῆς Γοργόνης* Chron.

fuerat, caeremoniis praeparavit; sibique in auxilium habuit, ad inimicos hostesque omnes devincendos tollendosque. Caput autem hoc *Gorgonem* appellavit; ob auxiliandi celeritatem et singularem quam habuit contra adversarios efficaciam.

Illinc autem discedens in Aethiopiam venit, quae tum temporis Cepheo parebat; ubi repertum Neptuni templum ingressus virginem ibi vidit, Cephei patris jussu expositam, nomine Andromedam. Hanc e fano extraxit; et, quod venusta esset, devirginavit, et in uxorem accepit. Inde vero solvens, et Assyriam versus iter faciens, in Lycaoniam devenit. Hoc autem Lycaonibus cognito, armis eum repellere conati sunt: quos tamen beneficio capitis Gorgonii profligavit: repertoque vico, cui Amandra nomen erat, ex eo civitatem condidit; et erecta sibi pro portis statua, Gorgonis effigiem ferente, sacrisque peractis, Urbis Fortunam, juxta nomen suum, Persidem vocavit: statua vero haec etiam hodie ibi spectatur. Urbem hanc Iconium appellavit: ibi enim posuerat Icona, in signum primae victoriae, Gorgonis ope, a se partae. Sed et alias etiam regiones subegit, nemine repugnante. Dumque per Isauriam et Ciliciam iter moveret, hostiumque impetus varios sustineret, dabatur ei Oraculum hoc: *Ubi ex equo descendens, calcaneum pedis in terram defixeris,*

τὴν χθόνα πήξας νίκην λάβοις. καὶ κατελθὼν ἐκ τοῦ ἰδίου ἵππου ἐν τῇ λεγομένῃ κώμῃ Ἀνδρασῷ, ἐκεῖ τὸν ταρσὸν τοῦ ποδὸς ἔπηξεν· καὶ νικήσας τῇ χρήσει τῆς Γοργόνος, ἐποίησε τὴν αὐτὴν κώμην O 43 πόλιν, ἥντινα ἐκάλεσε Ταρσὸν ἐκ τοῦ χρησμοῦ τοῦ ἰδίου αὐτοῦ ποδός, θυσιάσας κόρην ἀδαῆ ὀνόματι Παρθενόπην εἰς ἀποκαθαρισμὸν τῆς πόλεως. καὶ εὐχαριστήσας ὥρμησεν ἐκεῖθεν διὰ B τοῦ Ἀργαίου ὄρους κατὰ Ἀσσυρίων· καὶ νικήσας αὐτοὺς καὶ φονεύσας τὸν Σαρδανάπαλον, βασιλέα αὐτῶν, τὸν ἐκ τοῦ γένους αὐτοῦ καταγόμενον, ὑπέταξεν αὐτούς, καὶ ἐβασίλευσεν αὐτῶν ἔτη νγ', καὶ ἐπ' ὀνόματι αὐτοῦ ἐκάλεσεν αὐτοὺς Πέρσας, ἀφελόμενος ἀπὸ Ἀσσυρίων τὴν βασιλείαν καὶ τὸ ὄνομα. καὶ ἐφύτευσε δένδρα, καὶ ἐκάλεσε περσέας· οὐ μόνον δὲ ἐκεῖ, ἀλλὰ καὶ ἐν τοῖς Αἰγυπτίοις μέρεσιν ἐφύτευσε τὰς περσέας εἰς μνήμην ἑαυτοῦ. ἐδίδαξε δὲ καὶ τοὺς Πέρσας τὴν τελετὴν τοῦ μυσεροῦ καὶ ἀθέου σκύφους τῆς Μεδούσης· ὧντινων ἐκάλεσε τὴν χώραν Μήδων διὰ τὸ μάθημα.

Ὁ δὲ αὐτὸς Περσεὺς μετὰ τὸ βασιλεῦσαι τῆς Περσικῆς χώρας ἔτη πολλά, μαθὼν ὅτι ἐν τῇ Συρίᾳ χώρᾳ διάγουσιν ἐκ τοῦ C Ἄργους Ἰωνῖται, ἦλθεν εἰς τὴν Συρίαν πρὸς αὐτοὺς εἰς τὸ Σίλπιον ὄρος, ὡς πρὸς ἰδίους συγγενεῖς· οἵτινες δεξάμενοι αὐτὸν μετὰ πάσης τιμῆς προσεκύνησαν· γνόντες αὐτὸν οἱ αὐτοὶ Ἀργεῖοι Ἰωπολῖται ὅτι καὶ οὗτος ἐκ τοῦ γένους τῶν Ἀργείων κατάγεται, χα-

1. λάβοις] λάβῃς Cedrenus p. 22. C. 5. ἀδαῆ Chron., ἀδαήν Ox. 7. Ἀργαίου] Ἀργέου Ox. 9. αὐτοῦ Ch. cum Chron., αὐτῶν Ox. 14. τοῦ] τὴν Ox. 21. Ἰππολεῖται Ox.

victoriam inde reportabis. Ex equo itaque descendens, ad vicum dictum Andrasum, pedis ibi calcaneum fixit in terram: capiteque Gorgonio fretus, victoriam sibi comparavit. Ex vico igitur illo urbem aedificavit; nomenque ei, ex pedis sui oraculo, Tarsum indidit; mactata virgine illibata, Parthenope dicta: in urbis expiationem. Gratiis deinde persolutis, in Assyrios arma movit, per Argeum montem; quos, occiso rege eorum Sardanapalo, ex genere ejus oriundo, devictos in potestatem suam redegit: quibus imperavit per annos LIII. Quin et a nomine suo Persas eos vocavit; nomine pariter regnoque Assyriis adempto. Arbores etiam illic sevit, quas Persicas vocavit: quas non ibi solum, sed et per Aegyptum etiam, in sui memoriam disseminavit. Docuit praeterea Persas infanda populi Medusaei mysteria; atque inde eos Medos, regionemque eorum Mediam, vocavit.

Perseus autem cum per plures annos imperium Persidis tenuisset, certior factus Jonitas, ex Argivis oriundos, in Syria sedes suas posuisse, eo concedit ad Silpium montem, eos, tanquam sanguine sibi conjunctos, visitaturus. Ab his autem honorifice exceptus est; ut qui scirent, eum genus suum ab Argivis Jopolitis duxisse: summa itaque laetitia affecti,

O 44 ρέντες ἀνύμνουν αὐτόν. χειμῶνος δὲ γενομένου, καὶ πλημμυρήσαντος πολὺ τοῦ παρακειμένου ποταμοῦ τῇ Ἰωνιτῶν πόλει τοῦ λεγομένου Δράκοντος, νυνὶ δὲ Ὀρόντου, ᾔτησε τοὺς Ἰωνίτας εὔξασθαι· καὶ ἐν τῷ εὔχεσθαι αὐτοὺς καὶ μυσταγωγεῖν κατηνέχθη σφαῖρα πυρὸς κεραυνοῦ ἐκ τοῦ οὐρανοῦ, ἥτις ἐποίησε παυθῆναι τὸν χειμῶνα καὶ τὰ τοῦ ποταμοῦ ἐπισχεθῆναι ῥεῖθρα. καὶ θαυμάσας ἐπὶ τῷ γεγονότι ὁ Περσεὺς ἐξ ἐκείνου τοῦ πυρὸς εὐθέως D ἀνῆψε πῦρ, καὶ εἶχε φυλαττόμενον μεθ' ἑαυτοῦ· ὅπερ πῦρ ἐβάσταζεν ἐπὶ τὰ Περσικὰ μέρη εἰς τὰ ἴδια βασίλεια. καὶ ἐδίδαξεν αὐτοὺς τιμᾶν ἐκεῖνο τὸ πῦρ, ὅπερ ἔλεγεν αὐτοῖς ἑωρακέναι ἐκ τοῦ οὐρανοῦ κατενεχθέντα· ὅπερ πῦρ ἕως τοῦ παρόντος ἐν τιμῇ ἔχουσιν οἱ Πέρσαι, ὡς θεῖον. ὁ δὲ αὐτὸς Περσεὺς ἔκτισε τοῖς Ἰωνίταις ἱερόν, ὃ ἐπωνόμασε πυρὸς ἀθανάτου. ὁμοίως δὲ καὶ εἰς τὰ Περσικὰ ἔκτισεν ἱερὸν πυρός, καταστήσας ἐκεῖ διακονεῖν αὐτῷ εὐλαβεῖς ἄνδρας, οὕστινας ἐκάλεσε μάγους. ταῦτα δὲ Παυσανίας ὁ σοφώτατος χρονογράφος συνεγράψατο.

Καὶ μετὰ καιρὸν ἐλθὼν ὁ Κηφεὺς βασιλεὺς κατ' αὐτοῦ ἐκ O 45 τῆς Αἰθιοπίας, ὁ πατὴρ τῆς Ἀνδρομέδας, ἐπολέμησεν αὐτῷ· E ἦν δὲ ὁ Κηφεὺς ἐκ τοῦ γήρως μὴ βλέπων. καὶ ἀκούσας ὁ Περσεὺς ὅτι πολεμεῖ αὐτῷ, ὀργισθεὶς πάνυ, ἐξῆλθε κατ' αὐτοῦ βα-

5. κεραυνοῦ] κεραυνίου Ch. *ibid.* παυθῆναι Ch. cum Chron., καυθῆναι Ox. 7. τῷ γεγονὸς] „Scr. ἐπὶ τὸ γεγονός, sive potius ἐπὶ τῷ γεγονότι, uti legit Chr. Alex." Ch. 11. κατενεχθέντα] κατενεχθῆναι Chron. Forma quae hic est redit p. 25. A, 45. B, 86. C, E, 89. D, E, 91. E, 93. B, 94. C, 99. D, 112. D. vol. II. p. 26. D, 41. C, D, 44. C, 47. E, 70. B. *ibid.* τιμῇ Ch. cum Chron., ὑμῖν Ox.

Perseum suum celebrabant. Tempestate vero ingruente, cum Draco fluvius, qui est nunc Orontes, Jopolim praeterfluens, supra modum imbribus auctus esset; Perseus Jonitas, uti preces funderent, hortatus est: quibus precantibus, sacraque peragentibus, globus ignis fulminalis, e coelo delapsus, tempestatem sedavit, fluminisque impetum coercuit. Mirabundus ad hoc Perseus stetit, et ex igne illo ignem statim accendens, apud se religiose asservavit: quem in Persidem, regnum suum, secum tulit: Persas etiam edocuit divinos honores eidem exhibere; utpote quem de coelo se delapsum videre asserebat. Persae itaque ignem usque adhuc colunt, pro Numine habentes. Ipse autem Perseus Jonitis fanum condidit, *igni aeterno* sacrum. Aliud etiam templum in Perside Igni extruxit; ubi illius Ministros posuit sanctos quosdam viros, quos *Magos* nominavit. Scripta autem reliquit haec Pausanias, sapientissimus Chronographus.

Postea temporis bellum movebat contra Perseum Cepheus Rex Aethiopum, Andromedae pater. Erat autem Cepheus, ex senio, oculorum acumine privatus: Perseus vero ubi audisset, bello se ab eo peti, ingenti correptus ira, contra illum egressus, Gorgonium caput secum tulit, il-

στάζων τὴν κάραν, καὶ ὑπέδειξεν αὐτῷ αὐτήν. καὶ ὁ Κηφεὺς μὴ βλέπων ἐπέβαινεν αὐτῷ ἔφιππος· ὁ δὲ Περσεὺς ἀγνοῶν ὅτι οὐ καθορᾷ, ἐλογίσατο μηκέτι ἐνεργεῖν τὴν κάραν ἧς κατεῖχε Γοργόνος· καὶ στρέψας αὐτὴν πρὸς ἑαυτὸν προσέσχεν αὐτῇ· καὶ τυφλωθεὶς ἔμεινεν ὡσεὶ νεκρὸς καὶ ἀνῃρέθη. καὶ λοιπὸν ἐβασίλευσε Περσῶν ὁ υἱὸς τοῦ Περσέως καὶ τῆς Ἀνδρομέδας, προβλη- V 16
θεὶς ἐκ τοῦ ἰδίου αὐτοῦ πάππου τοῦ Κηφέως, τοῦ βασιλέως τῆς Αἰθιοπίας· ὅστις ἐκέλευσε, καὶ ἐκαύθη ἡ μυσερὰ κεφαλὴ τῆς Γοργόνος, καὶ ἀνεχώρησεν ἐπὶ τὴν ἰδίαν αὐτοῦ χώραν. καὶ ἔμεινε λοιπὸν τὸ γένος τοῦ Περσέως βασιλεῦον τῆς Βαβυλωνίας χώρας.

Ἐν δὲ τοῖς προειρημένοις ἀνωτέροις χρόνοις κατέλαβε τὴν Βοιωτίαν χώραν ἐκ τῆς Φοινίκης Κάδμος, ὁ Ἀγήνορος υἱός· ὅντινα ἔπεμψεν ὁ αὐτοῦ πατὴρ εἰς ἀναζήτησιν καὶ ἀνάῤῥυσιν τῆς Εὐρώπης, ἀδελφῆς αὐτοῦ. καὶ μαθὼν ὁ αὐτὸς Κάδμος ὅτι βασιλεύει τῆς Κρήτης, ἐπὶ τὴν Βοιωτίαν ὥρμησε· καὶ διατρίψας O 46
εἰς τὴν Βοιωτίαν ἐδίδαξεν αὐτοὺς τὰ Φοινίκων ἀγνοοῦντας γράμματα, καὶ ἐτίμουν αὐτὸν καὶ ἐποίησαν αὐτὸν βασιλέα τῆς Βοιω- B
τίας· ἦν γὰρ καὶ εὐειδὴς τῇ θέᾳ· ὅστις βασιλεύει τῶν Βοιωτῶν ἔτη ξβ'. καὶ ἠγάγετο γυναῖκα ἐκεῖθεν ὀνόματι Ἁρμονίαν· ἐξ ἧς ἔσχε θυγατέρας ἕξ, Ἰνὼ καὶ Ἀγαύην καὶ Σεμέλην καὶ Εὐρυνόμην καὶ Κλεανθὼ καὶ Εὐρυδίκην· αἵτινες ἐλέγοντο προϊοῦσαι αἱ

10. *βασιλεῦον* Ch. cum Chron., *βασιλεύοντος* Ox. 13. *Βοιωτίαν*] *Βοιωτείαν* Ox. hic et infra. 17. *Φοινικῶν* Ox. 21. *Ἰνῶ* Ox. et mox *Κλεανθῶ*. *ibid.* *Εὐρινόμην* et *Εὐριδίκην* Ox.

lique obvertit. Cepheus autem minime videns, concitato equo in ipsum irruit: Perseus vero quem latebat Cepheum caecutire, existimans Gorgonium caput non ultra vires suas exerere, sibimet illud obvertit: quod dum intuetur, occaecatus ipse stetit atque sic interemptus est. Persarum deinde Rex, Persei ex Andromeda filius, ab avo suo Cepheo factus est: qui etiam jussit, ut abominandum illud Gorgonis caput igne absumeretur: quo facto, regnum suum repetivit. Abhinc igitur Persei genus Babylone regnavit.

Temporibus autem supradictis, Cadmus, Agenoris filius, Phoenicia relicta, Boeotiam occupavit: a patre enim missus fuerat, ut Europam sororem inventam liberaret. Certior autem factus eam in Creta regnare, versus Boeotiam properavit: ubi diutius commoratus, Phoenicum literas eos, illarum antea ignaros, docuit. Cadmum itaque summo in honore habuerunt, Regemque eum Boeotiae constituerunt, erat enim speciosus forma. Regnavit igitur ad Boeotiam Cadmus per annos LXII, ubi uxorem sibi sumpsit, nomine Harmoniam; ex qua sex suscepit filias, quarum nomina, Ino, Agave, Semele, Eurinome, Cleantho, et Eurydice;

Καδμιάδες. κτίζει δὲ καὶ πόλιν ἐν τῇ Βοιωτίᾳ μεγάλην, ἥντινα ἐκάλεσεν εἰς ἴδιον ὄνομα Καδμείαν. καὶ βασιλεύει ὁ αὐτὸς Κάδμος ἐκεῖ· ἀνεκαλέσατο δὲ ἐκ τῆς ἐξορίας τὸν Τειρεσίαν, Βοιώτιον ὄντα φιλόσοφον, τὸν θηρολέτην, ὄντα πλούσιον καὶ χρήμασι καὶ ἀξίᾳ καὶ σοφίᾳ. ὅστις παρεισήγαγε δόγμα τοῖς Ἕλλησι τὸ αὐτομάτως φέρεσθαι τὰ πάντα καὶ ἀπρονόητον εἶναι τὸν κό-
C *σμον· καὶ οἱ ἱερεῖς συνεσκευάσαντο αὐτόν, καὶ ἐξωρίσθη εἰς τὸ ἱερὸν Δαφναίου Ἀπόλλωνος, ὡς γυναικώδεις ἔχων φρένας, καὶ πολυπραγμονοῦντα πῶς μιγνυμένη γυνὴ μετὰ ἀνδρὸς συλλαμβάνει, καὶ ἡ φύσις τοῦ αἵματος μερίζεται εἰς ὀστέα καὶ σάρκας καὶ φλέβας καὶ νεῦρα καὶ αἷμα, καὶ ζωογονεῖται βρέφος καὶ τίκτεται·*
O 47 *ἅτινα ὁ σοφώτατος Κεφαλίων συνεγράψατο. ὁ γὰρ σοφώτατος Σοφοκλῆς δρᾶμα ἐξέθετο καὶ ποιητικῶς εἶπεν ὅτι τὴν Παλλάδα εἶδε λουομένην καὶ γυνὴ ἐγένετο· ὁ Τειρεσίας, φησί, τὴν σοφίαν τοῦ δημιουργοῦ ἐζήτησε γνῶναι καὶ οὐκ ἠδυνήθη· ὅθεν ἐξέθετο ὁ αὐτὸς Σοφοκλῆς ἐν τοῖς αὐτοῦ συγγράμμασι ταῦτα ἀληθείας*
D *εἶναι· εἷς ἐστιν ὁ θεός, ὃς τὸν οὐρανὸν ἔτευξε καὶ γαῖαν μακρὰν πόντου τε χαροποῦ οἶδμα καὶ ἀνέμων βίας· θνητοὶ δὲ πολὺ καρδίᾳ πλανώμενοι, ἱδρυσάμεθα πημάτων παραψυχὰς θεῶν ἀγάλ-*

1. *Καδμιάδες*] *Καδμίδες* Cedrenus p. 23. C. 2. *Καδμείαν* Cedrenus, *Καδμίαν* Ox. 8. *Δαφναίου* Ch., Cedrenus, *Δαφνέου* Ox. 9. *πολυπραγμονοῦντα*] Cedrenus *εἰς γυναικὸς μεταβληθῆναι φύσιν καὶ πολυπραγμονεῖν αὐτῇ πῶς* etc. 11. *καὶ αἷμα*] „Cedrenus habet, *καὶ τὰ λοιπά*, rectius ut opinor." Ch. 18. *τε χαροποῦ*] *δὲ χαρωποῦ* Ox. 19. *ἰδυσάμεθα πημιμάτων* — *θεῷ* Ox. De turpi fragmento Sophocleo v. Bentleii Epist. p. 12.

quae etiam *Praecellentes forma Cadmiades* vocabantur. Urbem etiam magnam in Boeotia condidit, quam ex nomine suo Cadmiam vocavit; ubi et sedem Regni posuit: Quin et Tiresiam, Boeotorum Philosophum, ab exilio revocavit. Erat hic Venationibus deditus, ditissimus opibus, vir sapiens item magnique nominis; qui et Graecos docuit, omnia fortuito ferri, Mundumque nulla Numinis providentia gubernari. Qua de causa conspiratione in illum a sacerdotibus facta, in Daphnaei Apollinis templum relegatus est: ut qui effaeminati esset animi. Plus satis enim curiose rimabatur, quo pacto faemina ex maris concubitu concipiat: quomodo item fieri potuit, ut sanguinis natura in ossa, carnes, venas, et nervos, in sanguinem denique ipsum distribuatur; et quonam modo foetus in utero vivus efformetur, et in lucem prodeat. Sicuti de eo prodidit sapientissimus Cephalion. Poetice enim de eo locutus est in Dramate suo sapientissimus Sophocles: nempe Tiresiam, Minervam lavantem cum vidisset, in mulierem conversum fuisse. Sed et addit, eundem Tiresiam Summi Opificis sapientiam sollicite indagasse; quam tamen assequi non potuit: unde et Sophocles ipse, in scriptis suis, ista pro veris protulit. *Est unus Deus, Qui Coeli machinam solique condidit; Coerulea ponti terga, et infraenes Notos: At nos miselli, pectore errantes vago, Calamitatum finximus solatia, Formas Deorum saxeas, ligneas, Aurove ductas*

ματα ἐκ λίθων καὶ ξύλων ἢ χρυσοτεύκτων ἢ ἐλεφαντίνων τύπους, θυσίας τε τούτοις καὶ κενὰς πανηγύρεις τεύχοντες εὐσεβεῖν νομίζομεν. μοναρχίαν γὰρ ἐδόκει δοξάζειν ὁ αὐτὸς Σοφοκλῆς.

Ὁ δὲ Κάδμος ἐξέδωκε τὴν ἑαυτοῦ θυγατέρα τὴν Ἀγαύην
Ἐχίονί τινι συγκλητικῷ· ὅστις Ἐχίων ἔσχεν ἐξ αὐτῆς υἱὸν ὀνό-
ματι Πενθέα, ἄνδρα συνετὸν καὶ ἐν φρονήσει καὶ ἐν πᾶσι. τὴν
δὲ Σεμέλην, τὴν ἄλλην αὐτοῦ θυγατέρα, εὐπρεπεστάτην οὖσαν O 48
πάνυ, ἐφίλησέ τις ὀνόματι Πολυμήδων, υἱὸς Αἰθερίωνος συγ- E
κλητικοῦ, ἐκ τοῦ γένους καταγομένου τοῦ Πίκου Διός· ἣν προ-
τρεψάμενος ἔφθειρεν, ἀφ' ἧς ἔσχεν υἱόν. καὶ ἐν τῷ ἔχειν αὐ-
τὴν ἐν γαστρὶ τὸν παῖδα χειμῶνος ὄντος ἐγένοντο ἀστραπαὶ
μεγάλαι καὶ βρονταί· καὶ ἐθροήθη ἡ κόρη Σεμέλη, καὶ τὸ μὲν
βρέφος παρευθὺς ἐγέννησε μηνῶν ἑπτά, αὐτὴ δὲ μὴ ὑπενέγκασα
τοὺς πόνους ἐτελεύτησε· καὶ ἔπεμψεν ὁ Κάδμος τὸ βρέφος εἰς V 17
τὴν Νυσίαν χώραν, κἀκεῖ ἐτράφη· διὰ τοῦτο δὲ συνεγράψατο ὅτι
ὁ Ζεὺς τὸν λοιπὸν χρόνον τῆς μητρικῆς αὐτοῦ γαστρὸς ἐν τῷ ἰδίῳ
κόλπῳ ἐφύλαξε, διότι μέρος ζωῆς ἔσχε παρὰ τὸν χρόνον τῆς γεν-
νήσεως αὐτοῦ ἐκτρωθείς, καθὼς Παλαίφατος ὁ σοφώτατος συν-
εγράψατο. ὅντινα ὁ αὐτοῦ πάππος Κάδμος Νύσιον ἐκάλεσεν,
ἀλλ' οἱ λοιποὶ ὡς θαύματά τινα ποιοῦντα ἐκ τῆς ἡλιακῆς εὐχῆς
Διόνυσον μετεκάλεσαν, ὡς ἐκ γένους ὄντα πατρῴου, καὶ ἀπε-

1. ἢ alterum addidi. 2. καινὰς Ox. 5. Αἰχίονι — Αἰχίων Ox. 15. διὰ τοῦδε συνεγράψατο] „διὰ τοῦτο δὲ, scribendum censeo. Fabulae hujus auctoris nomen hic excidisse videtur; nisi forte συνεγράψαντο, in plurali legendum sit; quod verisimilius." Ch.

fusili, aut eburneas. His dum immolamus, dum stato Augustos die Reddimus honores, esse nos remur pios. Sophocles enim sensisse videtur, unum esse universi Imperatorem.

Cadmus autem Agavem filiam Aechioni cuidam, viro nobili, locavit: qui ex ea filium habuit nomine Pentheum, virum sagacem et in omnibus prudentem. Semelem vero, filiam alteram, egregiae formae virginem, amavit quidam nomine Polymedon, Aetherionis F. ex Jovis Pici genere: qui eam in amorem suum illectam compressit, et ex ea filium habuit. Semele autem dum puerum in utero gereret, ingens accidit tempestas, horrendos coeli fragores et fulgura emittens: quibus perterrefacta mulier, foetum statim edidit septimestrem. Cumque puerperii dolores sufferre non potuisset, expiravit ipsa: infantem vero Cadmus in Nysiam regionem misit enutriendum. Quoniam vero foetus, ante legitimum tempus exclusus portionem aliquam vitae suae extra communem usum a Deo sortitus est; ideo fabulantur, eum, per reliquum tempus materno utero debitum, in ipso Jovis sinu asservatum fuisse: sicuti scriptum reliquit sapientissimus Palaephatus. Nomen autem puero avus ejus, Cadmus, Nysium dedit: alii vero Dionysum vocarunt, tanquam ex genere Jovis Pa-

θέωσιν αὐτὸν εὑρηκότα δι' ἀμπέλου τροφὴν ἀνθρώποις. ἐξέ-
θετο γὰρ καὶ περὶ τῆς ἀμπέλου καὶ τῆς γεωργικῆς τινα· ἔμαθε
B δὲ καὶ μυστικά τινα καὶ ἐγένετο ἀνὴρ σοφὸς καὶ ἐν μυσταγωγίαις
O 49 ὁ αὐτὸς Διόνυσος, καὶ ἐποίει φαντασίας τινὰς θαυμάτων. ὅστις
καὶ πρὸς Πέρσας καὶ πρὸς Ἰνδοὺς καὶ εἰς πολλὰς χώρας ἀπῆλθε,
καὶ πολεμῶν φαντασίας τινὰς θαυμάτων ἐδείκνυεν, ἔχων καὶ
στρατὸν μεθ' ἑαυτοῦ πολύν. ὁ δὲ Κάδμος γεγηρακὼς παρεχώ-
ρησε τῆς διοικήσεως τῆς βασιλείας τῶν Βοιωτῶν τῷ υἱῷ τοῦ Ἐχίο-
νος, τῷ Πενθεῖ, τῷ ἐκγόνῳ αὐτοῦ· ὅστις ἐπῃνεῖτο παρὰ τῶν
συγκλητικῶν καὶ παρὰ πάντων. ὁ Κάδμος δὲ λαβὼν τὸν Τειρε-
σίαν διῆγεν ἐν τῇ χώρᾳ τῆς Βοιωτίας ἐπὶ τὸ Κιθαιρώνιον ὄρος
τὸν πολὺν χρόνον. τοῦτο δὲ ἀκούσας ὁ Διόνυσος, ὅτι ἐγήρασεν
C ὁ αὐτοῦ πάππος, ἦλθεν ἐπὶ τὴν Καδμείαν πόλιν μετὰ πολλῆς
ἀξίας καὶ ὅπλων, ὀφείλων βασιλεῦσαι. καὶ ἑωρακὼς αὐτὸν φαν-
τασίας τινὰς ποιοῦντα καὶ ὁπλίτας ἔχοντα, καὶ προσκαλούμενον
πᾶσαν τὴν συγγένειαν αὐτοῦ, καὶ τὰς συγγενικὰς διδάσκοντα μυ-
σταγωγίας ἡλιακῶν βακχευμάτων, ἃς ἔλεγον βάκχας, ὡσαύτως
δὲ καὶ τοὺς πολίτας καὶ τελετάς τινων εὐχῶν διδάσκοντα ἡλια-
O 50 κῶν πρὸς τὸ πεῖσαι τοὺς Βοιωτοὺς δύνασθαι αὐτὸν ἀντέχισθαι

6. καὶ πολέμων φαντασίας τινὰς θαυμάτων ἐδείκνυεν] „Forte legendum, καὶ πολεμῶν, φαντασίας τ. θ. ἐ. Cedrenus habet, καὶ φαντασίας τινὰς θαυμασίων ἔργων καὶ πολέμων etc." Ch. 7. παρεχώρησε τῆς διοίκησις] „Scr. διοικήσεως. Cedrenus habet, ᾧ καὶ τὴν διοίκησιν τῆς βασιλείας ὕστερον παρεχώρησε Κ." Ch. 8. Αἰχίονος Ox. 9. Πένθει — ἐπαινεῖτο Ox. 11. Κιθερώνιον Ox.

trii; et quod ex Carmine solari Magico mirabilia quaedam efficeret. Quin et in Deorum numerum retulerunt eum, eo quod, ex vite, mortalibus alimentum suppeditasset: de cujus usu, sicut et de Agriculturae legibus, nonnulla exposuit. Sed et mysticis etiam rebus operam dedit, indeque vir sapiens et Mysteriorum peritus evasit, et Imposturis suis mortalium perstrinxit oculos. Profectus etiam ingenti cum exercitu, adversus Persas Indosque, plurimas item regiones alias, admiranda quaedam in praeliis exhibuit Praestigiarum specimina. Cadmus autem aetate jam provectior factus, Boeotiae regnum Pentheo Nepoti suo, Echionis filio, reliquit: hunc enim primores regni, omnisque adeo populus magna laude prosecuti sunt. Cadmus autem ipse comitem sibi adjungens Tiresiam, per tempus longum, ad Cithaeronem montem, in Boeotorum regione vitam transegit, Dionysus vero ubi intellexisset Cadmum avum jam consenuisse, pervenit ipse in urbem Cadmiam, cum exercitu, et celebritate magna, Boeotiae regnum sibi asserturus. Pentheus autem cum praestigias operantem, armatisque instructum observasset; et quod convocatis qui sanguine illi juncti fuerunt omnibus, cognatas docuerit mysticos modos furorum Solarium, quas ideo *Bacchas* nominavit: similiter et Boeotis etiam precularum quarundam Solarium Initiationes tradiderit; quo

τῆς βασιλείας, κεκοσμημένον ὅπλῳ καὶ στρατῷ, οὕς, φησί, σκίρ-
τους ἐκάλει, ὡς γοργοὺς καὶ ἐξαλλομένους· ἦσαν γὰρ ἐκ τῆς Βεσ-
σικῆς χώρας, καὶ σοφίᾳ μυστικῇ πεπαιδευμένοι· ταῦτα γνοὺς ὁ
Πενθεὺς ἐφθόνει αὐτῷ, ἀκούσας ὅτι καὶ τῆς βασιλείας τῶν Βοιω- D
τῶν ἐπιθυμεῖ. καὶ γενόμενοι ἐχθροὶ συνέβαλον πόλεμον ἐν τῇ
πόλει· καὶ ὁ Πενθεὺς νικήσας αὐτὸν παρέλαβεν αὐτόν, καὶ δήσας
ἐφύλαξεν αὐτὸν διὰ τὴν παρουσίαν τοῦ Κάδμου, τοῦ πάππου αὐ-
τῶν. ἡ δὲ Ἀγαύη, ὡς θεία αὐτοῦ καὶ μήτηρ τοῦ Πενθέως,
πείσασα τὸν ἴδιον υἱὸν ἐποίησεν αὐτὸν ἀπολῦσαι αὐτόν. ὅστις
ἀπολυθεὶς ἐβουλεύετο πῶς ἀνέλῃ τὸν Πενθέα· καὶ ὁπλισάμενος
μετεστείλατο τὴν Ἀγαύην, καὶ ᾔτησε φιλιωθῆναι αὐτὴν τῷ Πεν-
θεῖ καὶ ἅμα αὐτῷ ἀπελθεῖν πρὸς τὸν Κάδμον. ἡ δὲ πολλὰ
ποιήσασα τῷ Πενθεῖ, τῷ ἑαυτῆς υἱῷ, ἔπεισεν αὐτὸν φιλιωθῆ-
ναι αὐτῷ καὶ ἀπελθεῖν πρὸς τὸν Κάδμον, ὅτι ἐλυπήθη πρὸς αὐ- E
τούς, τῆς Ἀγαύης συνταξαμένης ἅμα αὐτοῖς ἀπιέναι καὶ πείθειν O 51
τὸν ἴδιον πατέρα. ὁ δὲ Διόνυσος ὠργίζετο κατὰ τοῦ Πενθέως,
ὡς δεθεὶς καὶ λοιδορούμενος παρ' αὐτοῦ· ἔλεγε γὰρ πᾶσιν ὅτι ἐκ
πορνείας ἐτέχθη ὁ αὐτὸς Διόνυσος. διὰ τοῦτο δὲ καὶ ὁ Εὐριπί-
δης μετὰ χρόνους εὑρηκὼς τὸ τοιοῦτον σύγγραμμα τῶν Βακχῶν
ἐξέθετο δρᾶμα, ὡς ἀπὸ Πενθέως εἰπὼν ταῦτα· Σεμέλη δὲ λο-

1. *σκίρτους*] Vid. Lobeck. Aglaopham. p. 1311. 11. *αὐτὴν*] *αὐτὸν* Ch. Tum Ox. *τοῦ Πενθεΐ* et mox *Πενθεΐ*. 20. *Πενθέως*] Immo Semelae sororum.

persuasos haberet eos, posse se Boeotorum regnum sibi asserere; ut qui instructus esset exercitu, et militibus ejusmodi, quos ob corporis agilitatem et saltandi peritiam *Scirtos* vocare se dixit: [erant enim ex gente Bessica, et mysteriorum insuper cognitione imbuti:] Pentheus, inquam, certior de his factus; audiens etiam Boeotiae regnum eum affectare, odio Dionysum prosecutus est: et inimicitiis invicem contractis, in ipsa urbe ad pugnam deventum est. Pentheus autem praelio victor, Dionysum comprehendit; inque vincula conjectum, in Cadmi avi adventum asservare statuit. Agave autem Penthei mater, et Dionysi matertera, precibus obtinuit a filio suo, ut captivum liberaret. Liberatus Dionysus secum in animo volutat, quomodo Pentheum e medio tollat. Armis itaque paratis, Agavem accersit; rogatque eam, ut in gratiam cum Pentheo rediens, Cadmum una adirent. Quod a filio Pentheo obtinuit tandem mater: quae promisit sese etiam eis comitem fore, ad patrem demulcendum, qui ab utroque, quod fecerant, moleste tulit. Illud autem Dionyso stomachum movit, quod in vincula a Pentheo conjectus, contumeliose etiam exceptus fuisset. Sparserat enim ille in populum, Spurium esse Dionysum, ex adultera natum. Unde et longo post tempore Euripides, qui de Dionyso tale quid scriptum invenerat; in Tragoedia quam *Bacchas* vocavit, ista de Dionyso profert, sub Penthei persona. *Sed Semele com-*

χευθεῖσα ἐκ βροτοῦ τινος εἰς Ζῆνα φέρουσα τὴν ἁμαρτίαν λέγει.
V 18 φιλιωθέντων δὲ αὐτῶν ἐκέλευσε τῷ ἰδίῳ στρατῷ ὁ Διόνυσος προλαβεῖν κατὰ τὴν ὁδὸν ἐν στενῷ τόπῳ καὶ συσχεῖν τὸν Πενθέα. ἐν δὲ τῷ μέλλειν αὐτοὺς ἐξιέναι μετὰ ὀλίγων ἀνδρῶν ἦλθεν ὁ Διόνυσος πρὸς αὐτόν· καὶ λοιπὸν ὁ Πενθεύς, ἀγνοῶν τὸ σκέμμα, καὶ αὐτὸς ὀλίγους μεθ' ἑαυτοῦ ἔλαβεν ἄνδρας· καὶ ἡ Ἀγαύη ἦν μετ' αὐτῶν. ἐν δὲ τῷ αὐτοὺς ἀπιέναι ἐπέῤῥιψεν αὐτῷ ὁ στρατὸς τοῦ Διονύσου, καὶ συνέσχον τὸν Πενθέα· καὶ εὐθέως ἐκέλευσεν ὁ Διόνυσος ἀποτμηθῆναι αὐτόν, καὶ τὴν κεφαλὴν δοθῆναι τῇ μητρὶ αὐτοῦ, ὡς ὑβριζούσῃ τὸν αὐτὸν Διόνυσον. καὶ ὑπέστρεψεν ὁ Διόνυσος εἰς τὴν Καδμείαν εἰς τὸ βασιλεῦσαι. διὰ τοῦτο δὲ λέγουσι τὴν Ἀγαύην ἀποκεφαλίσασαν τὸν ἴδιον αὐ-
B τῆς υἱόν, διότι ἔπεισε τὸν Πενθέα φιλιωθῆναι τῷ Διονύσῳ καὶ
O 52 αἰτία γέγονε τοῦ θανάτου τοῦ ἰδίου αὐτῆς υἱοῦ. οἱ οὖν συγκλητικοὶ καὶ πολῖται τῆς Καδμείας πόλεως οὐκ ἐδέξαντο τὸν αὐτὸν Διόνυσον διοικῆσαι τὴν βασιλείαν αὐτῶν, λέγοντες ὅτι τὸν ἴδιον ἐξάδελφον ἐφόνευσε μὴ ὢν βασιλεύς· ἐὰν βασιλεύσῃ, ἀπολεῖ τὴν Βοιωτίαν. καὶ προετρέψαντο παρακαλέσαντες τὸν Λυκοῦργον, ἄνδρα σοφόν, εἰπόντες αὐτῷ τὰ συμβάντα. καὶ ὡπλίσατο κατ' αὐτοῦ, καὶ ἐκβάλλει αὐτὸν ἐκ τῆς Καδμείας πόλεως καὶ τῆς Βοιωτίας. καὶ γνοὺς τοῦτο ὁ Διόνυσος, ὅτι ὡπλίσατο κατ' αὐτοῦ,

1. λέγει] „Scr. λέχους, ex Euripide in Prolog. Bacch. v. 29.“ Ch. 11. Καδμίαν Ox. et mox bis Καδμίας. 17. ἀπολεῖ Ch., ἀπωλεῖ — Βοιωτείαν Ox. et mox Βοιωτείας. 19. ὡπλίσετο] „Scr. ὡπλίζετο, sive ὡπλίσατο, uti infra habetur.“ Ch. 21. ὅτι ὡπλίσατο κατ' αὐτοῦ.] „Verba ista transposita, locoque non suo apparent. Itaque legendum censeo: Καὶ γνοὺς τοῦτο ὁ Διόνυσος, ὅτι ὡπλίσατο κατ' αὐτοῦ, ἔφυγε etc.“ Ch. Ponebantur post Βοιωτίας.

pressa ab aliquo mortali, in Jovem retulit culpam stupri. Pace igitur inter eos composita, Dionysus mandavit militibus suis, uti praeoccupatis viae angustiis, parati essent Pentheum adoriri. Ad iter itaque eis se accingentibus, Dionysus paucis stipatus ad Pentheum venit; qui, nihil insidiarum suspicatus, et ipse modico instructus satellitio, cum Agave comite exibat. Dum vero iter faciunt, incidunt in Dionysi exercitum; qui Pentheum adorti, comprehendunt: caputque ei, ex Dionysi mandato, statim detruncant, matrique ejus deferunt; ob contumeliam scilicet ab ea Dionyso illatam. Quo facto in urbem Cadmiam revertitur Dionysus regnum capessiturus. Hinc Poetae fabulantur, Agavem filio suo caput amputasse, eo quod Pentheum Dionyso concilians, filii sui necis causa fuisset. Cives autem Primoresque urbis Cadmiae Dionysum regem suum habere noluerunt; dicentes eum, qui, privatus dum esset, patruelem neci dedisset, si ad regni fastigia fuerit provectus, ipsam Boeotiam funditus eversurum. Lycurgum itaque, verum sapientem, cui rem totam aperiunt, in auxilium suum vocant: qui contra Dionysum arma sumens, ex urbe illum, atque etiam ex Boeotorum finibus exterminat. Quod ubi

ἔφυγε τὸν Λυκοῦργον· καὶ εἰς Δελφοὺς ἀπελθὼν ἐκεῖ τελευτᾷ. καὶ ἐτέθη τὸ λείψανον τοῦ αὐτοῦ Διονύσου ἐκεῖ ἐν σορῷ· καὶ τὰ C ὅπλα δὲ αὐτοῦ αὐτὸς ἐκεῖ εἰς τὸ ἱερὸν ἐκρέμασε, καθὼς Δείναρχος ὁ σοφώτατος συνεγράψατο περὶ τοῦ αὐτοῦ Διονύσου. ὡσαύτως δὲ καὶ ὁ σοφώτατος Φιλόχορος τὰ αὐτὰ συνεγράψατο, ἐν ᾗ ἐκθέσει εἶπε περὶ τοῦ αὐτοῦ Διονύσου, ἔστιν ἰδεῖν τὴν ταφὴν αὐτοῦ ἐν Δελφοῖς παρὰ τὸν Ἀπόλλωνα τὸν χρυσοῦν. βάθρον δέ τι εἶναι ὑπονοεῖται ἡ σορός, ἐν ᾧ γράφεται, Ἐνθάδε κεῖται θανὼν Διόνυσος ἐκ Σεμέλης. ὁμοίως δὲ καὶ ὁ σοφώτατος Κεφαλίων τὰ αὐτὰ ἐν τῷ ἰδίῳ συγγράμματι ἐξέθετο.

Μετὰ οὖν τὴν τελευτὴν τοῦ Κάδμου, βασιλέως τῆς Βοιωτίας, O 53 ἐβασίλευσεν ὁ Νυκτεύς. οὗτος ἔχει θυγατέρα, ἱέρειαν τοῦ ναοῦ Ἡλίου, ὀνόματι Ἀντιόπην· ἥτις ἐδιδάχθη τὴν ἡλιακὴν εὐχήν, D ἤτοι μυσταγωγίαν τῶν Διονυσιακῶν βακχευμάτων, κἀκεῖθεν ἐλέγετο βάκχη. ὁ δὲ αὐτῆς πατήρ, ὁ Νυκτεύς, εἶχεν ἀδελφὸν ὀνόματι Λύκον, βασιλέα τοῦ Ἄργους· ὅστις Λύκος βασιλεὺς εἶχε συγκλητικὸν ὀνόματι Θεόβοον, υἱὸν γενόμενον Βρόντονός τινος, ἐξαδέλφου τῆς Δίρκης, ἐκ τοῦ γένους τοῦ Πίκου Διὸς καταγομένου. ὁ αὐτὸς δὲ Θεόβοος ὁ συγκλητικὸς κατὰ τάγμα ἐλθὼν ἐκ τοῦ Ἄργους ἐν τῷ ἱερῷ τοῦ Ἡλίου παρακοιμηθῆναι, καὶ ἑωρακὼς O 54 τὴν ἱέρειαν Ἀντιόπην, εὐπρεπεστάτην οὖσαν καὶ εὐμήκη, ἐβλήθη

3. *Δείναρχος* Bentleius p. 72., *Δήμαρχος* Ox. 7. *βάθρον — γράφεται* Siebelis. ad Philoch. p. 21., *βόθρον — γράφει* Ox. 11. *Βοιωτείας* Ox. 12. *ἔχει*] „Forte *εἶχε.*“ Ch. 17. *Θεόβοον — Βρόντονος*] *Θεόβοιον — Βράτωνος* Cedrenus p. 24. C, *Θεοβόωντος* Ioannes Antiochenus apud Ioannem Tzetzam Hist. I. 13.

Dionysus intellexisset, fuga rebus suis consuluit, et Delphos profectus, diem illic supremum obiit: ubi etiam reliquiae ejus in loculo positae sunt, in fano, ubi ipse arma sua suspenderat, sicut memoriae prodidit sapientissimus Demarchus, de hoc nostro Dionyso scribens. Eadem etiam habentur apud sapientissimum Philochorum; qui in scriptis suis testatur, Dionysi sepulchrum, suis etiam temporibus, Delphis extitisse; juxta Apollinem Aureum: pro loculo autem foveam quandam habuisse, in qua istiusmodi scriptum legere erat Epitaphium. *Dionysus, Semeles Filius, hic jacet sepultus.* Haec autem ipsa tradidit etiam in scriptis suis sapientissimus Cephalion.

Cadmo autem Boeotorum rege defuncto, regnavit Nycteus. Erat ei filia, nomine Antiopa; solis in templo sacerdos, cujus etiam edocta preculas, mysticos nempe illos Bacchandi ritus, exinde Baccha dicta est. Pater autem ejus Nycteus fratrem habuit, Lycum nomine, Argivorum regem. Habuit hic in regno suo virum Nobilem, nomine Theoboum Brontonis cujusdam Dirces patruelis, ex genere Pici Jovis oriundi, filium. Theobous autem iste, ex voto veniens ab Argis in templum solis ut ibi recubaret, Antiopam sacerdotem illic conspectam deperibat; ut quae vir-

*εἰς ἔρωτα αὐτῆς. καὶ παραμείνας ἐν τῷ ἱερῷ προφάσει τοῦ τά-
γματος τῆς εὐχῆς, ὡς συγγενὴς αὐτῆς, ὑπονοθεύσας ἔφθειρεν αὐ-*
E *τὴν καὶ ἔγκυον ἐποίησε· καὶ φοβηθεὶς τὸν Νυκτέα, βασιλέα τῆς
Βοιωτίας, ἀνεχώρησεν εἰς τὴν ἰδίαν αὐτοῦ χώραν. μαθὼν δὲ ὁ
Νυκτεὺς βασιλεύς, ὁ ταύτης πατήρ, ὅτι ἐφθάρη, ἔλαβεν αὐ-
τὴν ἐκ τοῦ ἱεροῦ· καὶ ἐξετάσας αὐτὴν ἔμαθε παρ' αὐτῆς τὸν
φθορέα Θεόβοον ὅτι ἐκ τῶν συγκλητικῶν ἐστι τοῦ ἀδελφοῦ αὐτοῦ
Λύκου καὶ τῆς αὐτοῦ γυναικὸς γένος. ἀγνοῶν δὲ ὁ Νυκτεύς, ὁ
πατὴρ αὐτῆς, ὅτι ἔγκυός ἐστιν, ἔπεμψεν αὐτὴν εἰς τὸν ἴδιον αὐ-*
V 19 *τοῦ ἀδελφόν, τὸν Λύκον, βασιλέα τοῦ Ἄργους, ἵνα ἐξετάσῃ καὶ
αὐτὸς τὸ πρᾶγμα τῆς φθορᾶς αὐτῆς, καὶ εἰ ἀληθές ἐστιν ὅτι ἐκ
τοῦ Ἄργους ἐστὶν ὁ αὐτῆς φθορεύς, καὶ αὐτὴν τιμωρήσηται, ὡς
φθαρεῖσαν ἱέρειαν οὖσαν, καὶ ἐκεῖνον δὲ ἀμύνηται, ὡς τοιοῦ-
τόν τι τολμήσαντα κατὰ ἱερατικοῦ σώματος. ὁ δὲ βασιλεὺς Λύ-
κος εἰσαγαγὼν τὴν αὐτὴν Ἀντιόπην εἰς ἐξέτασιν, καὶ ἑωρακὼς*
O 55 *αὐτῆς τὴν εὐπρέπειαν, καὶ μαθὼν ὅτι ἔγκυός ἐστιν, ἠλέησεν αὐ-
τήν, λέγων ὅτι δεῖ περιμεῖναι, ἄχρις οὗ τέκῃ, καὶ τότε τιμωρή-
σασθαι αὐτήν, ὡς ἱερατικὸν ὑβρίσασαν σχῆμα. ὁ δὲ αὐτὸς Λύ-
κος βασιλεὺς εἶχε γυναῖκα τὴν Δίρκην· καὶ παραδοὺς αὐτῇ τὴν
Ἀντιόπην εἶπεν αὐτὴν φυλάττεσθαι παρ' αὐτῇ, ἄχρις οὗ τέκῃ·*
B *ὁ δὲ Λύκος βασιλεὺς ἦν θεῖος τῆς Ἀντιόπης. ἡ δὲ αὐτὴ Ἀντιόπη
ἐγέννησε δίδυμα, οὕστινας ἐκάλεσεν Ἀμφίονα καὶ Ζῆθον. καὶ*

4. *Βοιωτείας* Ox. 22. *Ἀμφίωνα* Ox. *ibid.* *Ζῆθον* Ch., *Ζῆθαν* Ox.

go esset forma staturaque pulcherrima. Commoratus vero templo, tanquam sub specie religionis, ut qui virgini etiam sanguine esset conjunctus; in amorem suum illectam eam vitiavit gravidamque fecit. Metuens deinde sibi a Nycteo, Boeotorum rege, in patriam suam reversus est. Nycteus autem, virginis pater de his certior factus, filiam suam fano extractam examini subjecit; et compertum habens, vitiatam fuisse eam a Theoboo, qui Lyci fratris ex Primoribus erat, uxorique suae sanguine conjunctus: filiam suam, nescius tamen eam jam tum praegnantem esse, ad Lycum fratrem, Argivorum regem, misit; ut ipse etiam, examine facto de stupro, inquireret nempe an Author ejus esset ex Argivis suis aliquis: quod ita esse si comperisset; ut Antiopa poenas daret violatae pudicitiae, quod hoc sacerdos commisisset: in illum vero gravius ut decerneretur, qui tale aliquid in personam sacram ausus fuerit. Rex autem Lycus cum de Antiopa Quaestionem habere statuisset, observata ejus forma; et edoctus etiam gravidam eam esse, misericordia motus, manere eam jussit usque dum partum edidisset, poenas deinde laturam temerati sacerdotii. Interim rex Lycus Antiopam, cujus etiam erat avunculus, Dircae uxori custodiendam tradidit, usque dum partum ederet. Parturiens autem Antiopa gemellos enixa est; quibus nomina dedit, Amphionem et Zethum. Infantes autem in lucem editos exponi rex jussit, in vico Ras-

ἐῤῥίφησαν γεννηθέντα τὰ βρέφη κατὰ κέλευσιν τοῦ Λύκου βασιλέως ἐν τῇ κώμῃ τῇ λεγομένῃ Ῥασθέᾳ πλησίον τοῦ Κιθαιρωνίου ὄρους. οὕστινας παῖδας οἴκτου χάριν ἔλαβε παρὰ τῶν ῥιπτόντων τὰ αὐτὰ βρέφη Ὀρδίων τις γεηπόνος, ἄπαις ὤν, γνοὺς ὅτι τέκνα ὑπῆρχον τῆς ἱερείας Ἀντιόπης· ᾔδει γὰρ αὐτήν, ὡς ἱέρειαν· καὶ ἀνεθρέψατο αὐτά. μετὰ δὲ χρόνον πολέμου κινηθέντος τῇ Ἀργείων χώρᾳ, ἐξῆλθεν ὁ Λύκος βασιλεὺς ἐπὶ τὸν πόλεμον· καὶ ἐχρόνισε πολεμῶν. ἡ δὲ Δίρκη, τοῦ Λύκου βασιλέως γυνή, λογισαμένη ὅτι οὐκέτι μετὰ τὸν τοκετὸν ἐτιμωρήσατο τὴν αὐτὴν Ἀντιόπην, ἀλλ' εἴασεν αὐτήν, ὡς ἐρῶν αὐτῆς καὶ λάθρᾳ μιγνύ- C μενος μετ' αὐτῆς, ὡς εὐπρεπεστάτης, λαβοῦσα αὐτὴν μετὰ ὀλίγων στρατιωτῶν ὡς ἐπὶ χώραν ἀπῆλθεν ἐπὶ τὸ Κιθαιρώνιον ὄρος ἐν τῇ κώμῃ ὅπου οἱ αὐτῆς υἱεῖς ἦσαν ἀνατραφέντες. τοῦτο δὲ O 56 ἀγνοοῦσα ἡ Δίρκη, καὶ ἐξαγαγοῦσα ἐκ τοῦ αὐτοῦ χωρίου ταῦρον ἄγριον, καὶ πήξασα δᾷδα ἐν τοῖς αὐτοῦ κέρασι, τὴν Ἀντιόπην ἐκέλευσε δεθῆναι, καὶ τὸν σχοῖνον εἰς τὸν τράχηλον τοῦ ταύρου εἰλιγῆναι, καὶ οὕτως συρῆναι τὴν Ἀντιόπην ὑπὸ τοῦ ταύρου καὶ ἀπολέσθαι. καὶ ἀκούσαντες πάντες οἱ τοῦ αὐτοῦ κτήματος τὸν μέλλοντα γίνεσθαι τῆς Ἀντιόπης θάνατον καὶ τοὺς αὐτῆς ὀλολυγμούς, ἐξῆλθον ἐκ τοῦ Δέρας Θέας χωρίου οὕτως λεγομένου· ἦσαν δὲ ἐν πλήθει πολλοὶ ἐν αὐτῷ ἄγροικοι· ὡσαύτως δὲ καὶ οἱ D

2. *Ῥασθέα* Ox. *ibid.* *Κιθερωνίου* Ox. Sic et 12. 3. *ῥιπτόντων* Ch., *ῥυπτόντων* Ox. 6. *κιν.* Ch., *κυν.* Ox. 10. *εἴασεν* Ch., *ἔασεν* Ox. 18. *ἀπωλέσθαι* Ox. 20. *ἐκ τοῦ Δέρας Θέας*] „Supra *Ῥασθέα* vocata est: forte legendum, *ἐκ τοῦ δὴ Ῥασθέας χωρίου.*" Ch. Immo dele *δέ*.

thea dicto, non procul a Cithaerone monte. Caeterum misertus eorum Ordio quidam agricola, puerulos accepit ab eis, quibus eos exponendi cura commissa erat: cumque prole careret ipse, atque etiam sciret, eos matrem habere Antiopam, quam sacerdotem esse cognoverat, suppeditavit ipse infantibus alimoniam. Postea temporis grassante bello per Argivorum regionem, rex Lycus in militiam profectus est: cumque bello longiuscule detentus fuisset; uxor ejus Dirce existimans, Antiopam, cum puerperii doloribus jam soluta, poenas adhuc nullas luisset, conjugi suo (cui, ob formam gratissimam esse eam suspicabatur,) in clandestinos reservatam concubitus: paucis stipata militibus, eam sibi sumit comitem, tanquam in rus secederet; et versus Cithaeronem tendens montem, in vicum, ubi Antiopae filii enutriti erant, devenit. Verum Dirce, cum hoc ignoraret, Taurum sylvestrem ex regione illa adduci jussit; cujus cornibus facem adaptans, collo ejus fune circumligato, Antiopam ei alligari jussit, ut a Tauro sic distracta periret. Audientes vero, qui in vico illo habitabant, destinatum Antiopae supplicium, ejusque ejulatus; egressa est numerosa rusticorum turba, (quos plurimos Rasthea vicus ha-

δύο υἱοὶ τῆς Ἀντιόπης ἦσαν μετ' αὐτῶν ἅμα τῷ ἀναθρεψαμένῳ
αὐτοὺς Ὀρδίωνι γεωργῷ. καὶ παρεκάλουν τὴν Δίρκην μὴ τοιού-
τῳ μόρῳ ἀνελεῖν αὐτήν· ἡ δὲ ἐξεῖπεν αὐτοῖς ὅτι ἱέρεια ἦν τοῦ
Ἡλίου, καὶ ἐφθάρη καὶ ἐγέννησε δύο παῖδας ἐκ πορνείας, καὶ
δεῖ αὐτὴν τιμωρηθῆναι. καὶ ἀκούσαντες οἱ τῆς Ἀντιόπης υἱοί,
Ζῆθος καὶ Ἀμφίων, παρὰ τοῦ ἀναθρεψαμένου αὐτοὺς Ὀρδίω-
νος ὅτι ἡ μήτηρ αὐτῶν ἐστιν ἡ μέλλουσα τιμωρεῖσθαι, ἡ Ἀντιό-
πη, συναθροίσαντες πᾶσαν τὴν ἀγροικικὴν χώραν, ἅμα αὐτοῖς
O 57 ἀπελθόντες ἐφόνευσαν τοὺς στρατιώτας. καὶ λαβόντες τὴν Δίρ-
κην ἀφείλοντο ἃ ἐφόρει βασιλικὰ κοσμήματα, καὶ ἔλυσαν τὴν Ἀν-
τιόπην. καὶ λυθεῖσα τῶν δεσμῶν ἡ Ἀντιόπη ἐπέτρεψε τοῖς ἰδίοις
E αὐτῆς παισίν, Ἀμφίονι καὶ Ζήθῳ, φονεῦσαι τὴν Δίρκην· καὶ
λαβόντες τὴν Δίρκην ἔδησαν εἰς τὸν αὐτὸν ἄγριον ταῦρον, καὶ
συρεῖσα ὑπὸ τοῦ ταύρου ἡ Δίρκη ἀπώλετο. ὁ δὲ ταῦρος ἐκ τῆς
ἐλασίας ἐδίψησε, καὶ εὑρὼν πηγὴν ἔστη πιεῖν· καὶ κοπεῖσα ἡ
σχοῖνος εἴασε πλησίον τῆς πηγῆς τὸ λείψανον τῆς Δίρκης· καὶ
ἐκλήθη ἡ αὐτὴ πηγὴ ἐξ ἐκείνου ἕως τῆς νῦν ἐν τῇ χώρᾳ ἐκείνῃ ἡ
Δίρκη. καὶ λοιπὸν ὁ Ζῆθος καὶ ὁ Ἀμφίων ἔλαβον τὴν ἑαυτῶν
V 20 μητέρα, τὴν Ἀντιόπην, καὶ ἔφυγον ἐπὶ τὴν ἰδίαν χώραν αὐτῶν,
τὴν Βοιωτίαν· καὶ ἐκεῖ ἀναφανέντες ἐγνώσθησαν τοῖς Βοιωτοῖς.
ὁ δὲ αὐτῶν πάππος ὁ Νυκτεύς, ὁ βασιλεὺς τῆς αὐτῆς Βοιωτίας
χώρας, γεγήρακε, καὶ νόσῳ βληθεὶς τελευτᾷ. καὶ λοιπὸν μετὰ
τὴν τελευτὴν τοῦ Νυκτέως βασιλέως οἱ τῆς Βοιωτίας πάντες ᾔτη-

8. ἀγροικικὴν] ἀγροικὴν Ox. 12. Ἀμφίωνι Ox. Sic et infra.

bebat,) inter quos etiam erant Antiopae filii ambo, et qui eos enutriverat, Ordio agricola. Cumque una omnes Dircem rogarent, uti Antiopa tali saltem fato non periret; instabat illa, Antiopam, cum solis sacerdos esset, castitatem suam violasse, et ex illicito concubitu filios duos peperisse; atque adeo supplicii hujus dignam esse. Amphion autem et Zethus, ubi ab altore suo Ordione didicissent, matrem suam esse Antiopam, quae supplicio tradenda esset: collectis in unum rusticis in circuitu omnibus, egressi sunt cum eis: et occisis militibus, comprehensam Dircem regalibus suis ornamentis spoliarunt, Antiopamque vinculis solvunt. Soluta illa, filiis suis, Amphioni et Zetho, imperat, uti Dircem e medio tollerent: illi vero correptam illam Tauro illi feroci alligant, a quo raptata, periit. Taurus autem, ex cursu, sitivit; et reperto fonte, bibiturus astitit. Contigit autem, ut rupto fune, Dirces cadaver prope fontem istum relictum jacuerit: unde ab indigenis fons iste, Dirce, usque adhuc vocatus est. Post haec Zethus et Amphion matrem Antiopam sibi sumentes, in Boeotiam patriam suam fugerunt: ubi deinde Boeotis innotuerunt. Nycteus autem, avus eorum, Boeotiae rex, aetate jam grandior ex morbo interiit: post cujus obitum, Boeoti omnes Amphionem et Zethum rogabant, uti Nycteo regi, a quo genus ducebant, ipsi in regno succederent. Itaque Reges salutati Musici hi, Amphion et Zethus, Boeotis im-

σαν αὐτοὺς βασιλεῦσαι αὐτῶν τὸν Ἀμφίονα καὶ τὸν Ζῆθον, ὡς ἐκ
γένους βασιλικοῦ ὑπάρχοντας τοῦ Νυκτέως. καὶ ἀνηγορεύθησαν
βασιλεῖς, καὶ ἐβασίλευσαν ὁ Ἀμφίων καὶ ὁ Ζῆθος τῆς Βοιωτίας
χώρας οἱ μουσικοί. καὶ εὐθέως Ἀμφίων ὁ λυρικὸς κτίζει πόλιν
μεγάλην πάνυ, δωδεκάπυλον, τὴν πρώην μὲν οὖσαν κώμην λε- O 58
γομένην Ἐνχιλίαν· ἣν ὠνόμασαν οἱ αὐτοὶ ἀδελφοὶ πόλιν Θήβας
εἰς τὸ ὄνομα τοῦ αὐτῶν πατρὸς κατὰ κέλευσιν τῆς αὐτῶν μητρός, B
τῆς Ἀντιόπης. καὶ ἐβασίλευσαν ἔτη πολλὰ τῶν Θηβῶν· καὶ λοι-
πὸν ἐκλήθη ἡ αὐτὴ χώρα Θῆβαι. ὁ δὲ Λύκος βασιλεύς, ὁ τῆς
Δίρκης ἀνήρ, ὁ θεῖος αὐτῶν, ἐτελεύτα ἐν τῷ πολέμῳ. ἅτινα
συνεγράψατο Κεφαλίων μετὰ ἀληθείας· ὁ γὰρ σοφώτατος Εὐρι-
πίδης ποιητικῶς ἐξέθετο δρᾶμα ὡς ὅτι ὁ Ζεὺς εἰς Σάτυρον [με-
ταβληθεὶς] ἔφθειρε τὴν Ἀντιόπην, κἀκεῖθεν ἐγεννήθη ὁ Ζῆθος
καὶ ὁ Ἀμφίων οἱ μουσικοί. κατὰ δὲ μετάστασιν μετεμψυχώσεως
καταχθέντα τὸν πατέρα αὐτῶν Θεόβοον ἐκ τοῦ Πίκου Διὸς εἶπεν,
ὅτι ὁ Ζεὺς μεταβληθεὶς εἰς Σάτυρον, ὅ ἐστι κατὰ τὴν Βοιωτῶν
γλῶσσαν εἰς ἄλλο σῶμα εὐτελέστερον, ἔφθειρε τὴν Ἀντιόπην.

Μετὰ δὲ τὴν βασιλείαν τοῦ Ἀμφίονος καὶ τοῦ Ζήθου ἐβασί- C
λευσαν οἱ ἐκ τοῦ γένους αὐτῶν τῶν Θηβῶν ἕως τῆς βασιλείας O 59
τοῦ Οἰδίποδος, υἱοῦ Λαΐου καὶ τῆς Ἰοκάστης. ὅστις Λάϊος,

6. *Ἐνχιλίαν*] Scripsisse videtur *Ἐγχέλειαν*. Nota est fabula de Cadmi et Harmoniae ad *Ἐγχελεῖς*, gentem Illyricam, secessu. Unde fortasse explicandum hoc de primo Thebarum nomine commentum. 11. *Εὐριπίδης*] V. Valckenar. Diatr. in Eur. fr. p. 62. C. 12. *μεταβληθεὶς* supplevi ex Cedreno p. 25. A, *τρεφθεὶς* addebat Bentleius p. 16. 18. *Ἀμφίωνος* Ox. 20. *Ἰωκάστης* Ox. constanter.

perabant. Amphion autem Lyricus urbem statim amplissimam condidit, duodecim portas habentem, quae antea vicus erat, Enchilia dictus. Urbem hanc matris ex jussu, a Theoboi patris nomine, Thebas vocarunt fratres: ubi etiam per multos annos regnarunt. Tota deinde in circuitu regio, ab Urbe, Thebae appellata est. Rex interim Lycus, Dirces conjux, et eorum avunculus, in bello mortuus est: sicuti ista secundum veritatem prodidit Cephalion. Sapientissimus enim Euripides Poëtarum more scribit in Fabula, vitiatam fuisse Antiopam a Jove, in Satyrum verso; atque inde natos Zethum et Amphionem, Musicos. Jovem vero, in Satyrum conversum Antiopam vitiasse dicens, Metempsychosin refert; cujus juxta Transmigrationem, Theobous, gemellorum parens, ex Jove Pico oriundus fuit: *Satyrus* enim, Boeotorum dialecto, corpus aliquod vilius designat.

Amphionem vero et Zethum exceperunt, in regno Thebano, posteri eorum; usque ad Oedipum, Laii et Jocastae filium. Laius enim, Thebanorum rex, filium habuit, nomine Joccam, eum nempe, qui postea vocatus est Oedipus. Laius autem oraculo monitus, eum cum propria ma-

Ioannes Malalas. 4

βασιλεὺς Θηβῶν, ἔσχεν υἱὸν Ἰώκκαν, μετακληθέντα τὸν αὐτὸν προειρημένον Οἰδίποδα. καὶ χρησμοδοτηθεὶς ὅτι τῇ ἰδίᾳ αὐτοῦ μητρὶ Ἰοκάστῃ συμμιγήσεται, ἐκέλευσε τοῖς παραμένουσιν αὐτῷ στρατιώταις λαβεῖν τὸν αὐτὸν Οἰδίποδα εἰς τὰς ὕλας, καὶ βληθῆναι τοὺς πόδας αὐτοῦ ἐν ξύλῳ γλυφέντι καὶ ἔχοντι ὀπὰς καὶ ἡλωθῆναι τὸ ξύλον· ἐξ αὐτοῦ οὖν ἐπινενόηται ὁ λεγόμενος παρὰ τοῖς στρατιώταις ἕως τῆς νῦν κοῦσπος· καὶ ποιήσαντες ὡς ἐκελεύσθησαν οἱ στρατιῶται εἴασαν τὸν Οἰδίποδα εἰς τὰς ὕλας, ὅπως
D θηριόβρωτος γένηται. καὶ ἐλθών τις ἄγροικος ὀνόματι Μελίβοιος ἐπὶ τὴν ὕλην κόψαι ξύλα, εὗρεν αὐτὸν συρόμενον ἐπὶ τὴν γῆν καὶ τοὺς πόδας αὐτοῦ ὀγκωθέντας. καὶ λαβὼν ἐν ᾗ ἐβάσταζεν ἀξίνῃ ἔκλασε τὸ ξύλον ὅπου ἐσφάληντο οἱ αὐτοῦ πόδες, καὶ
O 60 λαβὼν αὐτὸν ἀνεθρέψατο, καλέσας αὐτὸν Οἰδίποδα διὰ τὸ οἰδάνειν τοὺς πόδας αὐτοῦ· καὶ ἐγένετο γενναῖος αὐξηθείς. ἐν δὲ τῇ χώρᾳ ἐκείνῃ ἀνεφάνη γυνή τις χήρα ὀνόματι Σφίγξ, δυσειδής, κατάμασθος, χωρική· ἥτις μετὰ τὴν ἀποβολὴν τοῦ ἰδίου αὐτῆς ἀνδρὸς συναγαγοῦσα πλῆθος ἀγροίκων λῃστῶν ὁμοφρόνων αὐτῇ ἐν τῇ ἰδίᾳ αὐτῆς κώμῃ τῇ λεγομένῃ Μωάβῃ, κειμένῃ δὲ μεταξὺ δύο ὀρέων, ἐχόντων ἐν μέσῳ στενὴν ὁδὸν μίαν μόνην, καὶ κα-
E θημένη ἐν τῇ μιᾷ κορυφῇ τοῦ ὄρους, ἔχουσα τὴν ἅμα αὐτῇ λῃστρικὴν χεῖρα, καὶ πάντας τοὺς παριόντας ὁδοιπόρους καὶ πραγματευτὰς ἐφόνευσε καὶ τὰ αὐτῶν πάντα ἐκομίζετο. ἥτις περιβόητος ἐγένετο εἰς τὰς Θήβας, καὶ πολλῶν ἐξελθόντων τῶν στρα-

1. *Ἰώκκαν*] *Ἰοκᾶν* Cedrenus, *Ἰόκαστον* Valckenarius ad Phoeniss. v. 27. 4. *λαβεῖν*] Fort. *βαλεῖν*.

tre rem habiturum esse, militibus adstantibus imperat, uti Oedipum filium in sylvas deportarent; pedesque ejus in foramina ligni perforati immittentes, clavis munitum redderent. Hinc autem habemus tormenti illius inventum, quod a militibus usque adhuc *Cuspus* vocatur. Milites autem regis dicto audientes, Oedipum in sylvis exposuerunt, a feris devorandum. In sylvam autem veniens Rusticus quidam nomine Meliboeus, ut ligna caederet; puellum invenit in terra volutantem pedibusque tumefactum. Ille vero securi, quam in manu habebat, lignum illud, quo pueri pedes impediti erant, confringens, puerum deduxit, domique secum enutrivit; Oedipum, a pedum tumore appellans: qui postea adolescentior factus, egregiam prae se ferebat indolem. Erat autem in regione illa mulier quaedam agrestis, nomine Sphinx; deformis illa quidem, et mammosa vidua: quae, post mariti obitum, multitudinem coegerat latronum agrestium suique similium, ex vico suo, Moabe dicto; qui medius jacebat inter duos montes, inter quos unicus erat angustus aditus. Illa vero occupato altero montis vertice, cum praedonibus suis, negotiatores et viatores quoscunque illac praetereuntes interfecit, quaeque habuerunt omnia diripuit: unde fama illius per Thebas totas percrebuit.

τηγῶν, καὶ μετ' αὐτῶν στρατὸς πολὺς ἐκ τοῦ Λαΐου βασιλέως, καὶ ταύτης οὐδεὶς ἠδυνήθη περιγενέσθαι διὰ τὸ ἰσχυρὸν τῶν ὀρέων καὶ διὰ τὸ πλῆθος τῶν ἀγροίκων λῃστῶν τῶν μετ' αὐτῆς συμμε- V 21
ριζομένων τὰ τῶν παριόντων ξένων καὶ πολιτῶν. ὁ δὲ Οἰδίπους τέλειος γενόμενος ἔμαθεν ὅτι ἀπὸ τῆς πόλεως κατάγεται τῶν Θηβῶν· καὶ ἀκούσας ὅτι γυνή τις ὀνόματι Σφίγξ, λῃστρίς, ἐλυμαίνετο πάντας τοὺς ἐπὶ τὰς Θήβας ἐρχομένους, καὶ στενὸν τὴν πόλιν· σοφὸν οὖν τι βουλευσάμενος εἰς τὸ ἀναιρεῖν τὴν Σφίγγα O 61
ἔλαβεν ἐκ τοῦ κτήματος ὅπου ἀνετράφη ἀγροίκους γενναίους, ὥς, φησί, θέλων ἅμα τῇ Σφιγγὶ λῃστεύειν. καὶ ἀπῆλθε πρὸς αὐτὴν αἰτῶν αὐτὴν συλλῃστεύειν αὐτῇ· ἥτις θεασαμένη τοῦ νεωτέρου τὴν θέαν καὶ τῶν μετ' αὐτοῦ, ἐδέξατο αὐτὸν καὶ τοὺς σὺν αὐτῷ· καὶ ἐπήρχετο καὶ αὐτὸς τοῖς παριοῦσιν. εὑρηκὼς δὲ καιρὸν ὅτε οὐκ ἔσχεν ὄχλον λῃστῶν μετ' αὐτῆς, λαβὼν λόγχην ἀνεῖλεν αὐτήν, B
καὶ ἀφείλετο πάντα τὰ αὐτῆς, φονεύσας ἅμα τοῖς αὐτῆς πολλούς. καὶ εἰσήγαγε τὸ λείψανον αὐτῆς ἐν τῇ τῶν Θηβῶν πόλει, ὡς ὀφείλων κομίσασθαι ἅμα τοῖς αὐτοῦ χρήματα ἀπὸ τοῦ βασιλέως Λαΐου. καὶ θαυμάζοντες πάντες οἱ Θηβαῖοι πολῖται ἀνύμνουν αὐτὸν καὶ ἔκραζον αὐτὸν βασιλέα τῶν Θηβῶν γενέσθαι. καὶ

1. στρατὸς πολὺς] στρατοῦ πολλοῦ Ch., μήτε στρατοῦ μήτ' αὐτοῦ τοῦ βασιλέως Λαΐου ἰσχύοντος κατ' αὐτῆς Cedrenus p. 25. B. Eo duce legendum videatur στρατοῦ πολλοῦ καὶ τοῦ Λαΐου βασιλέως ταύτης. V. tamen ad p. 54. A. 2. ὀρίων Ox. 7. τὰς] τῆς Ox. *ibid.* στενὸν] ὡς ἀποστενοῦσθαι τὰς Θήβας δι' αὐτῆς Cedrenus. Fort. στενοῖ. conf. vol. II. p. 15. C. 15. τοῖς αὐτῆς] Immo τῶν αὐτῆς. πολλοὺς τῶν μετ' αὐτῆς Cedrenus.

Itaque rex Laius duces suos primarios, cum copiis magnis contra Sphingem emittit; sed frustra fuerunt omnes, tum propter inexpugnabiles montium angustias, cum propter latronum agrestium multitudinem, quos civium advenarumque spoliorum participes ipsa sibi adjunxit. Oedipus autem jam adultior factus, ubi inaudisset mulierem quandam praedatricem, nomine Sphingem, infestissimam esse omnibus Thebas euntibus; adeoque urbem ipsam, unde ipse se oriundum intellexerat, in angustias redigere; vafrum quoddam protinus iniit consilium, unde Sphingem e medio tolleret. Comparatis itaque sibi ex vicinia illa, ubi educatus fuerat, rusticorum generosioribus, initurus, ut ipse prae se ferebat, cum Sphinge latrocinandi societatem; Sphingem adit, in latrocinii sodalitium admitti petens. Illa vero conspecto juvenis decore et sociorum ejus, ipsum sociosque excipit, unde et ipse Viatores etiam aggressus est. Sed oblata occasione, absente latronum turba, arrepta hasta ipsam confodit: pluribus etiam ex latronibus una interfectis, bona eorum omnia abripuit. Sphingis deinde cadaver Thebas adduxit, praemium facti a rege Laio sibi suisque expectans. Et quidem Thebani, admiratione ducti, celebrabant eum, regnoque Thebanorum dignum praedicabant. Hoc autem

ἠγανάκτησεν ὁ βασιλεὺς κατὰ τῶν τῆς πόλεως, καὶ ἔπεμψε στρατὸν κατ' αὐτῶν· καὶ γενομένου ἐμφυλίου πολέμου ἐξῆλθεν ὁ Λάϊος ἀπολογήσασθαι αὐτοῖς. καὶ ῥιφείσης κατ' αὐτοῦ σαγίττας ἐφονεύθη ὁ Λάϊος· καὶ λοιπὸν ἡ Ἰοκάστη, μὴ θέλουσα ἐκβληθῆναι τῆς βασιλείας, εὐθέως ἀγαγοῦσα τὸν Οἰδίποδα ἐποίησεν C αὐτὸν βασιλέα, μαθοῦσα ὅτι οὐκ ἔχει γυναῖκα. καὶ ἐγαμήθη αὐτῷ πρὸς θεραπείαν τῶν τῆς πόλεως καὶ τῆς συγκλήτου· καὶ ἐβασίλευσε τῶν Θηβῶν ὁ Οἰδίπους ἔτη ιθ', καὶ τῆς Ἰοκάστης O 62 ἀγνοούσης καὶ τοῦ Οἰδίποδος ὅτι μήτηρ αὐτοῦ ὑπῆρχε· καὶ ἔσχε δύο υἱοὺς παρ' αὐτῆς, τὸν Ἐτεοκλέα καὶ τὸν Πολυνείκην, καὶ θυγατέρας δύο, Ἰσμήνην καὶ Ἀντιγόνην. μετὰ δὲ χρόνον τινὰ ἐπηρώτησεν ἡ αὐτὴ Ἰοκάστη τὸν Οἰδίποδα πόθεν ἐστὶ καὶ τίς αὐτοῦ πατήρ; ὁ δὲ εἶπε τὸν Μελίβοιον τὸν ἀναθρεψάμενον αὐτόν. καὶ μεταστειλαμένη τὸν Μελίβοιον τὸν ἀναθρέψαντα αὐτὸν ἔμαθε παρ' αὐτοῦ ὅτι οὐκ ἔστιν αὐτοῦ υἱός, ἀλλ' εὗρεν αὐτὸν εἰς τὰς ὕλας. καὶ ἐπερωτήσασα τὸν χρόνον, ἔγνω ὅτι υἱὸς αὐτῆς ἐστι· D καὶ εἶπεν αὐτῷ. καὶ ἀκούσας ὁ Οἰδίπους ἔλαβεν ἥλους, καὶ πήξας τοῖς ἰδίοις αὐτοῦ ὀφθαλμοῖς τελευτᾷ, ἐάσας τὸ βασίλειον τοῖς δυσὶν αὐτοῦ υἱοῖς, ἐνιαυτὸν παρ' ἐνιαυτὸν βασιλεύειν κελεύσας· οἵτινες εἰς ἔχθραν ἐλθόντες διὰ τὴν βασιλείαν, ἐπολέμησαν μετ' ἀλλήλων, καὶ ἑαυτοὺς ἔσφαξαν μονομαχήσαντες. ὁ γὰρ O 63 Πολυνείκης, ἐκβληθεὶς ἀπὸ τῆς βασιλείας καὶ διωχθεὶς ἀπὸ τῶν

10. Πολύνικον — Ἰσμενὴν Ox. 12. ἐπερώτησεν Ox. 14. ἀναθρέψαντα Ch., ἀνθρέψαντα Ox. 22. Πολυνίκης Ox.

a civibus Rex indigne ferens, exercitum contra eos emisit. Grassante autem bello civili, egressus ipse est, uti purgatione aliqua cives demulceret: cum interim contorto in eum spiculo vulneratus interiit. Jocasta vero, ne e regno dejiceretur in curis habens; insuper etiam ut apud Primores, populumque gratiam iniret; Oedipum quem innuptum esse rescierat, conjugem sibi accipiens, regem designavit. Thebanorum itaque regnum tenuit Oedipus, per annos XIX, nescientibus interim Jocasta, Oedipoque, illam hujus esse matrem. Habuit autem ex ea duos filios, Eteoclem et Polynicem; totidemque filias, Ismenen et Antigonam. Post vero tempus aliquod interjectum, quaesivit ab Oedipo Jocasta, unde esset? Et a quo ortus parente? respondit ille de Enutritore suo, Meliboeo. Hunc igitur accersendum curat regina, discitque ab illo, nequaquam ejus esse filium Oedipum; sed in sylvis expositum, ab eo repertum. Illa vero de tempore sciscitata eum, Oedipum esse filium suum cognovit. Haec ubi a Jocasta accepisset Oedipus, sumptis clavis, eos oculis suis impungens, mortem oppetiit: regnumque filiis duobus alternis annis administrandum reliquit. Sed fratribus, diu inter se concordes esse, Regnum non permisit: itaque invicem belligerantes, singulari ex certamine mutuis vulneribus occubuerunt. Polynices enim ab Eteocle fratre

Θηβῶν ἀπὸ τοῦ Ἐτεοκλέους, ἀδελφοῦ αὐτοῦ, ἀπῆλθεν εἰς τὸ Ἄργος· καὶ ἠγάγετο γυναῖκα τὴν θυγατέρα Ἀδράστου τοῦ βασιλέως τοῦ Ἄργους. καὶ προτρεψάμενος τὸν Ἄδραστον βασιλέα καὶ ἄλλους βασιλεῖς μετὰ πλήθους στρατοῦ κατὰ τοῦ ἰδίου ἀδελφοῦ ἦλθε κατὰ τῶν Θηβῶν· οἱ δὲ προτραπέντες καὶ μετ᾽ αὐτοῦ ἐπιστρατεύσαντες ἦσαν αὐτοί, Ἄδραστος, Καπανεύς, Ἀμφιάραος, E *Παρθενοπεύς, Ἱππομέδων. καὶ τῶν δύο ἀδελφῶν, ὡς εἴρηται, τελευτησάντων, ἀνεχώρησαν οἱ βασιλεῖς μετὰ τῶν ἰδίων στρατευμάτων ἐπὶ τὰς αὐτῶν χώρας, καὶ ἐλύθη ἡ βασιλεία τῶν Θηβῶν, ἤτοι Βοιωτῶν, κατασχοῦσα ἔτη τξθ΄. τὰ δὲ προγεγραμμένα ταῦτα πάντα ὁ σοφώτατος Παλαίφατος ἀληθῆ ἐξέθετο. ὁ γὰρ σοφώτατος Εὐριπίδης ποιητικῶς ἐξέθετο δρᾶμα περὶ τοῦ Οἰδί-* V 22 *ποδος καὶ τῆς Ἰοκάστης καὶ τῆς Σφιγγός. τὰ γὰρ τῶν Θηβῶν βασίλεια Ἀφρικανὸς ὁ χρονογράφος ἐξέθετο.*

Ἐν δὲ τοῖς ἀνωτέρω προγεγραμμένοις [χρόνοις] ἐκ τῆς φυλῆς τοῦ Ἰάφεθ ἐγεννήθη ὁ Σερούχ· ὅστις ἐνήρξατο πρῶτος τὸ τοῦ ἑλληνισμοῦ δόγματος διὰ τῆς εἰδωλολατρίας, καθὼς Εὐσέβιος ὁ Παμφίλου συνεγράψατο, διὰ τὸ τοὺς πάλαι γενομένους O 64

1. *Ἐτεωκλέους* Ox. 5. *οἱ*] *ὁ* Ox. 6. *αὐτοί*] Fortasse praestat *οὗτοι*. *ibid.* *Καπανεύς*] *καί, πpανεὺς* Ox., *καὶ Καπανεύς* Ch. *ibid.* *Ἀμφίαρος* Ox. 7. *Παρθενοπεὺς*] Scribe *Παρθενοπαῖος*. 15. *προγεγραμμένοις*] *χρόνοις* supplevit Ch. ex Cedreno p. 45., qui postea sic pergit: *ὅστις πρῶτος ἤρξατο τοῦ ἑλληνισμοῦ καὶ τοῦ δόγματος τῆς εἰδωλολατρίας*. Apud Malalam fortasse scribendum: *πρῶτος τοῦ ἑλληνισμοῦ διὰ τοῦ δόγματος τῆς εἰδ.* 16. *Ἰάφεθ*] Debuit *Σήμ*. Disputavit de hoc errore Schurzfleischius Notit. Bibl. Vinar. p. 52. 17. *Εὐσέβιος*] Nempe Malalianus: v. Hodii Proleg. XXV. Mai. ad Euseb. p. 170. Schurzfl. l. c. p. 296.

regno pulsus, et ab ipsis etiam Thebis ejectus; Argos profectus, Argivorum regis, Adrasti filiam, in uxorem duxit. Quo etiam, unaque aliis regibus, in auxilium suum adscitis; magno instructus exercitu, in fratrem, Thebasque arma movit. Reges autem, quorum auxiliis in hoc bello usus est, fuerunt Adrastus, Capaneus, Amphiarus, Parthenopeus, et Hippomedon. Fratribus autem, uti supra dictum, pereuntibus; Reges cum exercitibus suis, quisque in regionem suam, recesserunt. Tales habuit exitus Thebanum, sive Boeotorum regnum; cum durasset annos CCCLXIX. Ista autem omnia superius tradita, juxta rei veritatem, literis mandavit sapientissimus Palaephatus. Quae enim Euripides in Dramate suo de Oedipo, Jocasta, et Sphinge scripsit, Poetice intelligenda sunt. De Thebanorum Dynastiis memoriam habes etiam apud Africanum Chronographum.

Temporibus autem quae superius dicta sunt extitit Seruchus, ex Japheti stirpe oriundus. Invexit hic cultum Idololatricum, dogmatisque, Hellenismi dicti, auctor fuit: uti scriptis tradidit Eusebius Pamphili. Majoribus enim suis, qui Imperatores aut duces in bello fuissent; qui-

πολεμιστάς, ἡγεμόνας, ἢ πράξαντάς τι ἀνδρεῖον ἢ ἀρετῆς ἐν τῷ βίῳ τοῦ μνημονεύεσθαι εἶναι ἄξιον, μάλιστα τοὺς ποιήσαντας διὰ δυνάμεώς τινος μυστήρια, ὡς ὄντας αὐτῶν προπάτορας, ἀνδριᾶσι B *στηλῶν ἐτίμησαν, καὶ πάντες ὡς εὐεργέτας εἰς θεὸν προσεκύνουν, καὶ ἐθυσίαζον αὐτοὺς τιμῶντες, ὅτι ἀγαθὸν εὑρηκότες, ἢ διὰ τέχνης ἢ διὰ κτίσματος ἢ διὰ σοφίας ἢ δι' ἄλλης οἵας δήποτε ἀρετῆς ἐλθόντας, οὕστινας ἀπεθέωσαν, καθὼς Ῥηγῖνος ὁ σοφώτατος συνεγράψατο τῶν ἀποθεωθέντων ὀνόματα. οἱ δὲ μετὰ ταῦτα ἄνθρωποι, ἀγνοοῦντες τὴν τῶν προγόνων γνώμην, ὅτι ὡς προπάτορας καὶ ἀγαθῶν ἐπινοητὰς ἐτίμησαν μνήμης καὶ μόνης χάριν, ὡς θεοὺς ἐπουρανίους ἐτίμουν καὶ ἐθυσίαζον αὐτοῖς, οὐχ ὡς γενομένους ἀνθρώπους θνητοὺς καὶ ὁμοιοπαθεῖς. περὶ ὧν ἐν ταῖς συγγραφαῖς αὐτοῦ λέγει καὶ ὁ Διόδωρος ὁ σοφώτατος ταῦτα ὅτι* C *ἄνθρωποι γεγόνασιν οἱ θεοί, οὕστινας οἱ ἄνθρωποι ὡς νομίζοντες δι' εὐεργεσίαν ἀθανάτους προσηγόρευον· τινὰς δὲ καὶ ὀνομά-* O 65 *των προσηγορίας ἐσχηκέναι καὶ κρατήσαντας χώρας. τοῦτο δὲ ἐποίουν οἱ ἄνθρωποι ἀγνοίᾳ πλησθέντες. ἦν δὲ τὸ τῆς ἀποθεώ-*

1. *πολεμιστάς*] Verba male habita sic reponit Cedrenus: *αὐτὸς γὰρ ὁ Σεροὺχ καὶ οἱ σὺν αὐτῷ τοὺς πάλαι γενομένους ἢ πολεμιστὰς ἢ ἡγεμόνας καί τι πράξαντας ἀνδρίας ἢ ἀρετῆς ἄξιον ἐν τῷ βίῳ τοῦ μνημονεύεσθαι καὶ ὡς ὄντας αὐτῶν προπάτορας ἀνδριᾶσι στηλῶν ἐτίμησαν.* Chron. Pasch. p. 48. *τοὺς πάλαι παρ' αὐτοῖς τετιμημένους, ἢ τυράννους ἢ ἡγεμόνας ἤ τινάς τι δράσαντας ἐν τῷ βίῳ μνήμης δοκοῦν ἄξιον δι' ἀλκῆς τε ἢ σώματος εὐρωστίας.* Scribendum videtur *ἢ ἡγεμόνας ἢ πράξαντάς τι ἀνδρεῖον — τοῦ μνημ. εἶναι ἄξιον δοκοῦν.* 6. *δι' ἄλλης* Ch., *διαλλαγῆς* Ox. 12. *θνητοὺς* Ch., *θνητῶν* Ox. 15. *προσηγόρευον*] *θεοὺς* praeponit Wesselingius ad Diodorum vol. II. p. 634. 76. 17. *πλησθέντες*] *πλανηθέντες* Wesselingius, qui haec Diodori verbis attribuisse videtur.

que magnum aliquod sive virtutis, seu artis specimen memoratu dignum edidissent; maxime autem eis, qui vi quadam occulta, mysticum aliquod operati fuissent; statuas honoris causa erexerunt. Quin et ab omnibus summa in veneratione habitos, tanquam de Diis ipsis optime meritos; in Deorum numerum retulerunt, adorantes eos et sacra facientes; ut qui boni alicujus, vel ab arte sua aut fabrica aliqua, sive denique sapientia, aut singulari aliqua virtute eorum comparati mortalibus authores fuerunt, sicuti scripsit Rheginus, apud quem etiam Deorum Indigetum habentur nomina. Posteri vero, eorum consilium ignorantes; (nempe, ut eos, tanquam generis sui auctores, et bonorum inventores, nec aliam ob causam, honoribus istiusmodi prosecuti fuerint:) istos, non ut homines mortales, et iisdem passionibus obnoxios venerati sunt; sed victimas immolantes, divinum illis cultum praestiterunt. Atque huc referendum est, quod in scriptis suis habet sapientissimus Diodorus, ubi dicit: *Homines ab Hominibus facti sunt Dii, existimantibus illos propter bona opera immortalitatem consecutos. Itaque eorum nonnullis nomina dederunt; et regionibus suis Tutelares Deos designarunt. Hoc autem ab hominibus, igno-*

σεως σχῆμα τοῦτο. ἐν τοῖς ἱερατικοῖς αὐτῶν βιβλίοις τὰ ὀνόματα αὐτῶν ἐτάσσετο, ὅτε ἐτελεύτησαν, καὶ κατὰ τὸν αὐτὸν καιρὸν ἑορτὴν καὶ θυσίαν αὐτῶν ἐπετέλουν ἐν οἷς ἔκειντο μνήμασι, λέγοντες εἰς τὰς τῶν μακάρων νήσους εἶναι τὰς αὐτῶν ψυχὰς καὶ μηκέτι κρίνεσθαι ἢ καίεσθαι πυρί. καὶ διέμειναν ἕως τῶν χρόνων Θάῤῥα, τοῦ πατρὸς τοῦ Ἀβραάμ. ἦν γὰρ Θάῤῥα ἀγαλματοποιὸς πλαστουργῶν, ἀπὸ λίθων καὶ ξύλων θεοὺς ποιῶν καὶ πιπράσκων, καὶ πλάνην ἀγαλμάτων καὶ εἰδωλολατρίας εἰσῆγε τοῖς ἀνθρώποις διὰ ἀπεικονισμάτων τῶν προγόνων αὐτῶν, μάλιστα τῶν εὑρηκότων τὰ γράμματα καὶ τὰς τέχνας· οἷς συνέτρεχον σπουδαίως οἱ Αἰγύπτιοι καὶ οἱ Βαβυλώνιοι καὶ Φρύγες οἱ ἐκ τῆς Ἑλλάδος· ταύτης γὰρ τῆς θρησκείας ὑπῆρχον. ἦσαν γὰρ καὶ αὐτοὶ ἀγαλμάτων ποιηταὶ καὶ μυστηρίων ἐξηγηταὶ καὶ τελεσταί· ἀφ' ὧν μάλιστα εἰς Ἕλληνας ἤχθη ἡ αὐτὴ θρησκεία, ἀπό τινος Ἕλληνος ὀνόματι, υἱοῦ καὶ αὐτοῦ Πίκου Διός, μυστικά τινα ποιοῦντος ἀνδρὸς τῶν ἐν Ἑλλάδι κατοικησάντων, ἐκ τῆς φυλῆς ὄντος τοῦ Ἰάφεθ, υἱοῦ Νῶε τοῦ τρίτου. Ἴωνες δὲ οἱ ἐκ τῆς Ἰὼ τούτων [γὰρ] ἀρχηγοὶ ἐγένοντο· ἦσαν γὰρ διδαχθέντες ἐκ τοῦ Ἰωανέως γίγαντος τοῦ οἰκοδομήσαντος σὺν τοῖς ἄλλοις τὸν πύρ-

D O 66 E

1. βιβλίοις] βασιλείοις Ox., ταῖς ἱερατικαῖς βίβλοις Cedrenus, Suidas v. Σερούχ. 2. ὅτε Ch., ὅτι Ox. 5. διέμειναν] ταῦτα post Ἀβραάμ addit Cedrenus p. 46. A, τοῦτο δὲ διέμεινε Suidas, καὶ τοῦτο ἐπεκράτησε Ioannes Antioch. p. 778. ed. Vales. Aut igitur διέμεινεν scribendum aut addendum ταῦτα. 13. τελεσταί] τελεταί Ox. 17. Ἴωνες Cedrenus p. 46. B et Chron. Pasch. p. 49. A, Ἰωνὶ Ox. Cum iisdem delendum γάρ et quae post Ἰῶ ponebatur interpunctio.

rantia plenis, factitatum est. Ritus autem homines in Deos referendi iste fuit. Statim post mortem, referebantur in sacros Commentarios Defunctorum nomina: quo tempore etiam festum eis celebrabant, sacrificia peragentes ad sepulchra, quibus recondebantur: dicentes animas illorum in *Beatorum Insulas* migrasse; judicio aut flammis deinde non obnoxias, Duravit autem mos iste usque ad Thara tempora, qui Abrahami pater fuit. Erat enim Thara statuarius; qui ex lapidibus et lignis Deos efformavit, et venales habuit: quique ex fabrifactione imaginum, in Majorum memoriam, (illorum praecipue, qui literarum atque artium inventores fuerunt;) simulachrorum cultusque Idololatrici superstitionibus homines implicavit. Horum vestigiis insistebant Aegyptii, Babylonii, et in Graecia Phryges, qui et ipsi omnes erroribus hisce dediti, fabricatores imaginum fuerunt; Initiatores item et Mysteriorum Interpretes. Ab istis in Graeciam dimanavit error, promovente Hellene quodam, Helladis incola; qui Mysta fuit, atque Jovis Pici filius, ex genere Japheti, Noae filii tertii, oriundus. Jones autem, quorum generis princeps fuit Jo, eorum duces erant: edocti vero sunt a *Joane* Gigante, qui unus erat ex

γον· ὥντινων καὶ γλῶσσαι διεμερίσθησαν, διὸ καὶ μέροπες κέκληνται οἱ ἄνθρωποι διὰ τὸ μερισθῆναι αὐτῶν τὰς λαλιὰς εἰς πολλὰς γλώσσας καὶ φωνάς. οὕστινας μεμφόμενος ὁ Χερονήσιος
O 67 Πλούταρχος ἡ παλαιὰ φιλοσοφία παρ' Ἕλλησι καὶ βαρβάροις ἐξέθετο ὡς πλάνην ἀγαλμάτων τινὲς εἰσάγουσιν· αὐτὸς δέ, φησί,
V 23 τοὺς κατ' οὐρανὸν φωστῆρας θεοποιεῖν ἔδοξε, τὸν ἥλιον καὶ τὴν σελήνην παρεισάγων, ὡς ἡ τῶν Αἰγυπτίων θεολογία ἔχει, αὐτοὺς τὸν σύμπαντα κόσμον διοικεῖν τρέφοντας καὶ αὐξάνοντας τὰ πάντα τῇ τρίτῃ κινήσει τῶν ε' πλανητῶν καὶ τῆς λοιπῆς ἀστροθεσίας κατὰ γένεσιν καὶ ἀέρα. τὸν δὲ Πλούταρχον τὸν Χερονήσιον Πορφύριος ἐν τῇ φιλοσόφῳ αὐτοῦ χρονογραφίᾳ ἐδόξασε.

3. *Χερονήσιος*] „*Χεῤῥονήσιος* habet Cedrenus: verum Plutarchus non *Χεῤῥονήσιος*, sed *Χαιρωνεύς*, Chaeronensis erat, ex Chaeronia, Phocidis urbe." Ch. 4. *ἡ παλαιὰ φιλοσοφία*] *τῇ παλαιᾷ φιλοσοφίᾳ* Ch. Conf. Wyttenbach. praefat. ad Plutarchum vol. I. p. 58. Cedrenus: *οἷς τισι μέμφεται ὁ Χεῤῥονήσιος Πλούταρχος, ὡς πλάνην ἀγαλμάτων τινῶν εἰσάγουσι τοὺς κατ' οὐρανὸν φωστῆρας θεοποιούμενοι τὸν ἥλιον καὶ τὴν σελήνην, ὡς ἡ τῶν Αἰγυπτίων θεογονία περιέχει. αὐτοὺς γὰρ λέγει τὸν σύμπαντα* etc. 9. *τῇ τρίτῃ κινήσει*] „Forte legendum *τῇ τριμερεῖ κ.* uti habet Cedrenus." Ch. 11. *Πορφύριος* Ch., *Πορφύριον* Ox. *ibid. φιλοσόφῳ χρονογραφίᾳ*] V. Wyttenb. l. c. p. 45.

Turris Babylonicae molimina tentantibus: quorum etiam dispertitae sunt linguae; unde et Meropes dicti sunt homines, quod sermo eorum in diversos loquendi modos atque idiotismos divisus fuerit. Plutarchus autem Cherronesius, ubi disserit de Veteri Graecorum Barbarorumque Philosophia, illos quidem reprehendit; utpote qui simulachrorum superstitiones introduxerunt. Ipse autem Luminaria illa coelestia, solem, atque Lunam juxta Aegyptiorum Theologiam, pro Diis potius habenda censet, ab illis enim universum mundum administrari dixit; eadem etiam nutrimentum rebus omnibus atque augmentum praebere; triplici illo quinque Planetarum motu, caeterisque astrorum positionibus, secundum generationem atque aërem. Plutarchum autem hunc Cherronesium Porphyrius in Philosophica sua Chronographia celebravit.

ΛΟΓΟΣ ΤΡΙΤΟΣ O 68

ΧΡΟΝΩΝ ΘΕΟΓΝΩΣΙΑΣ ΑΒΡΑΑΜ.

Ὁ δὲ Ἀβραὰμ θεογνωσίαν ἐπιγνοὺς, καὶ λογισάμενος ὅτι τὰ B ἀγάλματα, ἃ ἐποίει ὁ πατὴρ αὐτοῦ Θάῤῥας, ἀνθρώπων τεθνηκότων ὑπάρχει, καὶ οὐκ ἐχρῆν τιμᾶσθαι αὐτοὺς ὡς θεοὺς ἐν τῷ οὐρανῷ, γενομένους γῆν καὶ κόνιν· κατεγίνωσκεν οὖν τῷ ἰδίῳ πατρὶ Θάῤῥᾳ λέγων, Τί πλανᾷς τοὺς ἀνθρώπους διὰ κέρδος; οὐκ ἔστι γὰρ ἄλλος θεός, εἰ μὴ ὁ ἐν τοῖς οὐρανοῖς, ὁ δημιουργήσας τὰ ὁρώμενα ταῦτα πάντα· καὶ λαβὼν ἔκλασε τὰ ἀγάλματα πάντα, καὶ ἀνεχώρησεν ἐξ αὐτοῦ καὶ ἀπῆλθεν εἰς τὴν Μεσοποταμίαν, καθὼς Εὐσέβιος ὁ Παμφίλου, ὁ σοφὸς χρονογράφος, ἐξέθετο.

Ἐν δὲ τοῖς χρόνοις τοῦ Ἀβραὰμ ἦν καὶ ὁ Μελχισεδέκ, ἀνὴρ O 69 θεοσεβής, ἐθνικός, καταγόμενος ἐκ τοῦ γένους Σίδου, υἱοῦ Αἰ- C γύπτου, βασιλέως τῆς Λιβύης χώρας· ἐξ οὗ Αἰγύπτιοι κέκλην-

9. *Εὐσέβιος*] Nihil horum Eusebius: v. ad p. 22. A.

LIBER TERTIUS

DE ABRAHAMO, AD DEI NOTITIAM PERVENIENTE.

Abrahamus vero, cum ad Dei notitíam jam pervenisset, secumque reputasset, Imagines, a Thara patre fabricatas, hominum esse defunctorum; ideoque nec eos, pulvis cum sint cinisque, pro Diis coelestibus esse colendos; talibus ipsum verbis increpare ausus est: *Ut quid* (inquiens) *turpis lucri causa, mortales in errorem ducis? Unus quippe Deus est Coelestis, qui ista formavit quae videmus omnia.* Dictoque citius Imagines confregit omnes: patreque derelicto, Mesopotamiam versus ducit iter: uti Eusebius Pamphili, sapiens Chronographus scriptis tradidit.

Abrahami temporibus floruit Melchisedecus, inter gentes Dei cultor, ex stirpe Sidi, filii Aegypti Libyae regis, a quo Aegyptii nomen sortiti

ται. ὅστις Σίδος ἐκ τῆς Αἰγύπτου ἐπελθὼν παρέλαβε τὴν χώραν τῶν λεγομένων Χαναναίων ἐθνικῶν, τοῦτ᾽ ἐστὶ τὴν νῦν λεγομένην Παλαιστίνην. καὶ ὑποτάξας αὐτὴν ᾤκησεν ἐκεῖ ἐν αὐτῇ· καὶ κτίζει πόλιν, ἣν ἐκάλεσε Σιδόνα εἰς ὄνομα ἴδιον, ἥτις νῦν ἐστιν ὑπὸ τὴν Φοινίκην χώραν. καὶ λοιπὸν ἐκ τοῦ γένους τοῦ Σίδου κατήχθη ὁ Μέλχι, ὁ πατὴρ τοῦ Σεδέκ, γενόμενος ἱερεὺς καὶ βασιλεὺς ἐπεκλήθη Μελχισεδέκ, ὡς προγέγραπται. οὗτος οὖν ὑπῆρχεν ἱερεὺς καὶ βασιλεὺς τῶν Χαναναίων, καὶ ἔκτισε πόλιν ἐν τῷ ὄρει τῷ λεγομένῳ Σιών, ἥντινα ἐκάλεσε Σαλήμ, ὅπερ ἐστὶν εἰ-
D ρήνης πόλις. καὶ ἐβασίλευσεν ἐν αὐτῇ ἔτη ριγ΄, καὶ τελευτᾷ, δίκαιος καὶ παρθένος, καθὼς Ἰώσηπος ἐν τῇ ἀρχαιολογίᾳ ἐξέ-
O 70 θετο. καὶ Ἰωάννης δὲ καὶ Κύριλλος, οἱ ὁσιώτατοι ἐπίσκοποι, τὰ αὐτὰ εἶπον.

Ἀπὸ οὖν τοῦ κατακλυσμοῦ ἕως Ἀβραὰμ ἔτη εἰσὶν ωϟγ΄, ἀπὸ δὲ τῆς πυργοποιίας ἔτη εἰσὶ φκγ΄. καὶ ἐγένετο μετέπειτα ἀπὸ Ἀβραὰμ καὶ Ἰσαάκ, τοῦ υἱοῦ, καὶ Ἰακώβ, τοῦ ἐκγόνου αὐτοῦ, καὶ τοῦ σπέρματος αὐτῶν, ἐξ ὧν εἰσιν Ἑβραῖοι, ἀπὸ τῶν χρόνων τοῦ Ἀβραὰμ τὸν χαρακτῆρα τοῦ ἔθνους διὰ περιτομῆς εἰληφότες. ἐστὶν οὖν ἀπὸ Ἀδὰμ ἕως τοῦ Ἀβραὰμ ἔτη ͵σψμε΄.

Ὁ δὲ Ἀβραὰμ ἦν ἐτῶν ρ΄, ὅτε ἐγέννησε τὸν Ἰσαάκ, καὶ

6. γενόμενος ἱερεὺς] „Locus iste mutilus apparet; ὅστις supplendum videtur; quod etiam non ad Melchi, sed ad Sedecum referendum.“ Ch. 11. Ἰώσηπος] Is Arch. I. 10. 2. haec tantum: ὁ τῆς Σόλυμα πόλεως βασιλεὺς Μελχισεδέκης· σημαίνει δὲ τοῦτο βασιλεὺς δίκαιος. 15. πυργοποΐας Ox. *ibid.* ἐγένετο] Ἰουδαϊσμὸς addit Ch. 18. εἰληφότος Ch. 19. ͵σψμε΄] Numerus vitiosus.

sunt, oriundus. Sidus enim iste Aegyptius, Cananaeorum regionem, quae nunc Palaestina vocatur, bello aggressus, in potestatem suam redegit; Urbeque, quam in nomen suum, Sidonem appellavit, (quae temporibus hisce Phoeniciae est ditionis,) extructa, ibidem sedes posuit. Ex posteris autem Sidi hujus erat Melchi, Sedeci pater: qui Rex cum esset, et Sacerdos; Melchisedecus cognominatus est, ut supra scriptum est. Cananaeis igitur, quorum Rex idemque sacerdos erat, urbem, quam Salem, id est, *Pacis urbem*, vocavit, in monte Sion condidit: ubi, cum annos CXIII regnasset, justus et caelebs diem suum obiit: sicuti Josephus in Antiquitatibus; Joannes item et Cyrillus, sanctissimi Episcopi, tradiderunt.

A Diluvio itaque, ad Abrahamum, anni numerantur octingenti nonaginta tres: a Turris autem Constructione, anni DXXIII. Ab Abrahamo denique; et Isaaco filio et Jacobo nepote, semineque illorum, (ex quo Circumcisionis characterem suscepit Abrahamus,) Ebraeorum gens originem suam ductura est. Ab Adamo autem, ad Abrahamum, anni effluxerunt MMMDCCXLV.

Abrahamus vero, centum annos natus, genuit Isaacum; Isaacus vero

Ἰσαὰκ τὸν Ἰακὼβ τὸν λεγόμενον Ἰσραήλ. ἐκλήθησαν δὲ οἱ Ἰου- V 24 δαῖοι ἀπὸ Ἰούδα τοῦ τετάρτου υἱοῦ τοῦ Ἰακώβ· ἔσχε γὰρ υἱοὺς δώδεκα. ἡ δὲ τοῦ Ἰούδα φυλὴ ἐκράτει τῶν Ἰουδαίων καὶ διῴκει· ὅθεν καὶ τὸ ὄνομα ἔσχον.

Ἐν δὲ τοῖς χρόνοις τούτοις ἐκ τῆς φυλῆς τοῦ Ἰάφεθ ἀνεφαίνετό τις ὀνόματι Ἡσίοδος· ὅστις ἐξεῦρε τὰ Ἑλλήνων γράμματα, καὶ συντάξας γράμματα ἐξέθετο τοῖς Ἕλλησι πρῶτος.

Ἐν δὲ τοῖς χρόνοις τοῦ Ἀβραὰμ ἐβασίλευσεν Ἀσσυρίων ὁ ἐκ O 71 φυλῆς τοῦ Σήμ, υἱοῦ Νῶε, Ἐνδελεχός, βασιλεύσας αὐτῶν πρῶτος μετὰ τὸ ἐκλεῖψαι τὸ γένος τοῦ Περσέως. καὶ ἦλθε πάλιν τὸ βασίλειον εἰς τοὺς Ἀσσυρίους.

Αἰγυπτίων δὲ ἐβασίλευσε πρῶτος βασιλεὺς τῆς φυλῆς τοῦ B Χάμ, υἱοῦ Νῶε, Φαραώ, ὁ καὶ Ναραχὼ καλούμενος. τὰ οὖν πρὸ τούτου παλαιὰ βασίλεια Αἰγυπτίων ἐξέθετο Μανεθὼν ὁ σοφώτατος, ὡς προείρηται. τὰ δὲ μεταγενέστερα βασίλεια Αἰγυπτίων, λέγω δὲ ἀπὸ τοῦ Ναραχὼ καὶ κάτω, συνεγράψατο οὖν ταῦτα Θεόφιλος ὁ σοφώτατος χρονογράφος.

Ἐν δὲ τοῖς χρόνοις τοῦ Ἀβραὰμ ἐβασίλευσεν Αἰγυπτίων ὁ ἐκ τῆς φυλῆς τοῦ Χὰμ Ναραχώ. ἠγόρασε δὲ ἀπὸ τῶν Σαρακηνῶν Πετεφρῆς, ὁ ἀρχιμάγειρος τοῦ αὐτοῦ Φαραὼ βασιλέως, τὸν Ἰωσήφ, υἱὸν τοῦ Ἰακώβ· ὅντινα ἐπώλησαν οἱ αὐτοῦ ἀδελφοὶ τοῖς Σαρακηνοῖς, διαφθονούμενοι αὐτῷ, ὡς φιλούμενον ὑπὸ τοῦ ἰδίου

4. ἔσχεν Ox. 6. Ἡσίοδος] Ἰσίοδος Ox. Conf. Ioannes Antioch. apud Allatium ad Eustathii Hexaëm. p. 300. 18. ἐβασίλευσεν Ἀσσυρίων, ὁ ἐκ τῆς φυλῆς τοῦ Σήμ, Ναραχώ·] „Mendum manifestum: lego itaque; ἐβασίλευσεν Αἰγυπτίων, ὁ ἐκ τῆς φυλῆς τοῦ Χὰμ Ναραχώ.“ Ch. 22. φιλούμενον] φιλουμένῳ Ch. Sed v. ad p. 54. A.

Jacobum; qui et Israel dictus est. Judaei autem a Juda, ex XII Jacobi filiis quarto, cujus tandem tribum penes erat Ebraeorum regnum, nomen habuerunt.

Hisce temporibus Isiodus quidam ex Japheti stirpe oriundus, Graecas literas invenit; atque in ordinem redigens, Graecos eas docuit primus.

Abrahami vero temporibus, Assyriis imperavit, primus post deletum Persei genus, Endelechus, ex posteris Semi Noae filii: Imperiumque ad Assyrios tandem rediit.

Aegyptiorum autem regnum tenuit primus ex posteris Chami, Noae filii, Pharaoh, qui et Naracho dictus est. Antiquas vero Aegyptiorum Dynastias ante hunc Narachonem, descripsit Manetho sapientissimus; uti supra dictum est: posteriores vero, ab hoc scilicet Narachone, et deinceps, a Theophilo sapientissimo Chronographo memoriae traditae sunt.

Abrahami igitur temporibus Aegyptiis imperavit, ex Chami posteris, Naracho: Petephres autem, Regis Pharaonis coquorum princeps, Josephum, Jacobi filium, a Saracenis, quibus fratres ejus, invidia moti quod

πατρός· ἦν δὲ ὁ Ἰωσὴφ ὡραῖος τῇ θέᾳ. ὅστις Ἰωσὴφ ἡρμήνευσε
C τὸ ὅραμα τῷ βασιλεῖ Φαραώ, ὅπερ εἶδεν ἕνεκεν τοῦ μέλλοντος
O 72 γίνεσθαι λιμοῦ εἰς τὴν Αἴγυπτον καὶ εἰς πᾶσαν χώραν ἐπὶ ἔτη ζ΄.
καὶ θαυμάσας ὁ βασιλεὺς τὴν τοῦ Ἰωσὴφ φρόνησιν, ἠλευθέρωσεν
αὐτόν, καὶ ἔδωκεν αὐτῷ ἀξίαν μεγάλην καὶ τὴν θυγατέρα τοῦ
ἀρχιερέως Ἡλιουπόλεως τῆς οὔσης ἐν Αἰγύπτῳ εἰς γυναῖκα, κε-
λεύσας αὐτὸν διοικεῖν τὴν Αἴγυπτον πᾶσαν ἐπὶ ζ΄ ἔτη καὶ ἔχειν
ἐξουσίαν ὡς βούλεται πράττειν. ὅστις Ἰωσὴφ κτίζει ὡρεῖα, καὶ
ἀποτίθεται σῖτον ἐν αὐτοῖς τῶν ἑπτὰ ἐνιαυτῶν, καὶ ἐχορήγησε
πανταχοῦ δι' ἑαυτοῦ τήν τε ἀγορασίαν καὶ τὴν ἔξοδον τῆς πρά-
σεως, ποιήσας ὡς ἠβουλήθη αὐτός. καὶ τῆς λιμοῦ γενομένης
εἰς πᾶσαν τὴν γῆν, ἦλθον οἱ ἀδελφοὶ αὐτοῦ ἀπὸ τῆς γῆς Χαναὰν
D εἰς Αἴγυπτον ἀγοράσαι σῖτον. καὶ ἐπιγνοὺς αὐτοὺς Ἰωσὴφ ἐκέ-
λευσε κρατηθῆναι αὐτούς, καὶ ἐθάῤῥησεν αὐτοῖς ὅτι ἀδελφὸς αὐ-
τῶν ὑπάρχει, καὶ ἠνάγκασεν αὐτοὺς ἀπελθεῖν καὶ ἀγαγεῖν πρὸς
αὐτὸν τὸν ἀδελφὸν αὐτοῦ τὸν μικρότερον τὸν Βενιαμὶν καὶ τὸν
πατέρα αὐτοῦ Ἰακὼβ καὶ τὴν συγγένειαν αὐτοῦ πᾶσαν. οἱ δὲ
ἀδελφοὶ αὐτοῦ ἀπελθόντες ἤνεγκαν πρὸς τὸν Ἰωσὴφ τὸν πατέρα
O 73 αὐτῶν καὶ τὸν ἀδελφὸν αὐτῶν τὸν Βενιαμὶν καὶ τὴν συγγένειαν
αὐτῶν πᾶσαν, ὀνόματα οε΄ ἀῤῥενικῶν τε καὶ θηλυκῶν. καὶ ἐκρά-
τησεν αὐτοὺς Ἰωσὴφ ἐκεῖ, καὶ ᾤκησαν τὴν Αἴγυπτον ἐπὶ ἔτη πολ-
λά· καὶ ἐγένετο πλῆθος ἄπειρον ἐξ αὐτῶν τῶν Ἑβραίων, οἰκοῦντα
ἐν Αἰγύπτῳ ἕως Μωσέως τοῦ κελευσθέντος ὑπὸ θεοῦ ἐκβάλαι

4. ἠλευθέρωσεν Ch., ἐλευθέρωσεν Ox. 6. Ἰλιουπόλεως Ox. 14. ἐθάῤῥησεν] Conf. vol. II. p. 83. C. 22. οἰκοῦντα] οἰκούντων Ch. Sed v. ad p. 15. D.

patri charus esset, venum dederant, (erat enim forma pulcherrimus,) emit. Josephus vero cum Pharaonis de septenni fame, Aegyptum omnemque penitus regionem invasura, somnium interpretatus esset, prudentiam hominis Rex admiratus, libertate prius donatum summo habuit in honore; filiamque Pontificis Heliopoleos, Aegypti urbis, in uxorem dedit; concessa etiam ei potestate, Aegyptum totam per septennium pro libitu administrandi. Extructis itaque horreis, Josephus septem annorum proventum iisdem condidit; curamque totius emptionis venditionisque ipse in se recepit. Fame autem per terram universam grassante Josephi fratres e terra Chanaan in Aegyptum, frumenti coëmendi causa, descenderunt: quos ubi vidit Josephus, fratris usus fiducia, ipsos comprehendi jussit, missosque tandem faciens, uti Benjaminum fratrem suum natu minorem et Jacobum patrem, totumque denique familitium eorum sibi adducerent, mandavit. Illique abeuntes, jussa ejus executi sunt: patremque suum, et Benjaminum fratrem, omnemque adeo utriusque sexus cognationem, numero LXXV secum ducentes, a Josepho habitandi in Aegypto locum acceperunt. Unde cum post multos annos in immensam cre-

τὸν λαὸν τῶν Ἑβραίων ἐκ τῆς γῆς Αἰγύπτου, καθὼς ταῦτα πάντα ἐντέτακται ἀκριβῶς ἐν τοῖς Ἑβραϊκοῖς συγγράμμασιν. E

Ἐν δὲ τοῖς χρόνοις τῶν βασιλέων τῶν προγεγραμμένων ἀνεφάνη τις ἐν τῇ Καρίᾳ χώρᾳ γιγαντογενὴς φιλόσοφος ἐκ τῆς φυλῆς τοῦ Ἰάφεθ, ὀνόματι Ἐνδυμίων· ὅστις μυστικὰς εὐχὰς λέγων εἰς σελήνην ᾔτει αὐτὴν μαθεῖν παρ' αὐτῆς τὸ θεϊκὸν ὄνομα ἐν ὁράματι. καὶ ἐν τῷ αὐτὸν εὔχεσθαι ἦλθεν εἰς ὕπνον καὶ ἤκουσε τὸ θεϊκὸν ὄνομα ἐν ὁράματι· καὶ οὐκέτι ἀνέστη, ἀλλ' ἐστὶ τὸ λείψανον αὐτοῦ ἕως τῆς νῦν εἰς τὴν Καρίαν, οὕτως ὄντα νεκρὸν V 25 δονούμενον· καὶ καθ' ἕκαστον ἔτος ἀνοίγουσι τὴν αὐτοῦ σορὸν ἐν τῇ χώρᾳ ἐκείνῃ, καὶ ὁρῶσι τὸ λείψανον αὐτοῦ δονούμενον νεκρόν, ὡς λέγουσιν. ἅτινα συνεγράψατο Αὐλέας ὁ σοφώτατος· περὶ οὗ, φησί, τὴν σελήνην φιλεῖν τὸν Ἐνδυμίωνα ἱστοριογραφοῦσιν.

Ἔστιν οὖν ἀπὸ Ἀβραὰμ ἕως τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ O 74 μετὰ Μωσέα ἀπὸ Αἰγύπτου γενεαὶ ε', ἔτη υμγ'. ἀπὸ δὲ τοῦ κατακλυσμοῦ ἕως τῆς γενέσεως Μωσέως εἰσὶν ἔτη ͵αυπδ'. ἀπὸ δὲ Ἀδὰμ ἕως τῆς γεννήσεως Μωσέως εἰσὶν ἔτη ͵δλς'. ἔζησε δὲ Μωσῆς ἔτη ρκ'. καὶ διῴκουν τὸν Ἰσραὴλ μετὰ Μωσῆν Ἰησοῦς B ὁ τοῦ Ναυὴ καὶ Φινεές. ἀπὸ οὖν Ἀδὰμ ἕως τῆς τελευτῆς Μωσέως καὶ Ἀαρὼν εἰσὶν ἔτη ͵δρνς'.

Ἐν δὲ τοῖς χρόνοις Ἰησοῦ τοῦ Ναυὴ ἐκ τῆς φυλῆς τοῦ Ἰά-

12. *Αὐλέας*] V. Bentlei. p. 69. 13. *Ἐνδυμιῶνα* Ox. 16. *Μωσέα*] *Μωσέως* Ch. V. p. 2. C. 17. *͵αυπδ'*] Numerus falsus. 20. *Φηνιές* Ox.

vissent multitudinem; a Mose tandem, Dei jussu, educti sunt: sicuti in Hebraicis scriptis ista verissime traduntur omnia.

Temporibus autem Regum supradictorum, extitit in Caria Philosophus quidam, a Gigantibus ortum ducens, de stirpe Japeti, nomine Endymion. Lunam is precibus quibusdam mysticis, nomen uti Divinum sibi per visionem aperiret, sollicitavit: interque precandum sopitus, Divinum nomen per somnum audivit; nec tamen amplius experrectus est. Caeterum cadaver ejus etiamnum in Caria habetur; ubi quotannis sepulchrum ejus aperientes, corpus ejus, uti fama est, motu agitatum tuentur: sicut Auleas sapientissimus, scriptis tradidit. Atque hinc, Endymionis amore captam fuisse Lunam, orta est fabula.

Ab Abrahamo itaque ad populi Israëlitici, duce Mose, ex Aegypto egressum, generationes quinque; anni vero numerantur CCCCXLIII. A Diluvio autem, ad Mosen natum, anni habentur MCCCCXXCIV. Ab Adamo vero, ad eundem natum, anni sunt MMMMXXXVI. Moses autem vicesimo supra centesimum vitae suae anno mortuus est: post cujus obitum Respublica Israelitica a Jesu, Nave F. et Phinee administrata est. Ab Adamo igitur, ad Mosis et Aaronis obitum anni effluxerunt MMMMCLVI.

Josuae aetate in Attica regnavit, ex stirpe Japeti Ogyges quidam

φεθ ἐβασίλευσε τῆς Ἀττικῆς χώρας τις ὀνόματι Ὠγύγης, αὐτόχθων, ἔτη λβʹ. καὶ γέγονε κατακλυσμὸς μέγας ἐν τῇ αὐτοῦ βασιλείᾳ, καὶ ἀπώλετο αὐτὸς καὶ πᾶσα ἡ χώρα ἐκείνη καὶ πᾶσα ψυχὴ οἰκοῦσα τὴν χώραν ἐκείνην τῆς Ἀττικῆς καὶ μόνης. καὶ ἔμεινεν ἐξ ἐκείνου ἔρημος καὶ ἀοίκητος ἡ αὐτὴ χώρα ἐπὶ ἔτη σοʹ, καθὼς ἐν τοῖς Ἀφρικανοῦ ἐμφέρεται συγγράμμασιν.

C Ἐν δὲ ταῖς ἡμέραις τῆς ἐξ Αἰγύπτου μελλούσης γίνεσθαι ἐξόδου τῶν υἱῶν Ἰσραὴλ μετὰ Μωσέως ἐβασίλευσε τῆς τῶν Μολοσ- [O 75] σῶν χώρας αὐτόχθων τις ὀνόματι Ἀΐδης· ὃς ἐγάμησε τὴν λεγομένην Μελινδίαν· ἔσχεν ἐξ αὐτῆς θυγατέρα εὐπρεπῆ, ἣν ἐκάλεσε Περσεφόνην· τὰς δὲ εὐμόρφους γυναῖκας οἱ Μολοσσαῖοι τῇ ἰδίᾳ γλώσσῃ κόρας ἐκάλουν. ταύτην δὲ ἔδοξε φιλεῖν ἔρωτι ὁ Περίθους, συγκλητικὸς τοῦ αὐτοῦ Ἀΐδου βασιλέως, νεώτερος ὢν καὶ εὔπορος· καὶ κατὰ σύνταξιν τῆς κόρης ἠβουλήθη νυκτὸς ἁρπάσαι αὐτήν. καὶ γνοὺς τοῦτο ὁ αὐτῆς πατήρ, Ἀΐδης βασιλεύς, ἐθυμώθη· καὶ βουλευόμενος ἐν τῷ λεληθότι ἀμύνασθαι τῷ αὐτῷ Περίθῳ, ἵνα ἄγνοιαν προφασίσηται πρὸς πάντας, ὃν εἶχε ποιμενικὸν κύνα ἄγριον μέγαν, ὃν καὶ Τρικέρβερον ὠνόμαζον διὰ [D] τὸ τριῶν κυνῶν ἔχειν κεφαλὴν καὶ μέγεθος σώματος, ἀπέκλεισεν ἔξω ὅπου ἡ κόρη διῆγε. μετὰ οὖν τὴν τελευτὴν τῆς αὐτῆς μητρός, ἀγνοούσης τοῦτο τῆς κόρης, καὶ τοῦ Περίθου παραγενομένου νυκτὸς καὶ εἰσελθόντος εἰς ἁρπαγὴν τῆς κόρης, ὥρμησεν ὁ κύων καὶ ἀνεῖλεν αὐτόν. ἀκούσασα δὲ καὶ αὐτὴ ἡ κόρη τῆς τα-

1. Ὠγύγης] Γυγώγης Ox. 7. τῆς] ταῖς Ox. 16. τῷ αὐτῷ Περίθῳ] τὸν αὐτὸν Περίθουν Ch.

indigena, annos XXXII: quo tempore ingens in ea regione accidit diluvium; quo Ogyges ipse, omnisque adeo anima, per totam Atticam, solamque, fluctibus obruti, perierunt. Exinde vero, per annos CCLXX deserta prorsusque inhabitabilis remansit Attica: sicut Africanus scriptum reliquit.

Quo tempore vero Israelitae ex Aegypto cum Mose egressuri erant, Molossis imperavit Aides quidam, indigena: cui ex uxore Melindia filia pulcherrima nata est, quam Proserpinam vocavit. Molossi vero mulieres forma speciosas, proprio idiomate, *Κόρας* vocitabant. Puellae hujus amore captus Perithous, ex Aidae regni Primoribus quidam, juvenis opulentus; ipsam nec invitam, noctu surripere in animo habuit. Quo cognito Rex indignatus, in animo suo secum volvit, quonam pacto Perithoum, ipse tamen ut facti inscius videretur omnibus, ulcisceretur. Canem itaque pastoralem quem habuit ferocem, et ob corporis capitisque, trium instar canum, magnitudinem, Tricerberum nominatum, puellae pro foribus constituit. Matre itaque ejus dudum mortua, puella rei totius penitus ignara, in Perithoum noctu virginis raptum aggredientem irruit canis, ipsumque interfecit. Proserpinam quoque ipsam, ad tumultum ex-

ραχῆς, ἐξῆλθε, καὶ ἐφόνευσε καὶ αὐτὴν ὁ κύων· περὶ ἧς, φησί, λέγουσιν ὅτι Πλούτων ἥρπασε τὴν κόρην· ἅτινα Παλαίφατος ὁ σοφώτατος συνεγράψατο.

Ἐν τοῖς χρόνοις δὲ τοῦ Μωσέως ἐβασίλευσε τῶν Ἀσσυρίων O 76 Ἐρεχθεύς, τῶν δὲ Αἰγυπτίων ἐβασίλευσε Πετισσώνιος ὁ κωμῳδὸς Φαραώ. οὗτος εἶχε μάγους μεθ' ἑαυτοῦ δυνατούς, τὸν Ἰαννὴν καὶ τὸν Ἰαμβρήν. ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας ἐπληθύνθη τὸ E γένος τῶν Ἰουδαίων ἐν τῇ Αἰγύπτῳ ἀπὸ τῆς γενεᾶς τοῦ Ἰακὼβ τοῦ ἐλθόντος ἐν Αἰγύπτῳ πρὸς τὸν υἱὸν αὐτοῦ Ἰωσὴφ ἕως Μωσέως ἡγουμένου αὐτῶν καὶ Ἀαρὼν ἀδελφοῦ αὐτοῦ. ὅστις Μωσῆς ἔλαβε γυναῖκα Αἰγυπτίαν, τὴν θυγατέρα Ἰοθόρ, τοῦ ἀρχιερέως τῶν Ἑλλήνων, ἀνδρὸς τιμωμένου ἀπὸ Φαραὼ βασιλέως καὶ τῶν Αἰγυπτίων. ὁ δὲ αὐτὸς Μωσῆς ἦν πεπαιδευμένος πᾶσαν σοφίαν Αἰγύπτου· οἱ δὲ Αἰγύπτιοι ἐφοβοῦντο τοὺς Ἰουδαίους ὡς V 26 γενομένους πολλούς, καὶ ἀνήγαγον τῷ Φαραὼ περὶ αὐτῶν, καὶ ἐκέλευσε Φαραὼ βασιλεὺς ποιεῖν τοὺς Ἰουδαίους τοῖς Αἰγυπτίοις ἐργατείας καὶ βάλλειν πλίνθους ἀνάγκῃ. εἴ τις οὖν ἐὰν ἐβούλετο τῶν Αἰγυπτίων κτίσαι εἴτε οἶκον εἴτε ἀγρόν, αὐτοὺς ἠνάγκαζε ποιεῖν ἐργατείαν καὶ πλίνθους, καὶ ἐστέναζον κοπιῶντες οἱ Ἰου- O 77 δαῖοι πάντες. καὶ προσεσχηκὼς Μωσῆς καὶ ὁ τούτου ἀδελφὸς Ἀαρὼν τὸν ἀναστεναγμὸν τῶν υἱῶν Ἰσραήλ, ηὔξαντο τὸν θεόν· καὶ ἐκέλευσε Μωσεῖ κύριος ὁ θεὸς εἰσελθεῖν πρὸς Φαραὼ βασιλέα Αἰγύπτου, καὶ εἰπεῖν αὐτῷ, Ἀπόλυσον τὸν λαὸν τοῦ Ἰσραὴλ λα-

5. κωμῳδὸς] καὶ Cedrenus p. 46. C. Vide Bentleium p. 45.
23. εἰπεῖν Ch., Cedrenus p. 46. D, εἶπεν Ox.

currentem, dilaniavit: inde nata fabula, Plutonem Proserpinam rapuisse: uti sapientissimus Palaephatus ista tradidit.

Mosis autem temporibus Assyriis imperavit Erectheus; Aegyptiis vero Petissonius, qui et Comoedus Pharaoh. Magos secum iste habuit praecellentes, Jannem et Jambrem. Eo autem regnante, Judaeorum gens in Aegypto valde aucta erat, a Jacobi usque in Aegyptum ad Josephum F. descensu, ad eorum eductum per Mosem fratremque Aaronem. Uxorem autem sibi duxit Moses Aegyptiam, Jothoris Graecorum Pontificis filiam, viri apud Pharaonem Aegyptiosque omnes summo in honore habiti. Moses autem omni Aegyptiorum scientia institutus erat: Aegyptii vero Judaeos, numerosiores jamjam factos, formidare coeperunt. Quod ubi Pharaoni notum fecissent; Judaeos Aegyptiis operarios se praestare, lateritiamque exercere Rex jussit. Si quis igitur Aegyptiorum aut domum extruere, aut praediolum adornare in animo habuit, a Judaeis lateres operamque simul eorum exigebat. Cumque sub oneribus suis ingemuisse totam Judaeorum gentem animadvertissent Moses, et frater ejus Aaron, Deum supplices adorabant. Praecepit autem Mosi Dominus, uti ad Pharaonem regem Aegypti introiret, suoque nomine mandaret, ut Populum

τρεῦσαι αὐτῷ. καὶ λαβὼν Μωσῆς τὸν ἴδιον αὐτοῦ ἀδελφὸν Ἀα- B ρὼν εἰσῆλθε πρὸς Πετισσώνιον Φαραώ, βασιλέα Αἰγύπτου· εἶχε γὰρ παῤῥησίαν, ὡς ἀπὸ τοῦ αὐτοῦ πενθεροῦ Ἰοθόρ, τοῦ ἱερέως τῶν Ἑλλήνων, καὶ ὡς ἡγούμενος τῶν Ἰουδαίων· καὶ ἀνήγγειλεν αὐτῷ τὴν τοῦ θεοῦ κέλευσιν καὶ ὅτι λέγει ὁ θεὸς ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς ἵνα ἀπολύσῃς τὸν λαὸν αὐτοῦ λατρεῦσαι αὐτῷ. ὁ δὲ Φαραὼ ἀκούσας λέγει αὐτῷ, Εἰ ἀληθεύεις ὅτι ὁ θεός σου ἐκέλευσέ σοι εἰπεῖν μοι ταῦτα, ἰδοὺ εἰσὶν Αἰγύπτιοι μετ' ἐμοῦ ποιοῦντες θαύματα. ἐὰν νικήσῃς αὐτοὺς αἰτούμενος τὸν θεόν σου, παρέχω σοι ἅπερ ἐκέλευσέ σοι ὡς λέγεις. καὶ ἔστησεν ἐναντίον ἀλλήλων τὸν Ἰαννὴν καὶ τὸν Ἰαμβρὴν καὶ τὸν Μωσέα καὶ Ἀαρών. καὶ ἐκάθητο Φαραὼ καὶ οἱ μεγιστᾶνες αὐτοῦ· καὶ ἐποίησαν οἱ περὶ O 78 Ἰαννὴν καὶ Ἰαμβρὴν διὰ γοητείας τὴν ῥάβδον αὐτῶν ὄφιν, καὶ C ἐπήρχετο τῷ Μωσεῖ. καὶ εὐξάμενος Μωσῆς ἔῤῥιψε καὶ αὐτὸς ἣν κατεῖχε ῥάβδον εἰς τὴν γῆν· καὶ ἐγένετο καὶ ἡ αὐτοῦ ῥάβδος ὄφις μέγας πάνυ, καὶ κατέπιε τὸν ὄφιν ὃν ἐποίησαν Ἰαννὴς καὶ Ἰαμβρής· καὶ ἐνίκησε Μωσῆς, καὶ ἐθαύμασεν ὁ βασιλεὺς καὶ πάντες. ὁμοίως δὲ καὶ ποταμὸν ὑδάτων διαυγεστάτων ἐποίησαν ὁ Ἰαννὴς καὶ Ἰαμβρὴς γενέσθαι αἷμα παρουσίᾳ τοῦ βασιλέως καὶ πάντων. καὶ ηὔξατο Μωσῆς, καὶ πάλιν ἐγένετο ὕδατα καθαρὰ τὰ τοῦ ποταμοῦ ῥεύματα, ὡς ἦν πρώην. ἐποίησαν δὲ καὶ ἄλλα τινὰ κατέναντι ἀλλήλων· καὶ ἐνίκησεν αὐτοὺς Μωσῆς.

19. ποταμὸν] ποταμῶν Ox.

Israëliticum, ut eum colat, dimitteret. Moses igitur, cum fratre Aarone, ad Petissonium Pharaonem, Aegypti regem, ingressus, (istam enim libertatem et ut Jothoris Graecorum Pontificis gener, et Judaeorum etiam dux, sibi vendicavit:) Dei mandatum ei his verbis exposuit. Deus, qui coelum, terram, mareque, et quaecunque sunt in illis formavit omnia, jubet, uti populum suum, ut illum colat, demittas. Respondit Pharaoh: si vere Deus tuus ista mihi dicenda mandavit; ecce sunt mihi Aegyptii mirifici, quos tu si Dei tui ope viceris, mandata ejus executurus sum. Ex adverso itaque constitutis, hinc Janne et Jambre, illinc Mose et Aarone, Pharaoh, nobilibus suis stipatus, consedit. Jannes vero et Jambres, virgam suam in Serpentem, Praestigiis suis, converterunt: qui, cum Mosem invasurus esset, Deum precatus, et ipse baculum suum, in terram projectum, in serpentem praegrandem, qui Jannis Jambrisque illum alterum absorpsit penitus, commutavit: victoriaque, stupente Rege satellitioque omni, penes Mosem erat. Jannes deinde et Jambres fluminum limpidissimorum aquas, coram Rege omnibusque, in sanguinem verterunt: Moses vero, fusis in Deum precibus, pristinum nitorem eisdem restituit. Sed et alia quaedam ad invicem operati sunt miracula; quibus tamen Moses vicit omnibus. Pharaonem itaque accedens Moses;

καὶ λέγει τῷ Φαραὼ Μωσῆς, Ἰδοὺ εἶδες τὴν δύναμιν τοῦ θεοῦ Ἰσραήλ. ἀπόλυσον ἡμᾶς, ἵνα αὐτῷ λατρεύσωμεν. ὁ δὲ Φαραὼ συντασσόμενος αὐτῷ ἀνεβάλλετο· καὶ ηὔξατο Μωσῆς τὸν D θεὸν ὥστε πέμψαι αὐτῷ πληγὰς καὶ τοῖς Αἰγυπτίοις, ἵνα ἀναγκασθῇ ὁ βασιλεὺς αὐτῶν ἀπολῦσαι τὸν Ἰσραήλ. καὶ ἔπεμψεν ὁ θεὸς Ἰσραὴλ ἑπτάπληγον ὀργήν, ὥστε τὸν βασιλέα παρακαλέσαι τὸν Μωσέα καὶ εἰπεῖν αὐτῷ ὅτι Εὖξαι τῷ θεῷ σου ἵνα ῥυσθῇ ἡ χώρα αὕτη τῶν τοσούτων κακῶν, καὶ ζῇ κύριος ὁ θεός σου, οὐ O 79 κωλύσω σε λαβεῖν τὸν λαόν σου τὸν Ἰσραὴλ εἰς τὸ λατρεῦσαι ὑμᾶς αὐτῷ. ταῦτα δὲ ἐν ταῖς Ἑβραϊκαῖς ἐμφέρεται γραφαῖς. ὁ δὲ Μωσῆς ἀκούσας ταῦτα παρὰ τοῦ βασιλέως, ἐξῆλθεν εὔξασθαι τῷ θεῷ Ἰσραήλ, καὶ εἶπε τοῖς Ἰουδαίοις, Ἀπέλυσεν ὑμᾶς πάντας ὁ βασιλεὺς ἐξελθεῖν λατρεῦσαι τῷ θεῷ. ὁ δὲ Πετισσώνιος Φαραὼ βασιλεὺς εὐθέως ἀπῆλθεν ἐν τῇ Μέμφῃ εἰς τὸ μαν- E τεῖον τὸ περιβόητον· καὶ ποιήσας θυσίαν ἐπηρώτα τὴν Πυθίαν λέγων, Σαφήνισόν μοι τίς ἐστιν πρῶτος ὑμῶν καὶ μέγας θεὸς τοῦ Ἰσραήλ; καὶ ἐδόθη αὐτῷ χρησμὸς οὗτος. Ἔστι κατ' οὐρανοῖο μεγάλοιο βεβηκὸς φλογὸς ὑπερβάλλον αἴθριον, ἀέναον, ἀθάνατον πῦρ, ὃ τρέμει πᾶν, οὐρανός, γαῖά τε καὶ θάλασσα, ταρτάριοί τε βύθιοι δαίμονες ἐῤῥίγησαν. οὗτος ὁ θεὸς αὐτοπάτωρ,

6. ἑπτάπληγον ὀργὴν] „Rectius Cedrenus, δεκάπληγον ὀργήν· decem enim Aegypti plagae." Ch. 7. εἰπεῖν Ch., Cedrenus, εἶπεν Ox. 14. Μέμφῃ] Μέμφει Ch., Cedrenus. Sed v. p. seq. v. 6. *ibid.* μαντεῖον Cedrenus, μαντείαν Ox. 17. ἔστι Cedrenus p. 41. C, ἔσται Ox. 18. βεβηκὸς Cedrenus, βεβηκὼς Ox. 19. ταρτάριοί τε βύθιοι] τ. βύθιοί τε Ch., Cedrenus. 20. ἐῤῥίγησαν Ch., Cedrenus, ἐρίγησαν Ox.

Ecce, inquit, Potentiam Dei Israelis cum videris, missos nos facito, ut ipsum colamus. Pharaoh itaque fidem suam datam, cum tamen non praestiterit; Moses a Deo precibus contendit, ut calamitatibus in ipsum Aegyptiosque immissis, Regem ad populum Israeliticum dimittendum adigat. Immisit igitur Deus Aegyptiis septemplicem iram; adeo ut a Mose petierit Pharaoh, uti tantorum malorum liberationem a Deo impetraret; ita vivit, inquiens, Dominus Deus tuus, ut ego non impediam, quo minus tu populusque tuus Israeliticus Deo vestro cultum praestetis. His dictis, Moses egressus, Deum Israelis precatus est. Judaeisque dein annunciat, habere eos omnes a Rege concessam, ad cultum Deo praestandum, exeundi licentiam. Ista autem in Hebraicis scriptis traduntur. Petissonius autem Pharaoh rex Memphim statim, celeberrimum illud Oraculum consulendi causa, profectus: sacrisque peractis, Pythiam in haec verba interrogat. „Effare mihi, quis inter vos primus est, magnusque Deus Israelis?" tulitque hoc responsum. „A coelo descendet, flammam aetheream superans, perennis, immortalis Ignis. Hunc tremunt omnia, coelum, terra, mareque, Daemonesque Inferni. Deus iste sui pater, et sine

V 27 ἀπάτωρ, πατὴρ υἱὸς αὐτὸς ἑαυτοῦ, τρισόλβιος· εἰς μικρὸν δὲ
μέρος ἀγγέλων ἡμεῖς. μαθὼν ἄπιθι σιγῶν.
Ὁ δὲ βασιλεὺς Φαραὼ ἀκούσας ταῦτα παρὰ τῆς μαντείας,
ἐκέλευσε πλάκα λιθίνην γλυφῆναι τὰ παρὰ τοῦ χρησμοῦ δοθέντα
O 80 αὐτῷ ῥήματα· ἅτινα ἕως τῆς νῦν ἐγγέγραπται ἐν τῇ πλακὶ γλυ-
φέντα ἄνω ἐν τῷ ἱερῷ Μέμφης, ὅθεν ὁ Νεῖλος ποταμὸς πορεύε-
ται. ὁ δὲ βασιλεὺς Φαραὼ ἀπὸ τοῦ μαντείου κατελθὼν εὐθέως
ἀπέλυσε τὸν Ἰσραὴλ καὶ Μωσέα καὶ Ἀαρών. καὶ ἐξῆλθεν ὁ λαὸς
τῶν Ἰουδαίων ἐξ Αἰγύπτου ἅπας, καὶ ἔλαβον ὡς ἐν χρήσει ἀπὸ τῶν
B Αἰγυπτίων γυναικῶν καὶ ἀνθρώπων κόσμια καὶ ἄργυρον ἄπειρον.
καὶ μετὰ τὸ ἐξελθεῖν αὐτοὺς μετεμελήθη Φαραώ, ὁ βασιλεὺς Αἰ-
γύπτου, διδαχθεὶς ὅτι καὶ κόσμια καὶ ἄργυρον καὶ χρήματα
ἐχρήσαντο καὶ ἔφυγαν. καὶ κατεδίωξεν αὐτοὺς μετὰ τῶν ἁρμά-
των αὐτοῦ καὶ πάσης τῆς ἐνόπλου δυνάμεως· καὶ κατέφθασεν
αὐτοὺς παρὰ τὴν θάλασσαν. καὶ στραφέντες οἱ Ἰσραηλῖται, καὶ
ἑωρακότες τὸν βασιλέα Φαραὼ καὶ τὸν στρατὸν αὐτοῦ ὄπισθεν
ἐρχόμενον καὶ τὴν θάλασσαν ἔμπροσθεν ἑαυτῶν, ἀνεβόησαν
κραυγῇ μεγάλῃ πρὸς τὸν θεόν· καὶ ὁ προηγούμενος Μωσῆς τὸν
λαὸν ἔκρουσε τῇ ῥάβδῳ τοῖς θαλασσίοις ὕδασι, καὶ ἐγένετο ξηρά,
καὶ ἐβάδιζον. καὶ ἀπομείνας Μωσῆς ὄπισθεν τοῦ λαοῦ παντὸς
καὶ στραφεὶς εἰς τὰ ὀπίσω αὐτοῦ, ἔκρουσε πάλιν τῇ ῥάβδῳ εἰς τὴν
C ξηρὰν γῆν, καὶ ἐγένετο θάλασσα κυμαινομένη. καὶ κατεποντί-

2. ἄπιθι Ch., Cedrenus, ἄπειθι Ox. 4. πλάκα λιθίνην γλυφῆναι] „Scr. πλακὶ λιθίνῃ, uti habet Cedrenus: aut supple εἰς.“ Ch. 6. Μέμφης] Μέμφιος Ch. 9. ἐν χρήσει Ch., ἐγχρήσει Ox. 10. ἀνθρώπων] ἀνδρῶν? 12. κόσμια] κόσμα Ox.

patre; filiusque ipse sui pater beatissimus. Quantilli autem Nos ex Angelis? edoctus vero Tu, tacitus discede.“

Haec cum ab Oraculo audisset rex Pharaoh, tabulae lapideae inscribi jussit; extatque eidem insculptum hoc responsum, in Templo Memphitico, qua Nilus fluvius perfluit, in hunc usque diem visendum. Inde autem digressus Pharaoh, populum Israeliticum, cum Mose et Aarone, statim dimisit; qui ornatum ab Aegyptiis argentumque multum mutuati, universi ex Aegypto discesserunt. Pharaoh autem Rex, ubi Ebraeos, ab Aegyptiis ornamenta, argentum, divitiasque mutuatos, effugisse intellexisset, facti eum poenituit, acceptisque curribus suis, militiaque omni eos insecutus, juxta mare tandem assecutus est. Israelitae itaque respicientes, cum se, a fronte, mari, a tergo, Pharaone ejusque exercitu cinctos vidissent; sublato clamore magno, Dei opem implorarunt. Moses vero eorum ductor virga sua mare percussit; statimque aquae ejus exaruerunt: expectansque dum populus universus per siccum transisset; retrorsum tandem conversus, virga sua terram aridam percussit iterum; quo facto, in locum suum redierunt maris fluctus; et Petissonium Pha-

σθη ὁ Πετισσώνιος Φαραώ, ὁ βασιλεὺς τῶν Αἰγυπτίων, ἐν τῇ θαλάσσῃ καὶ τὰ ἅρματα αὐτοῦ καὶ πᾶσαι αἱ δυνάμεις αὐτοῦ, καὶ πόντου κύματα ἐκάλυψεν αὐτὸν καὶ τοὺς μετ᾽ αὐτοῦ. τὸν δὲ O 81
λαὸν τῶν Ἰουδαίων μετὰ Μωσέως καὶ Ἀαρὼν διέσωσεν ὁ κύριος βαδίζοντας ἐν θαλασσίοις κύμασιν ὡς ἐν ξηρᾷ γῇ, ἐξ Αἰγύπτου φεύγοντα μετὰ χιλιάδων χλ′, καθὼς καὶ ὁ αὐτὸς Μωσῆς συνεγράψατο ἐν τῇ σοφωτάτῃ αὐτοῦ χρονογραφίᾳ.

6. μετὰ χιλιάδων χλ′] „Numerus non convenit cum scriptura, Num. 1. v. 46. numerantur IↃↃↃCCIↃↃCIↃCIↃCIↃDL. id est 603550." Ch.

raonem, Regem Aegyptiorum, cum omnibus suis, exercituque toto penitus obruerunt. Populum vero Judaeorum, cum Mose et Aarone, ex Aegypto fugientem, per maris fluctus, ceu per terram aridam, transire incolumem fecit Dominus. Erant autem numero sexcenties tricies milleni; sicut Moses ipse, in sapientissima sua Chronographia, conscripsit.

ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ

ΧΡΟΝΩΝ ΒΑΣΙΛΕΙΑΣ ΑΡΓΕΙΩΝ ΧΩΡΑΣ.

O 82 D Τῶν δὲ Ἀργείων μετὰ τὸν Ἴναχον ἐβασίλευσεν ὁ Φορωνεὺς καὶ ἄλλοι πολλοὶ ἕως τῆς βασιλείας Λυγκέως τοῦ ἀγαγομένου τὴν Ὑπερμνήστραν γυναῖκα τῶν Δαναοῦ θυγατέρων. ὅστις Λυγκεὺς πολεμήσας τῷ Δαναῷ βασιλεῖ τοῦτον ἐφόνευσε καὶ ἔλαβε τὴν βασιλείαν καὶ τὴν θυγατέρα αὐτοῦ, καθὼς Ἀρχίλοχος ὁ σοφώτατος συνεγράψατο. καὶ μετὰ τὴν βασιλείαν Λυγκέως ἐβασίλευσε Τριόπας ἐν τῇ Ἀργείων χώρᾳ ἔτη ε΄. καὶ τῷ αὐτῷ πέμπτῳ
O 83 ἔτει τῆς βασιλείας αὐτοῦ κατελύθη ἡ βασιλεία τῶν Ἀργείων, καὶ
V 28 κατέσχον τὴν βασιλείαν αὐτῶν οἱ Σικυώνιοι. κατέσχεν οὖν ἡ βασιλεία, ἤτοι τοπαρχία, τῶν Ἀργείων ἔτη φμθ΄, καθὼς καὶ Διόδωρος ὁ σοφώτατος συνεγράψατο. τῶν δὲ Σικυωνίων τῶν νυνὶ λεγομένων Ἑλλαδικῶν ἐβασίλευσε πρῶτος ὁ Αἰγιαλεὺς ἔτη νβ΄,

2. *Λυγγέως* Ox. Sic et 3. 6. 3. *Ὑπερμνήστραν* Ch., *ὑπὲρ μνήστραν* Ox. 7. *Τριόππας* Ox. 9. *Συκυώνιοι* Ox., correxit Ch.

LIBER QUARTUS

DE ARGIVORUM REGNI TEMPORIBUS.

Argivorum regnum, post Inachum, Phoroneus obtinuit; et post eum plures alii, ad Lynceum usque, qui Hypermnestram, Danai filiam, in uxorem duxit. Lynceus enim Danao bellum inferens, ipsum et vita et regno filiaque spoliavit: sicuti scriptis tradidit sapientissimus Archilochus. Lynceo successit Trioppas; qui cum quinque tantum annos Argivorum regnum tenuisset, solutum tandem est, atque ad Sicyonios delatum; postquam DXLIX durasset annos; uti sapientissimus Diodorus scriptum reliquit. Sicyoniis autem, qui nunc Helladici vocantur, Aegialeus primus

καὶ λοιπὸν ἄλλοι βασιλεῖς κς´ ἕως Ζευξίππου τοῦ βασιλεύσαντος
αὐτῶν ἔτη λβ´. καὶ λοιπὸν οἱ ἱερεῖς αὐτῶν ἐδιοίκουν τὴν χώραν,
καὶ κατέσχεν ἡ βασιλεία αὐτῶν ἔτη ϡπε´, καθὼς Ἀφρικανὸς ὁ
σοφώτατος συνεγράψατο.

Ἡ δὲ δύσις, ὅ ἐστι τὰ ἐπὶ τὴν Ἰταλίαν, ἦν τότε ἀβασίλευ-
τος, διοικουμένη δὲ ἀπὸ τῶν υἱῶν Πίκου τοῦ καὶ Διὸς καὶ τοῦ
γένους αὐτῶν. ἐν οἷς χρόνοις ἐτελεύτησε Μωσῆς καὶ Ἀαρὼν ἐν
τῇ ἐρήμῳ· καὶ ἐδιοίκει τὸν Ἰσραὴλ Ἰησοῦς ὁ τοῦ Ναυή, ὡς
προείρηται. ὅστις πολεμῶν παρέλαβε τὴν Ἰεριχὼ καὶ τὴν ἀνω- B
τέρω εἰρημένην πόλιν Ἱερουσαλήμ, ἥντινα μετεκάλεσεν ὁ αὐτὸς O 84
Ἰησοῦς, υἱὸς Ναυή, Ἰεβοῦν. αὐτὸς δὲ παραλαβὼν τὴν χώραν
ᾤκησε τὴν λεγομένην πόλιν Συχέμ, μετακαλέσας αὐτὴν Νεάπο-
λιν. καὶ μετὰ τὴν τελευτὴν Ἰησοῦ, υἱοῦ Ναυή, τοῦ ποιήσαντος
περᾶσαι τὸν λαὸν τῶν Ἰουδαίων τὸν Ἰορδάνην ποταμὸν κατὰ κέ-
λευσιν θεοῦ καὶ ἐλθεῖν ἐπὶ τὴν τῆς Παλαιστίνης χώραν καὶ σάλ-
πιγγι μυστικῇ λῦσαι τὰ τείχη Ἰεριχώ, μετὰ δὲ τοῦτον ἡγεῖτο τοῦ
Ἰσραὴλ Φινεές· μετὰ δὲ Φινεὲς ἐδιῴκουν τὸν Ἰσραὴλ ιγ´ κριταί,
ἐπιλεγέντες ἐκ τοῦ λαοῦ.

Ἐν δὲ τοῖς τούτων χρόνοις ἦν παρ᾽ Ἕλλησιν ὁ Προμηθεὺς
καὶ ὁ Ἐπιμηθεὺς καὶ ὁ Ἄτλας καὶ ὁ πανόπτης Ἄργος, ὃν ἑκα- C
τοντόφθαλμον ἐκάλουν διὰ τὸ περίβλεπτον εἶναι τὸν ἄνδρα καὶ

1. κς´] κε´ Schurzfleischius Not. Bibl. Vin. p. 193. Sed haec scriptoris imputanda sunt stupori, cuius paria exempla notabimus p. 37. A. 68. A. 2. λβ´] λα´ Eusebius utroque libro, Cedrenus p. 81. D, Syncellus p. 151. D. 7. οἷς Ch., οἷσι Ox. 8. 11. 13. *Ναυῒ* Ox. 15. καὶ ἐλθεῖν Ch., κατὰ ἐλθεῖν Ox.

imperavit, annos LII. Post hunc alii Reges fuerunt XXVI, usque ad Zeuxippum; qui imperium tenuit annos XXXII. Deinde vero Respublica eorum a sacerdotibus administrata est. Duravit hoc Regnum annos DCCCCXXCV, uti sapientissimus Africanus literis prodidit.

Partes autem Occidentales Italiaque tunc temporis regem nullum habuerunt; sed a Jovis Pici filiis, posterisque eorum administrabantur; quo tempore Moses et Aaron, in deserto fatis cesserunt, populoque Israelitico praefuit Jesus, Nave F. ut supra dictum est. Hic Jerichuntem bello cepit, urbemque Jerusalem ante dictam; quam et Jebum vocavit: totaque circum regione in potestatem suam redacta, urbem Sychem ipse incoluit, Neapolim jam nominans. Post mortem Jesu, Nave F. qui, Deo jubente, populum Israeliticum, per Jordanem fluvium, in Palaestinam transire, tubaque mystica Jerichuntis moenia corruere fecit; Israelitis praefuit Phinees: quem Judices tandem, numero XIII, e populo electi, subsequuti sunt.

Temporibus hisce inter Graecos innotuerunt Prometheus, Epimetheus, Atlas, Argusque perspicacissimus; (quem, ab oculorum ingenii-

γοργόν, καὶ Δευκαλίων, ὁ υἱὸς Ἕλληνος τοῦ Πίκου. ὁ δὲ Ἄργος αὐτὸς εὗρε τὴν τεχνικὴν ἐπὶ τὰ δυτικὰ μέρη· ὁ δὲ Ἄτλας ἡρμήνευσε τὴν ἀστρονομίαν· διὰ τοῦτο λέγουσιν ὅτι τὸν οὐρανὸν βαστάζει, διότι τὰ οὐρανοῦ ἔχει ἐν τῇ καρδίᾳ αὐτοῦ· ὁ δὲ Προμηθεὺς τὴν γραμματικὴν ἐξεῦρε φιλοσοφίαν· περὶ οὗ λέγουσιν O 85 *ὅτι ἀνθρώπους ἔπλαττε, καθ' ὃ ἰδιώτας ὄντας ἐποίησεν ἐπιγινώσκειν διὰ φιλοσοφίας καὶ τῷ πρώην χρόνῳ εἰδέναι τὰ συμβάντα· ὁ δὲ Ἐπιμηθεὺς τὴν μουσικὴν ἐξεῦρεν· ὁ δὲ Δευκαλίων τὰ τοῦ κατακλυσμοῦ τοῦ μερικοῦ ἐξέθετο, καθὼς Εὐσέβιος ὁ Παμφίλου ὁ σοφώτατος συνεγράψατο.*

D *Μετὰ δὲ τὸ ἀποθανεῖν τοὺς κριτὰς τῶν Ἰουδαίων ἡγεῖτο τοῦ λαοῦ Βαρὰχ ὁ τοῦ Ἀβινοέμ. ἦν δέ τις γυνὴ προφῆτις ὀνόματι Δεββῶρα, ἥτις ἔλεγε τοῖς Ἰουδαίοις πάντα τὰ μέλλοντα.*

Ἐν δὲ τοῖς καιροῖς ἐκείνοις ἦν καὶ παρ' Ἕλλησι μάντις Σίβυλλα· καὶ ἐν αὐτοῖς τοῖς χρόνοις Αἰγυπτίων ἐβασίλευσε Φαραὼ ὁ καὶ Ναραχώ· τῶν δὲ Ἀθηναίων ἐβασίλευσε Κέκροψ τις, ὅστις ἐξ Αἰγύπτου κατήγετο· ἦν δὲ παμμεγέθης, διὸ καὶ διφυῆ αὐτὸν ἐκάλουν. οὗτος δὲ πρῶτος βασιλεὺς ἐγένετο Ἀθηναίων μετὰ τὸν κατακλυσμὸν τῆς Ἀττικῆς· μετὰ δὲ τὸν κατακλυσμὸν τῆς Ἀττικῆς εἰς Ἀθηναίους ἦλθε τὸ βασίλειον. ἢ μόνον δὲ αὐτὸς ἐβασί-

1. *Ἕλληνος* Bentleius p. 73., *Ἕλενος* Ox. 2. *τεχνικὴν*] *τεκτονικὴν* Ch. Conf. Schurzfleisch. Not. Bibl. Vin. p. 126. 9. *Εὐσέβιος*] V. ad p. 22. A. 12. *Ἀβινοέμ* Ch., *Ἀμινοέμ* Ox. 14. *μάντις* Ch., *μάρτυς* Ox. et *Σιβύλλα.* 17. *παμμεγέθης* Ch., *πανμεγέθης* Ox.

que acumine, vocarunt Centumoculum:) Deucalion item Heleni F. Pici nepos. Argus autem occidentalibus Technicam primus monstravit: Atlas Astronomicam tractavit scientiam; unde quod in Coelestium contemplatione versatus esset, coelum ab eo gestari, fabulati sunt. Prometheus Grammaticam invenit: hunc homines effinxisse fabulantur, eo quod, rudes cum fuerint, Philosophiae ope ad eventuum futurorum praescientiam eos adduxerit. Epimetheum Musices autorem fuisse perhibent: Deucalion vero Diluvii particularis historiam contexuit: uti Eusebius Pamphili literis tradidit.

Post extinctos Israelitarum judices, eis praefuit Barachus, Abinoami F. quo tempore etiam inter Judaeos floruit Prophetissa quaedam, nomine Debora; quae ipsis futura omnia praedixit.

Temporibus etiam illis apud Graecos innotuit Sibylla, vaticinatrix; eodem etiam tempore Aegyptiis imperavit Pharaoh, qui et Naracho. Athenis autem, ubi post Atticum diluvium sedes erat Regia, primus Cecrops quidam, ab Aegypto oriundus regnavit: hunc, ob corporis magnitudinem, Duplicem vocarunt. Is, quam primum regnare coepit, legem tulit, uti mulieres, quaecunque virgines imperio suo subditae erant, singulae singulis nuberent viris. Nymphas autem, in sanctione sua, virgi-

λευσε Κέκροψ Ἀθηναίων, ἐκέλευσε νομοθετῆσαι τὰς γυναῖκας E
τὰς ὑπὸ τὴν βασιλείαν αὐτοῦ οὔσας ἐν ᾧ εἰσι παρθένοι γαμεῖσθαι O 86
ἑνὶ ἀνδρί· ἅστινας ἐκάλεσε νύμφας ἐν τῇ νομοθεσίᾳ αὐτοῦ διὰ
τὸ πηγαῖς ἐοικέναι τὰς παρθένους κόρας, αἳ τίκτουσι καὶ ἀπὸ
ἀδήλων πόρων πηγάζουσι γάλα. πρὸ γὰρ τῆς βασιλείας αὐτοῦ
πᾶσαι αἱ γυναῖκες τῶν Ἀττικῶν καὶ τῶν Ἀθηναίων καὶ τῆς πλη-
σίον χώρας θηριώδει μίξει ἐμίγνυντο, ἑκάστῳ συγγινόμεναι τῷ
ἀρεσκομένῳ αὐταῖς, ἐὰν κἀκείνη ἠβούλετο· καὶ ἐκαλεῖτο ἡ ἁρ- V 29
παζομένη γυνὴ οὐδενός, ἀλλὰ τοῖς πᾶσι προσήρχοντο, διδοῦσαι
ἑαυτὰς εἰς πορνείαν. καὶ ὅσας ἠβουλήθη τις κρατῆσαι αὐτὰς
ἡμέρας, κατ' οἶκον παρέμενον αὐτῷ τρεφόμεναι· καὶ εἰ ἤθελε,
πάλιν ἀπέλυσεν αὐτὴν τοῖς βουλομένοις. τοῦτο ἀπὸ τῆς Ἀττι-
κῆς εἴρχθη, τὸ μὴ ἀναγκάζεσθαι αὐτὰς συνεῖναι ἀνδρὶ πρὸς ὃν
βούλονται· οὐδεὶς οὖν ᾔδει τίς ἦν υἱὸς ἢ θυγάτηρ, καὶ ἐδίδου τὸ
τεχθὲν ᾧ ἠβούλετο ἀνδρὶ συμμιγέντι αὐτῇ, εἴτε ἄῤῥεν εἴτε θῆλυ
ἔτεκε, καὶ ἔχαιρον δεχόμενοι. ὁ δὲ Κέκροψ ἐκ τῆς Αἰγύπτου
καταγόμενος ἐξεφώνησε τὸν νόμον τοῦτον, εἰρηκὼς ὅτι ἡ Ἀττικὴ
χώρα διὰ τοῦτο ἀπώλετο. καὶ λοιπὸν ἐσωφρόνησαν πᾶσαι, καὶ
ἀνδράσιν ἐζεύγνυον ἑαυτὰς αἱ ἄγαμοι παρθένοι, ἡ δὲ πορνευθεῖ-
σα ἐγαμεῖτο ἑνὶ ᾧ ἠβούλετο ἀνδρί· καὶ ἐθαύμασαν οἱ Ἀθηναῖοι B
τὸν τοῦ βασιλέως νόμον· ὡς δὲ καί τινες ἐξέθεντο ὅτι διὰ τοῦτο O 87
αὐτὸν οἱ Ἀθηναῖοι εἶπαν διφυῆ, ὅτι ἐξευγένισε τὰ τέκνα τοῦ εἰ-
δέναι τοὺς ἑαυτῶν γονεῖς. ἐβασίλευσε δὲ ὁ Κέκροψ τῶν Ἀθη-

7. θηριώδει Ch., θηριώδη Ox.

nes hasce vocavit; eo quod, Fontium instar, per meatus corporis occultos, a partu lac emittunt. Ante hunc enim regem, mulieres Atticae conterminaeque omnes belluino more miscebantur, pro libitu suo, cum quibuscunque cupientibus. Subinde vero vitiatae mulieres, nullo proprio viro destinatae, ad omnes aeque ventitantes, cuilibet prostituerunt sese. Cuique etiam licitum erat, ut amasiam quotquot sibi visum esset diebus, domi secum retineret: pro arbitrio deinde suo, quibuscunque volentibus eam dimitteret. Caeterum Atticis deinceps prohibitus fuit mos iste, mulieres, cum quopiam volente, consuescere cogendi. Exinde enim factum est, ut nemo ibi hominum sciret, quis suus filius, aut quae filia fuerit. Natum enim infantem, sive masculum, sive foeminam, mater, pro libitu, cuicunque deferebat ex amasiis suis: donumque is laetabundus accepit. Cecrops vero iste Aegyptius, legem supradictam sancivit; innuens ob hoc ipsum Atticam aquis olim obrutam fuisse. Exinde itaque castitatem coluerunt mulieres omnes; virginibus viris propriis se jungentibus: quae vero ante vitiatae fuerant, virum quem vellent, sibi elegerunt. Hoc regis Edictum demirati sunt Athenienses; qui, ut nonnulli tradiderunt, ob hoc etiam illum *Διφυῆ*, sive Duplicem vocarunt; eo quod prolem eis nobiliorem reddidisset, efficiendo, ut quilibet parentum suum utrumque dignosceret. Cecrops autem Athenis regnavit annos L. hunc excepit Cra-

ναίων ἔτη ν', καὶ μετ' αὐτὸν ἐβασίλευσε Κραναὸς ἔτη θ'. ἐν
ἐκείνοις δὲ τοῖς χρόνοις Σαπφὼ πρώτη μουσικὴ ἐγνωρίζετο. καὶ
μετὰ Κραναὸν ἐβασίλευσε Φορωνεὺς καὶ ἄλλοι ἕως Κοδρῶνος,
βασιλεύσαντος αὐτῶν ἔτη κα'. κατέσχεν οὖν ἡ βασιλεία αὐτῶν
ἔτη υϟβ'.

Ἐν δὲ τοῖς χρόνοις τῶν ἀρχόντων ἐνομοθέτει Ἀθηναίους
C πρῶτος ὀνόματι Δράκων, καὶ μετ' αὐτὸν Σόλων, καὶ ἔλυσε τοὺς
νόμους Δράκοντος Σόλων. καὶ πάλιν ἐνομοθέτησε Θαλῆς ὁ Μι-
O 88 λήσιος. καὶ πάλιν ἐβασίλευσεν αὐτῶν πρῶτος Αἰσχύλος ἔτος κα',
καὶ μετὰ Αἰσχύλον ἐβασίλευσεν αὐτῶν Ἀκμαίων ἔτη δύο· περὶ οὗ
Εὐριπίδης ὁ σοφώτατος δρᾶμα ἐξέθετο. καὶ μετὰ Ἀκμαίοντα
ἐβασίλευσαν αὐτῶν ἄλλοι ιη' ἕως Ἀρεξίωνος, ὃς ἐβασίλευσεν αὐ-
τῶν ἔτη ιβ'. καὶ κατελύθη ἡ βασιλεία τῶν Ἀθηναίων, κρατή-
σασα ἔτη ϡζ', καθὼς Ἀφρικανὸς ὁ σοφώτατος χρονογράφος
ἐξέθετο.

Μετὰ δὲ βραχὺ ἡγήσατο τοῦ Ἰσραὴλ Γεδεών. ἐν αὐτῷ δὲ
τῷ χρόνῳ ἦν Ὀρφεὺς ὁ Θρᾷξ, ὁ λυρικὸς Ὀδρυσαῖος, ὁ σοφώ-
D τατος καὶ περιβόητος ποιητής· ὅστις ἐξέθετο θεογονίαν καὶ κό-
σμου κτίσιν καὶ ἀνθρώπων πλαστουργίαν, εἰρηκὼς ἐν τῇ ἀρχῇ
τοῦ συντάγματος αὐτοῦ ὅτι ἐκ τῆς ἰδίας αὐτοῦ ἐνθυμήσεως οὐκ
ἐξέθετό τί ποτε περὶ θεοῦ ἢ τῆς κοσμικῆς κτίσεως, ἀλλ' εἶπεν ὅτι

2. πρώτη μουσικὴ] πρώτη Μουσῶν Cedrenus p. 82. C, alter altero magis pervertens epigramma Platonis, quo decimam Musam dixerat Sapphonem. Quod vidit Schurzfleischius Not. Bibl. Vin. p. 249. 8. Θάλλης Ox. 9. κα'] ἓν καὶ μῆνας ιζ' (ζ') Cedrenus p. 82. D. 10. Vid. Bentleius p. 17. 17. Ὀδρυσσέως Ox., Ὀδρύσιος Ch. Simile Μολοσσαῖος p. 25. B. Repetendus etiam articulus.

naus, et imperavit is annos IX. Hisce autem temporibus Sappho, Poetria prima, innotuit. Post Cranaum regnavit Phoroneus aliique, usque ad Codrum; qui regnum tenuit per annos XXI. Duravit itaque regnum eorum annos CCCCXCII.

Archontum autem temporibus, Draco Atheniensibus leges primus dedit: quas Solon, successor ejus, abrogavit. Alias deinde condidit Thales Milesius. Athenarum rursus regnum deinceps invasit primus Aeschylus, per annum unum: post Aeschylum, regnavit Acmaeon per biennium: de quo sapientissimus Euripides tragoediam condidit. Post Acmaeontem regnarunt octodecim alii; usque ad Arexionem, qui regnavit annos XII, et dissolutum est Regnum Atheniensium, cum durasset annos DCCCCVII, juxta traditionem Africani sapientissimi Chronographi.

Paulo post tempore Israeli dux fuit Gedeon: huic contemporaneus erat sapientissimus Orpheus Lyricus Odryssius ex Thracia, celebratissimus Poëta. Hic Deorum Origines, mundi etiam hominumque creationem exposuit: praefatus in principio Operis sui, se nihil, ex proprio instinctu, de Deo, aut Mundi opificio, protulisse: verum se precibus suis ob-

αἰτησαμένου διὰ ἰδίας αὐτοῦ εὐχῆς μαθεῖν παρὰ τοῦ Φοίβου Τιτᾶνος ἡλίου τὴν θεογονίαν καὶ τὴν τοῦ κόσμου κτίσιν καὶ τίς ἐποίησεν αὐτήν. ἐμφέρεται γὰρ ἐν τῇ αὐτοῦ ἐκθέσει διὰ ποιητικῶν στίχων οὕτως.

Ὦ ἄναξ, Λητοῦς υἱέ, ἑκατηβόλε, Φοῖβε κραταιέ,
ὦ δέσποτα, ἡμέρας υἱέ, ὁ τὰ πάντα πόῤῥωθεν ταῖς ἀκτῖσί σου τοξεύων, ἀμίαντε καὶ δυνατέ,
πανδερκές, θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσων, O 89
ὁ τὰ πάντα ἐπιβλέπων, θνητῶν καὶ ἀθανάτων βασιλεύων, E
Ἥλιε χρυσέαισιν ἀειρόμενε πτερύγεσσιν,
Ἥλιε τιμίαις εἰς τὸν ἀέρα ὑψούμενε πτέρυξι,
δωδεκάτην δὴ τήνδε παρὰ σεῖο ἔκλυον ὀμφήν,
δωδεκάτην δὴ ταύτην παρά σου ἤκουσα θείαν φωνήν, V 30
σεῖο φαμένου, σὲ δ' αὐτόν, ἑκηβόλε, μάρτυρα θείην.
σοῦ εἰρηκότος μοι, σὲ δ' αὐτὸν τὸν ἀπὸ μακρόθεν λάμποντα τίθημι. καὶ ἄλλους δὲ πολλοὺς περὶ τούτου εἶπε στίχους ὁ αὐτὸς Ὀρφεύς· ἔφρασε δὲ ὡς ἐκ τῶν προειρημένων στίχων ποιητικῶν ἐξέθετο· καὶ οὐκ ἐνεδέχετο ἐντάξαι τὸ πλῆθος τῶν στίχων

1. *αἰτησαμένου* Cedrenus p. 57. B, *ἠτησάμην οὐ* Ox. 2. *ἡλίου* Cedrenus, *ἠελίου* Ox. 5. *Ὦ*] *Ὁ* Ox. 10. *χρυσέαισιν*] *χρυσέοισιν* Ox. Fallitur Bentleius p. 5. *ibid.* *ἀειρόμενε* Cedrenus, *ἀέρομενε* Ox. 11. *τιμίαις* Cedrenus, *τιμίοις* Ox. 12. *δὴ* Cedrenus, *δὲ* Ox. hic et 13. 14. *θείην* Cedrenus, *θείη* Ox. 16. *τίθημι*] Adde *μάρτυρα*.

tinuisse a Phoebo Apolline, uti haec sibi aperiret; nempe *Theogoniam*, sive Deorum Natales, Universi etiam opificium: in quo ejus opere extant etiam haec carmina sequentia.

Rex Phoebe, arcipotens Latonae maxima proles.

id est:

O Domine, proles Diei, qui omnia e longinquo radiis tuis perstringis, Immaculate et Praepotens.

Omnia qui lustras, hominesque Deosque gubernas.

id est:

O tu, cui omnia visibilia sunt; et cui Mortales et Immortales obtemperant.

O sol, auratis qui dividis aera pennis.

id est:

O Sol, qui pennis honorandis in sublime aeris eveheris.

Jam duodenum a Te ferit hoc praecordia verbum.

id est:

Duodecies jam a Te exaudivi divinam vocem.

Dictique, Arcitenens, ipsum Te nuncupo testem.

id est:

Tuorum verborum te quidem eminus irradiantem in testimonium pono. Plures etiam alios, hac de re, versus composuit Orpheus: loquitur autem eodem modo ac in recitatis versibus: versus autem ejus reliquos, propter eorum multitudinem, in opus hoc nostrum congerere, non licuit:

ἐν τῇ συγγραφῇ ταύτῃ. ἔστι δὲ ἅπερ ἐξέθετο Ὀρφεὺς ταῦτα.
ὅτι ἐξ ἀρχῆς ἀνεδείχθη τῷ χρόνῳ ὁ αἰθὴρ ἀπὸ τοῦ θεοῦ δημιουρ-
γηθείς, καὶ ἐντεῦθεν κἀκεῖθεν τοῦ αἰθέρος ἦν χάος, καὶ νὺξ ζο-
φερὰ πάντα κατεῖχε καὶ ἐκάλυπτε τὰ ὑπὸ τὸν αἰθέρα, σημαίνων
B τὴν νύκτα πρωτεύειν, εἰρηκὼς ἐν τῇ αὐτοῦ ἐκθέσει ἀκατάληπτόν
τινα καὶ πάντων ὑπέρτατον εἶναι, καὶ προγενέστερον δὲ καὶ δη-
μιουργὸν ἁπάντων καὶ τοῦ αἰθέρος αὐτοῦ καὶ τῆς νυκτὸς καὶ
O 90 πάσης τῆς ὑπὸ τὸν αἰθέρα οὔσης καὶ καλυπτομένης κτίσεως· τὴν
δὲ γῆν εἶπεν ὑπὸ τοῦ σκότους ἀόρατον οὖσαν· ἔφρασε δὲ ὅτι τὸ
φῶς ῥῆξαν τὸν αἰθέρα ἐφώτισε τὴν γῆν καὶ πᾶσαν τὴν κτίσιν,
εἰπὼν ἐκεῖνο εἶναι τὸ φῶς τὸ ῥῆξαν τὸν αἰθέρα τὸ προειρημένον,
τὸ ὑπέρτατον πάντων, οὗ ὄνομα ὁ αὐτὸς Ὀρφεὺς ἀκούσας ἐκ τῆς
O 91 μαντείας ἐξεῖπε, Μῆτιν, Φάνητα, Ἐρικεπαῖον· ὅπερ ἑρμηνεύεται
τῇ κοινῇ γλώσσῃ βουλή, φῶς, ζωοδοτήρ· εἰπὼν ἐν τῇ αὐτοῦ
C ἐκθέσει τὰς αὐτὰς τρεῖς θείας τῶν ὀνομάτων δυνάμεις μίαν εἶναι
δύναμιν καὶ κράτος τοῦ μόνου θεοῦ, ὃν οὐδεὶς ὁρᾷ, ἧστινος δυ-
νάμεως οὐδεὶς δύναται γνῶναι ἰδέαν ἢ φύσιν· ἐξ αὐτῆς δὲ τῆς
δυνάμεως τὰ πάντα γεγενῆσθαι, καὶ ἀρχὰς ἀσωμάτους καὶ ἥλιον
καὶ σελήνην, ἐξουσίας καὶ ἄστρα πάντα καὶ γῆν καὶ θάλασσαν,
τὰ ὁρώμενα ἐν αὐτοῖς πάντα καὶ τὰ ἀόρατα. τὸ δὲ τῶν ἀνθρώ-

2. τῷ χρόνῳ] τῷ κόσμῳ Cedrenus, omisit Suidas v. Ὀρφεύς. 4. πάντα Cedrenus, Suidas, πάντας Ox. 5. προτεύειν] πρωτεύειν Ch., προτερεύειν Cedrenus et Suidas. 11. τὸν π. Ox., τὸ π. Cedrenus. 13. Μῆτιν, Φάνητα, Ἐρικεπαῖον Bentleius p. 2. μή τινα φᾶναι τὰ ἐρικεπεῶ Ox. 17. εἰδέαν Ox., ἰδέαν Cedrenus. 20. τὸ δὲ τὸν ἄνθρωπον εἶπεν] „Cedrenus habet, τὸ δὲ τῶν ἀνθρώπων γένος εἶπεν etc.“ Ch. Quod restitui. V. ad p. 15. D.

Πριάμου καὶ τῶν λοιπῶν. Βασιλεῖς Ἑλλήνων ὄντες, φίλων ἔργα
διαπράξασθε καὶ μὴ πολεμίων. πάντα ἐπάθομεν ὅσα ἐχρῆν πα-
E θεῖν τοὺς ἡμαρτηκότας. ἀνθ᾽ ὧν γὰρ Ἀλέξανδρος ὁ καὶ Πά-
ρις Μενέλαον ἠδίκησε δίκας δέδωκε τὸ Ἴλιον· καὶ μαρτυροῦσιν
O 143 οἱ τάφοι τῶν ἐν ταῖς μάχαις ἀπολομένων. οἱ οὖν περιλειφθέντες
ἡμεῖς λύτρα φέρομεν ὑμῖν ὑπὲρ θεῶν, ὑπὲρ πατρίδος, ὑπὲρ παί-
δων. ἀλλ᾽ Ἕλληνες ὄντες τοὺς τότε ἀπειθεῖς, νῦν δὲ ἱκέτας, σώ-
σατε, χρημάτων τυπουμένων. πεισθέντες δὲ ὑμεῖς πάντες τοῦ
V 47 Ἀντήνορος, ἐξεπέμψατέ με καὶ σὺν ἐμοὶ τὸν Διομήδην πρὸς Πρία-
μον τυπῶσαι τὴν ποσότητα τῶν χρημάτων. εἰσελθόντων δὲ ἡμῶν*

6. *εἰδότες*] Immo *ἰδόντες*. 7. *Ἀντήνορα* Ch., *Ἀντήνωρα* Ox. 17. *ἀπολωμένων* Ox. Eiusdem *περιληφθ*. correxit Ch. 20. *ὑμεῖς* Ch., *ἡμεῖς* Ox. Eadem *Ἀντήνωρος*.

Festa Anathematum celebrantibus, interim dum sacra in urbe peragerentur, Apollinis ad aram portentum accidit hujusmodi. Ignem altari, sacrificio immolando, rite admovebant: illud vero non comburitur. Saepiusculeque repetitus ignis, non exarsit tamen: quin et ea, quae altari imponebantur, omnia in terram deciderunt. Accessere his etiam alia prodigia quae Trojani animadvertentes, adversum sibi aliquid denunciari dixerunt. Antenor itaque, Priamo rege, ducibus, exercituque Trojano id ab eo flagitantibus, ad vos Reges missus est legatus; nempe Danaos exoratum, uti pacem ipsis pretio constituto reddatis. Quorum omnium nos notitiam assequuti, castra repetentes vobis indicavimus. Antenor autem, Legatione suscepta, Trojanorum, et Priami nomine, orationem habuit hujusmodi. Graecorum qui reges estis, non amplius quae hostium, sed amicorum quae sunt, facite. Delictorum nostrorum, quas debuimus, poenas dedimus. Pro injuria enim a Paride Menelao facta, luit Ilium: quod caesorum in bello sepulchra satis testantur. Ex vobis pretium, quo nos bello residui liberos nostros, patriam, Deosque redempturi sumus. Quin igitur, Graeci cum sitis, supplices nunc vestros, olim qui contumaces, pretio liberetis. Nobis vero omnibus Antenori annuentibus, missi sumus ad Priamum, ego ac Diomedes, ut de pecuniarum pondere statueremus.

ἐν τῇ Τροίῃ πρὸς Πρίαμον, καὶ πολλῶν κινηθέντων, ἐτυπώσαμεν δοθῆναι ὑμῖν χρυσίου τάλαντα ˏβ καὶ πρὸς τούτοις ἴσα ἀργύρου. καὶ ἐπανήλθαμεν πρὸς ὑμᾶς ἀπαγγείλαντες τὰ δόξαντα. καὶ ἐκομισάμεθα τὰ τυπωθέντα, πάντας ὑμᾶς ἐνορκώσας ἐν ταῖς θυσίαις μὴ ἀποπλεῦσαι ἐξ Ἰλίου, πρὶν ἂν ποιήσαντες τὸν δούριον ἵππον ἁρμοδίοις ξύλοις καὶ κοσμήσαντες αὐτὸν πάσῃ ἀρετῇ δόξομεν ἀποπλέειν ἄντικρυς εἰς τὴν Τένεδον, καίοντες τὰς σκηνὰς ἡμῶν, καὶ νομίσαντες οἱ βάρβαροι ὅτι ἐξωρμήσαμεν, μένωσιν ἀνετοὶ εὐωχούμενοι, καὶ νυκτὸς ὑποστρέψαντες ἀπὸ τῆς Τενέδου O 144 *καὶ εἰσελθόντες, πυρίκαυστον τὴν πόλιν ποιήσαντες καὶ Πρίαμον* B *ἀνελόντες ἀποδώσομεν τὴν Ἑλένην εἰς τὰ βασίλεια τοῦ Πλεισθένους. καὶ τῆς ἐμῆς βουλῆς κρατησάσης παρέσχον ἡμῖν οἱ θεοὶ νίκην κατὰ τῶν βαρβάρων. ὑμεῖς οὖν, οἱ βασιλεῖς καὶ ἥρωες, κριταὶ γένεσθε τῶν ἐμῶν καμάτων.*

Καὶ ἀντεποιοῦντο τοῦ Ὀδυσσέως ὁ Ἀγαμέμνων καὶ ὁ Διομήδης καὶ ὁ τούτων στρατός, τοῦ δὲ Τελαμωνίου Αἴαντος ἀντείχετο ὁ Νεοπτόλεμος Πύῤῥος, ὡς ἐκ γένους αὐτοῦ ὑπάρχων, καὶ ὁ τούτου στρατός. πολλῶν δὲ ἄλλων κινηθέντων μεταξὺ αὐτῶν ἄχρις ἑσπέρας, τέλος ἔδοξεν ὥστε λαβεῖν ἐν παραθήκῃ ἕως τῆς ἐπιφωσκούσης ἡμέρας τὸν Διομήδην τὸ Παλλάδιον καὶ τοῦτο φυλάξαι, C *καὶ ἕκαστον αὐτῶν ἀνεθῆναι, ἵνα κατὰ τὴν ἑξῆς τύπος δοθῇ τίνι ἐξ αὐτῶν χρὴ δοθῆναι τὸ Παλλάδιον. ὁ δὲ Αἴας, γε-*

2. ˏβ Ch., β' Ox. 6. δόξομεν] δόξωμεν Ch. 8. ἐξωρμήσαμεν Ch., ἐξορμήσαμεν Ox. 9. ἀνετοὶ] ἀνεκτοὶ Ox.

Trojam vero ad Priamum ingressi, multisque invicem agitatis, decrevimus tandem uti auri talenta duo, totidemque praeterea argenti, vobis darentur. Deinde vero ad castra reversi, de pactis vos certiores fecimus, designato simul pecuniarum pondere vobis contradito. Quin etiam sacrificia vobis peragentibus, juramento obstrinxi universos, prius ab Ilio ne solveritis, quam Equo Durio, aptissimis lignorum juncturis et artificio omni affabre compacto, Tenedum versus, insulam appositam, navigare videremur, tentoriis nostris incendio datis: ut Barbari interim existimantes discessisse nos, secure agerent, Genio indulgentes: Nos vero, nocte ingruente, a Tenedo reversi, Trojam ingrederemur, urbeque in flammas versa, Priamoque rege sublato, Helenam, receptam in Plisthenis regna, tandem deduceremus. Consilio itaque meo ubique obtinente, Dii victoriam nobis in Barbaros dederunt. Proinde vos Reges atque Heroes, rerum a nobis gestarum appello Judices.

Agamemnon itaque et Diomedes, horumque exercitus, ab Ulissis parte steterunt: Pyrrhus autem Neoptolemus, cum suis, ab Ajacis Telamonii; utpote qui genere ei propinquus esset. Caeterum multis aliis inter duces ad vesperam usque agitatis, tandem visum est, uti Palladium Diomedes apud se depositum servaret, in mane proximum; uterque interim ut quiesceret, donec mane proximo decerneretur, cui pro meritis

νόμενος κατὰ τοῦ Ὀδυσσέως καὶ Ἀγαμέμνονος καὶ Διομήδους,
ἀνεχώρησεν εἰς τὸν ἴδιον αὐτοῦ παπυλεῶνα· καὶ διὰ νυκτὸς σι-
δήρῳ ἐσφάγη ὁ Αἴας. καὶ τῇ πρωὶ ηὑρέθη τὸ λείψανον αὐτοῦ·
καὶ ἐστασίασεν ὁ στρατὸς αὐτοῦ καὶ τοῦ Πύῤῥου κατὰ τοῦ Ὀδυσ-
σέως, θέλων αὐτὸν φονεῦσαι. καὶ λαβὼν τὰ ἴδια πλοῖα ὁ Ὀδυσ-
σεὺς ἔφυγεν, ἀποπλεύσας ἐπὶ τὴν Ποντικὴν θάλασσαν. καὶ δια-
O 145 τρίψας ἐκεῖ καιρὸν ἐπανῆλθεν ἐκεῖθεν, βουλόμενος εἰς τὴν Ἰθά-
κην πόλιν εἰς τὴν ἰδίαν αὐτοῦ πατρίδα μετὰ τῶν ἰδίων νηῶν αὐ-
D τοῦ καὶ τοῦ ἰδίου στρατοῦ. καταντήσας δὲ εἰς χώραν λεγομέ-
νην Μαρωνίδα, ἀντίστασιν ὑπέστη ἀπὸ τῶν τῆς χώρας. καὶ
πολεμήσας ἐνίκησεν αὐτούς, καὶ πολλῶν χρημάτων κύριος ἐγένετο.
καὶ ὑπολαβὼν ὅτι εἰς οἱανδήποτε χώραν καταντῶν πάντως [ὅτι]
καὶ τοὺς τῆς αὐτῆς χώρας νικᾷ καὶ τὸν πλοῦτον ἑκάστης αὐτῷ χώ-
ρας ἀπαντώσης κομίζεται, καταφθάσας τὴν Λωτοφάγων λεγο-
μένην χώραν συνέβαλε μετ' αὐτῶν πόλεμον. καὶ ἐνίκησαν αὐτὸν
οἱ τῆς αὐτῆς χώρας μικροῦ δεῖν ὀλέσαι πάντας· κἀκεῖθεν φυγὼν
ἀνήχθη χειμαζόμενος μετὰ πλεῖστον πλοῦν εἰς τὴν λεγομένην Σι-
κίλαν νῆσον, τὴν νυνὶ λεγομένην Σικελίαν. ἡ δὲ νῆσος αὕτη ἦν
μεγάλη πάνυ, διῃρημένη εἰς τρεῖς ἀδελφοὺς μεγάλους καὶ δυνα-
E τοὺς καὶ τὰ ἀλλήλων φρονοῦντας, λέγω δὴ εἰς Κύκλωπα καὶ Ἀν-
τιφάντην καὶ Πολύφημον, υἱοὺς γεναμένους τοῦ Σικάνου, βα-
σιλέως τῆς αὐτῆς νήσου. ἦσαν δὲ οἱ αὐτοὶ τρεῖς ἀδελφοὶ ἄνδρες
O 146 χαλεποὶ καὶ μηδέποτε ξένους ὑποδεχόμενοι, ἀλλὰ καὶ ἀναιροῦντες.

10. ἀνθίστασιν Ox. 12. ὅτι dele. 13. αὐτῶν Ox. 19. διῃρημένη Ch., διειρημένη Ox. 20. Ἀντιφάντην] Ἀντιφάτην: monuit Bentl. p. 73.

Palladium daretur. Ajax itaque Ulissi, Agamemnoni, ac Diomedi offensus, in tentorium suum se recepit: ubi per noctem gladio occisus est; invento ibi luce proxima cadavere. Ajacis itaque Pyrrhique exercitus adversus Ulissem insurgebant, eum interfecturi. Verum is, diductis navibus suis, fugaque sibi consulens, in mare Ponticum cursum dirigit: ubi per aliquod tempus commoratus, in patriam deinde suam urbemque Ithacam cum classe et exercitu redire, in animo habuit. Per Maronidem vero regionem iter facienti, restiterunt incolae: quos vicissim impetens Ulisses, devicit, atque opum multarum dominus evasit: spemque concipiens, quamcumque regionem appulerit, obvios quosque se debellaturum, divitiasque ipsorum deportaturum, cum Lotophagis quoque, in quorum regionem incidit, proelia commisit. Sed ab iis devictus, cum non multum aberat, quin copiae ejus ad unum omnes exciderentur, fugam capessit, et longa demum navigatione fractus Sicilam insulam, quae nunc Sicilia vocatur, appulit. Amplissima erat haec insula, quam inter se divisam tres fratres occuparunt, Cyclops, Antiphantes, et Polyphemus; qui Sicani, insulae istius regis, filii, potentes fuerunt, et magni nominis viri, quique res suas curarunt mutuo. Erant autem tres hi moribus efferis; nec peregrinis excipiendis, quin ipsis potius occidendis de-

*καὶ καταντήσας σὺν ταῖς ναυσὶν αὐτοῦ καὶ τῷ στρατῷ ὁ Ὀδυσ-
σεὺς εἰς τὸ διαφέρον μέρος τῷ Ἀντιφάντῃ συνέβαλε πόλεμον μετὰ
τοῦ Ἀντιφάντου καὶ τοῦ στρατοῦ αὐτοῦ τῶν λεγομένων Λαι-
στρυγόνων. καὶ κτείνουσιν ἱκανοὺς ἐκ τοῦ στρατοῦ τοῦ Ὀδυσ-* V 43
*σέως· καὶ λαβὼν τὰς ἑαυτοῦ ναῦς ἀποπλεύσας ἔφυγεν ἐκεῖθεν εἰς
ἄλλο μέρος τῆς νήσου, τὸ διαφέρον τῷ Κύκλωπι, ἔνθα τὰ Κυ-
κλώπια λέγεται ὄρη. καὶ γνοὺς τοῦτο ὁ Κύκλωψ ἦλθε κατ' αὐ-
τοῦ μετὰ τῆς ἰδίας βοηθείας· ἦν δὲ μέγας τοῖς σώμασι καὶ δυσ-
ειδής· καὶ ἐπελθὼν ἄφνω τῷ Ὀδυσσεῖ παραβαλόντι ἐπὶ τὴν δια-
φέρουσαν αὐτῷ γῆν κατέκοψεν αὐτοῦ πολλούς, καὶ συλλαβόμενος
τὸν Ὀδυσσέα καί τινας τοῦ στρατοῦ αὐτοῦ ὁ Κύκλωψ, λαβὼν
ἕνα τῶν ἅμα αὐτῷ συλληφθέντων ὀνόματι Μικκαλίωνα, ἄνδρα
γενναῖον καὶ ἀριστεύσαντα ἐν τῇ Τροίῃ καὶ ὄντα ἡγούμενον τοῦ
στρατοῦ τοῦ Ὀδυσσέως, ὅντινα κρατήσας τῆς κόμης τῆς κεφα-
λῆς ἐπ' ὄψεσι τοῦ Ὀδυσσέως καὶ πάντων τῶν μετ' αὐτοῦ ᾧ ἐβά-* B
*σταζε ξίφει ἀνεντέρισεν, ὡς μαχησάμενον αὐτῷ. τοὺς δὲ λοι-
ποὺς ἀπέκλεισε, βουλόμενος κατὰ μέρος τοὺς πάντας φονεῦσαι.
ὁ δὲ Ὀδυσσεὺς προσπεσὼν αὐτῷ ἔπεισεν αὐτὸν διὰ χρημάτων* O 147
*πολλῶν καὶ ξενίων ἀπολῦσαι αὐτὸν καὶ τοὺς ὑπολειφθέντας αὐτῷ
ἄνδρας. πεισθεὶς δὲ μόλις ὁ Κύκλωψ διὰ τῆς τῶν χρημάτων δό-
σεως, ἐπηγγείλατο περὶ ἑσπέραν ἀπολύειν αὐτόν· καὶ αὐτὸς βου-
λόμενος ἐν τῇ νυκτὶ αὐτῇ ἀπελθεῖν καὶ φονεῦσαι αὐτὸν καὶ τοὺς
αὐτοῦ καὶ ἀφελέσθαι πάντα ὃν ἐπιφέρεται πλοῦτον καὶ τὰς ναῦς*

3. *Λεστρυγόνων* Ox. Correxit Ch. 6. Malim *Κυκλώπεια.*

ditissimi. Ulisses autem, cum classe et exercitu appropinquans, in eam insulae partem incidit, quae Antiphanti paruit; quocum et Lestrigonibus ejus proelio commisso, cum complures ex suis excisos vidisset Ulisses, navibus conscensis inde fugam capessit, aliam insulae partem adorturus; eam scilicet, quae Cyclopi subjecta, montes habet Cyclopios dictos. Hoc ubi audisset Cyclops, copiis collectis in illum profectus est: (Erat autem corporis mole praegrandi et vultu deformi:) Ulissem vero ditionibus suis incubantem, ex improviso aggressus, exercitum ejus late prosternit, Ulissemque ipsum et alios ex exercitu ejus nonnullos manu cepit. Inter quos Miccalion erat quidam, generosi vir animi; quique strenuum sese ducem ad Trojam praestiterat. Hunc Cyclops, capillitio arreptum, Ulissis, omniumque sociorum in conspectu, gladio suo exenteravit, ut qui ausus est in Cyclopem arma movere. Reliquos autem custodiae mandavit, quos singillatim conficere in animo habuit. Ulisses vero procidens ei ad pedes rogavit supplex, uti se residuumque sibi exercitum, pretio magno, muneribusque interpositis, missos faceret. Sed vix eo ita adductus Cyclops, dimissionem promittebat, ubi advesperasceret: fidemque suam liberavit; animo tamen egrediendi per noctem intempestam, ut Ulisse, sociisque occisis, opum quodcunque attulerat cum navi-

αὐτοῦ, περὶ ἑσπέραν ἀπέλυσεν αὐτὸν καὶ τοὺς μετ' αὐτοῦ. ἣ μό-
νον δὲ ἀπελύθη Ὀδυσσεύς, δειλιῶν τὴν τοῦ ἀνδρὸς ὠμότητα εὐ-
C *θέως ἀπέπλευσεν ἐκ τῶν μερῶν αὐτοῦ. ἐπιῤῥίψας δὲ νυκτὸς ὁ*
Κύκλωψ καὶ μὴ εὑρηκὼς τὰ πλοῖα, ἐκ τῆς μανίας εἰς τὴν θάλασ-
σαν ῥίπτεσθαι λίθους ἐκέλευσε, μήπως ἔνδον τῆς γῆς ἐμεθώρμη-
σαν. νυκτὸς δὲ βαθείας οὔσης καὶ σκότους καλύπτοντος τὴν
γῆν καὶ τὴν θάλασσαν, ἀγνοοῦντες δὲ καὶ τοὺς αὐτοὺς τόπους,
παρέβαλον εἰς ἄλλα μέρη τῆς νήσου, διαφέροντα τῷ Πολυφήμῳ,
ἀδελφῷ τοῦ Κύκλωπος καὶ τοῦ Ἀντιφάντου. ὅστις Πολύφημος
μαθὼν ὅτι τινὲς κατέπλευσαν νυκτὸς καὶ παρέβαλον εἰς τὴν δια-
φέρουσαν αὐτῷ χώραν, εὐθέως λαβὼν τὴν ἑαυτοῦ βοήθειαν, ἐλ-
θὼν κατὰ τοῦ Ὀδυσσέως συνέβαλεν αὐτῷ πόλεμον. καὶ πᾶσαν
τὴν νύκτα ἐπολέμουν, καὶ ἔπεσον ἀπὸ τοῦ Ὀδυσσέως πολλοί.
D *πρωίας δὲ γενομένης προσήγαγεν ὁ Ὀδυσσεὺς καὶ τῷ Πολυφήμῳ*
O 148 *ξένια καὶ προσέπεσεν αὐτῷ, εἰπὼν ὅτι ἀπὸ τῶν Τρωικῶν τόπων*
ἐλήλυθε πεπλανημένος ἀπὸ πολλῆς κυμάτων ἀνάγκης, ἀπαριθμή-
σας αὐτῷ καὶ τὰς συμβάσας αὐτῷ κατὰ θάλασσαν διαφόρους
συμφοράς. ὅστις Πολύφημος συμπαθήσας αὐτῷ ἠλέησεν αὐτόν,
καὶ ὑπεδέξατο αὐτὸν καὶ τοὺς αὐτοῦ, ἕως οὗ ἐγένετο ἐπιτήδειος
ὁ πλοῦς. ἡ δὲ θυγάτηρ τοῦ Πολυφήμου ὀνόματι Ἔλπη ἐρω-
τικῶς διετέθη πρός τινα εὐπρεπῆ ἄνδρα τῶν μετὰ τοῦ Ὀδυσσέως
ὀνόματι Λεΐωνα· καὶ ἐπιτηδείου ἀνέμου πνεύσαντος ταύτην
ἀφαρπάσαντες ἐξώρμησαν ἐκ τῆς Σικελίας νήσου. ἅτινα ὁ σο-

1. ***μόνον*** **Ch.,** ***μένον*** **Ox.** 2. ***δειλυῶν*** **Ox.,** ***δειλιῶν*** **Ch.**

bus diriperet. Ulisses autem quamprimum liberatus est, a tam truculento homine misere sibi metuens, exinde solvens, ab oris ejus statim discessit. Cyclops vero per noctem adorturus eos, ubi evasisse naves percepisset, in furorem adactus, saxa in mare praecipitari jussit, ne forte interius alicubi stationem alteram occupassent. Nox autem erat intempesta, terraque tenebris involuta erat, cum Ulisses sociique, locorum imperiti, in alteram illam insulae partem, quae Polyphemi erat, Cyclopis et Antiphantis fratris, inciderunt. Polyphemus, audito ad terram suam nonnullos per noctem appulisse; collectis viribus suis, Ulissem aggressus est, praelioque inter eos per totam noctem commisso, ex Ulisseis ceciderunt quamplurimi. Mane autem facto, Ulisses etiam Polyphemo dona obtulit; procidensque ei ad pedes, Ego, inquit, Trojanis ab oris, ultima maris discrimina expertus, huc in partes vestras errabundus adveni: simulque enumeratis quae sustinuerat periculis, Polyphemum ita delinibat, ut misertus ejus Ulissem sociosque hospitio exceperit; usque dum navigandi tempestas idonea instaret. At vero Polyphemi filia, Elpe dicta, Lionem quendam ex Ulissis sociis, virum formosum, adamavit. Secundos itaque nacti ventos, abrepta ea, inde ex Sicilia solverunt: uti haec sapientissi-

φώτατος Σίσυφος ὁ Κῷος ἐξέθετο. ὁ γὰρ σοφὸς Εὐριπίδης
δρᾶμα ἐξέθετο περὶ τοῦ Κύκλωπος ὅτι τρεῖς εἶχεν ὀφθαλμούς, E
σημαίνων τοὺς τρεῖς ἀδελφούς, ὡς συμπαθοῦντας ἀλλήλοις καὶ
διαβλεπομένους τοὺς ἀλλήλων τόπους τῆς νήσου καὶ συμμαχοῦν-
τας καὶ ἐκδικοῦντας ἀλλήλους, καὶ ὅτι οἴνῳ μεθύσας τὸν Κύ-
κλωπα ἐκφυγεῖν ἠδυνήθη, διότι χρήμασι πολλοῖς καὶ δώροις ἐμέ-
θυσε τὸν αὐτὸν Κύκλωπα ὁ Ὀδυσσεὺς πρὸς τὸ μὴ κατεσθίειν
τοὺς μετ' αὐτοῦ, καὶ ὅτι λαβὼν Ὀδυσσεὺς λαμπάδα πυρὸς ἐτύ-
φλωσε τὸν ὀφθαλμὸν αὐτοῦ τὸν ἕνα, διότι τὴν θυγατέρα τὴν V 49
μονογενῆ τοῦ ἀδελφοῦ αὐτοῦ Πολυφήμου, Ἔλπην, παρθένον
οὖσαν, λαμπάδι πυρὸς ἐρωτικοῦ καυθεῖσαν, ἥρπασε, τοῦτ' ἐστὶν O 149
ἕνα τῶν ὀφθαλμῶν τοῦ Κύκλωπος ἐφλόγισε, τὸν Πολύφημον, τὴν
αὐτοῦ θυγατέρα ἀφελόμενος. ἥντινα ἑρμηνείαν ὁ σοφώτατος
Φειδίας ὁ Κορίνθιος ἐξέθετο, εἰρηκὼς ὅτι ὁ σοφὸς Εὐριπίδης
ποιητικῶς πάντα μετέφρασε, μὴ συμφωνήσας τῷ σοφωτάτῳ
Ὁμήρῳ ἐκθεμένῳ τὴν Ὀδυσσέως πλάνην.

Ὁ δὲ Ὀδυσσεὺς ἀπὸ τῆς Σικελίας ἦλθεν εἰς τὰς Αἰολίας νή-
σους· καὶ ἐδεξιώθη παρὰ τοῦ Αἰόλου, βασιλέως τῶν νήσων.
ὅστις μέλλων τελευτᾶν διένειμε τὰς δύο νήσους ταῖς θυγατράσιν
αὐτοῦ, καὶ ἦσαν βασιλίδες τῶν δύο νήσων. ἡ δὲ Κίρκη ὑπῆρ- B
χεν ἱέρεια Ἡλίου, δοθεῖσα ὑπὸ τοῦ ἰδίου πατρὸς ἐκ νηπιόθεν ἀνα-
τραφῆναι εἰς τὸ ἱερὸν ἐν τῇ νήσῳ τῇ λεγομένῃ Αἰαίᾳ· ἥτις αὐ-

4. διαβλεπομένους Ch., διαβλεπομένων Ox. 11. λαμπάδι] λαμπάδα Ox. 18. Αἰώλου Ox. 22. Ἐέᾳ Ox.

mus Sisyphus Cous scripta reliquit. Sapiens enim Euripides, in Dramate suo de Cyclope, fabulatur, tres eum oculos habuisse: nempe sic innuens nobis tres fratres illos; qui sui curam invicem habentes, singuli quae omnium esset in insula prospexerint, singulorum omnes vel in suppetias, vel vindictam paratissimi. Fabulatur idem, Ulissem, inebriato Cyclope, sic e manibus ejus evasisse: nempe inebriavit eum Ulisses ingenti pecuniarum pondere donisque; ne se sociosque absumeret. Idem autor est, Ulissem stipite praeusto oculum unicum Cyclopi eruisse: nempe quod fratris Polyphemi filiam virginem, quam unicam habuit, Cupidineis accensam flammis, abripuerit: ob hanc causam, unum Cyclopi (Polyphemo scilicet,) ex oculis extinxisse dicitur, uti haec enarravit sapientissimus Phidias Corinthius: qui semper etiam addit, Euripidem haec omnia Poëtice tradidisse, nec eadem de Ulissis erroribus, ac sapientissimus Homerus, perhibuisse.

Ulisses vero, a Sicilia solvens, ad Aeolias pervenit insulas: quarum Rex, Aeolus, hospitio eum excepit. Hic vero moriturus, insulas illas duas filiabus suis distribuit, quae Reginae illis imperitabant. Erat autem Circe solis sacerdos; quam pater Aeolus a teneris annis Deo sacraverat, in templo ejus, ad Eeam quod erat insulam, enutriendam: ubi adolescen-

ξηθεῖσα ἐγένετο μυστικὴ μάγος· ἦν δὲ εὐπρεπὴς πάνυ. ἡ δὲ
ταύτης ἀδελφὴ Καλυψώ, διαφθονουμένη αὐτῇ, ἔχθραν εἶχε
O 150 πρὸς αὐτὴν μεγάλην, λέγουσα, φησί, Διὰ τί ἀρνεῖται τὸν ἴδιον
πατέρα τὸν Ἄτλαντα καὶ λέγει ἑαυτὴν θυγατέρα Τιτᾶνος Ἡλίου;
καὶ ἐφοβεῖτο αὐτὴν ἡ Κίρκη, ἐπειδὴ ἡ Καλυψὼ εἶχε πλῆθος ἀν-
δρῶν γενναίων ἐν τῇ ἰδίᾳ αὐτῆς νήσῳ, μήποτε ὀργιζομένη ἐπέλ-
θοι καὶ κακῶς αὐτῇ χρήσεται. λοιπὸν ἡ Κίρκη, ὡς μὴ δυνα-
μένη τινὰς προτρέψασθαι εἰς συμμαχίαν καὶ παραφυλακὴν ἑαυ-
C τῆς, κατασκευάσασα διὰ βοτανῶν τινων φάρμακον, τοὺς πα-
ριόντας, φησί, ξένους ἐδεξιοῦτο καὶ διὰ ποτοῦ δόσεως ὑποταγὴν
φίλτρου δεινοῦ καὶ παραμονῆς καὶ λήθης πατρίδος ἰδίας τοὺς πί-
νοντας ξένους ἐποίει συνεῖναι αὐτῇ· καὶ πάντες αὐτῇ εἰς ὑπερβο-
λὴν παρέμενον εἰς τὴν αὐτὴν νῆσον ληθαργοῦντες τῆς ἑαυτῶν πα-
τρίδος, καὶ συνῆγε πολλούς. μαθοῦσα δὲ ἡ Κίρκη τὰ πλοῖα
τοῦ Ὀδυσσέως ἐν τῇ αὐτῆς νήσῳ καταντῆσαι, ἐκέλευσε καὶ τοὺς
ἰδίους δεξιώσασθαι σπουδαίως τὸν Ὀδυσσέα καὶ τὸν αὐτοῦ στρα-
τόν· ἠβούλετο γὰρ ἔχειν αὐτὸν καὶ τοὺς αὐτοῦ ὡς πολεμικοὺς
εἰς συμμαχίαν ἑαυτῆς. ὁ δὲ Ὀδυσσεὺς ᾗ μόνον παρέβαλεν ἐν τῇ
αὐτῆς νήσῳ, εἶδε πολλοὺς ἄνδρας ἐν τῇ αὐτῇ νήσῳ ἀπὸ διαφό-
D ρων πατρίδων· ἐπιγνοὺς δέ τινας ἄνδρας ἐκ τοῦ Ἀχαϊκοῦ ὄντας
O 151 στρατοῦ, πρὸς αὐτὸν ἐληλυθότας ἐπηρώτησεν αὐτοὺς λέγων, Τί-
νος χάριν ἐν τῇ νήσῳ ταύτῃ οἰκεῖτε; οἱ δὲ εἶπον αὐτῷ ὅτι Ἐκ τοῦ

8. παρὰ φυλακὴν Ox. 13. παρέμεινον Ox. 18. παρέλαβεν Ox.

tior facta, mysticam Hierophantam profecit, egregiae formae virgo. Huic vero soror Calypso infensissima erat, odioque summo eam prosecuta est: Quare, (inquiens) Atlantem patrem suum abnuens, Titanis solis scilicet filiam se venditat? Metuebat igitur Circe a Calypsone sorore ne quando ab ea, ad iram commota, (ingens enim ei praesto erat in insula sua virorum strenuorum multitudo,) impetita, pessime haberetur. Itaque cavens sibi Circe, cum non aliter auxiliarios sibi custodesque adsciscere potuisset, extractis herbarum quarundam viribus, Philtrum sibi potentissimum vi venefica paravit; cujus magisterium esset, ut haustu sumentibus patriae suae oblivionem et commorandi illic desiderium una incuteret. Pharmacum istud ubi eo convenientibus, quos plurimos hospitio excepit, advenis propinandum dedisset; patriae suae quisque oblitus, in insula hac exinde commorati sunt: Hoc igitur usa artificio, mulier quam multos ad se pellexit. Ubi vero inaudisset, Ulissis naves ad insulam suam appulisse; in mandata suis dedit, uti ipsum exercitumque ejus honorifice tractarent. Ulissem enim sociosque, ut qui viri essent bellicosi, in societatem suam adsciscere cupiebat. Ulisses vero, ubi primum ad Circes insulam appulit, multos ibi vidit, diversarum gentium, homines peregrinos: quorum nonnullos, qui ex Graecorum exercitu fuerunt, recognoscens sibi appropinquantes; Quid (inquit) vobis in causa esset, ut sedes vestras in hac insula poneretis? Tum illi: Nos, inquiunt, ex Grae-

Ἀχαϊκοῦ ὑπάρχομεν στρατοῦ, καὶ θαλαττίων κυμάτων βίᾳ προσεπελάσαμεν τῇ νήσῳ ταύτῃ, καὶ πόμα λαβόντες μαγικὸν ὑπὸ τῆς βασιλίδος Κίρκης, ἔρωτι δεινῷ βληθέντες εἰς αὐτὴν ταύτην ἔχομεν νῦν πατρίδα, ἐξειπόντες καὶ ἄλλα τινά. καὶ ταῦτα ἀκηκοὼς ὁ Ὀδυσσεύς, συνάξας πάντας τοὺς ἰδίους αὐτοῦ ἐκέλευσεν αὐτοὺς μηδενὸς μετασχεῖν τῶν ἐπιδιδομένων αὐτοῖς παρὰ τῆς Κίρκης εἴτε βρωμάτων εἴτε πομάτων διὰ τὸ μαγγανείαν τινὰ ἔχειν αὐτά, ἀλλὰ ἐκ τῆς παρασχεθείσης αὐτῷ ἐκ τοῦ Αἰόλου βασιλέως σιταρχίας E
καὶ τῶν πρῴην ὄντων ἀποθέτων ἐν τοῖς πλοίοις βρωμάτων τε καὶ πομάτων ἐξ αὐτῶν μεταλαμβάνειν. τῆς δὲ Κίρκης προσενεγκούσης αὐτῷ καὶ τῷ στρατῷ αὐτοῦ καὶ τοῖς ναύταις τροφὰς βρωμάτων καὶ πομάτων, οὐκ ἐδέξαντο παρ' αὐτῆς τὸ παράπαν. καὶ μαθοῦσα τοῦτο ἡ Κίρκη ὑπέλαβεν εἰδέναι τὸν Ὀδυσσέα τινὰς μυστικὰς μαγείας καὶ προγνόντα αὐτῆς τὰ βουλεύματα, καὶ πέμψασα μετεστείλατο αὐτὸν ἐν τῷ ἱερῷ· καὶ ἦλθε πρὸς αὐτὴν με- V 50
τὰ ὁπλικῆς βοηθείας καὶ ἀπονοίας Ἀχαϊκῆς, ἀγαγὼν αὐτῇ δῶρα Τρωικά. ἡ δὲ ἑωρακυῖα αὐτὸν καὶ τοὺς μετ' αὐτοῦ, ᾔτησεν αὐτὸν προσμεῖναι τῇ νήσῳ, ἄχρις οὗ διέλθῃ ὁ τοῦ χειμῶνος καιρός, O 152
δεδωκυῖα αὐτῷ ἐν τῷ ἱερῷ ὅρκους μηδὲν ποιεῖν εἰς βλάβην αὐτοῦ ἤ τινος τῶν ἅμα αὐτῷ. καὶ πεισθεὶς ὁ Ὀδυσσεὺς διέτριψε μετ' αὐτῆς ὀλίγον καιρόν, συμμιγεὶς αὐτῇ πρὸς γάμον, ἐκείνης βουληθείσης· περὶ ἧς Κίρκης ἐξέθεντο ταῦτα οἱ σοφώτατοι Σίσυφος Κῷος καὶ Δίκτυς ἐκ τῆς Κρήτης. ὁ δὲ σοφώτατος Ὅμηρος ποιη-

8. *Αἰώλου* Ox. 16. *ὁπλιτικῆς*?

corum sumus exercitu: verum tumultuosis undarum procellis jactati, insulam hanc appulimus; ubi ex haustu quodam magico, quem Regina Circe nobis propinandum dedit, incredibili ejus amore correpti, insulam hanc nunc habemus patriam. Haec atque alia retulerunt: quibus auditis, Ulisses, convocatis ad se suis omnibus, in mandata illis dedit; ut de eo quod supererat annonae, quam Rex Aeolus illis suppeditaverat; commeatuque, quem navigiis olim reposuerant, quisque sibi, ubi opus fuerit, sumeret in victum: de iis autem, quae, veneficiis incantata, comedenda illis, vel bibenda Circe traderet, omnino nihil desumerent. Circe vero ubi haec intellexisset, rata Ulissem, artis Magicae non ignarum, consilia sua praesensisse; ad Fanum eum accersendum curavit. Accersitus ille, exercitu suo stipatus, Graecaque sua fretus confidentia, accedit, munera Trojana Reginae adferens. Circe vero, ubi Ulissem sociosque conspexit; rogavit eum, uti insulam hospes teneret, usque dum tempus hibernum praestiterit: interposito etiam ibidem juramento, inviolatum se illum sociosque praestituram. Dictis ejus audiens Ulisses, commorabatur illic per tempus aliquod; Circesque consuetudine (ipsa sic volente,) usus est: uti haec de Circe sapientissimi Sisyphus Cous et Dictys Cretensis, memoriae prodiderunt. Verum sapientissimus Homerus Poëtarum more fabu-

τικῶς ἔφρασεν ὅτι διὰ πόματος μαγικοῦ τοὺς συλλαμβανομένους
πρὸς αὐτὴν ἄνδρας μετεμόρφου, ποιοῦσα τοὺς μὲν λεοντομόρ-
B φους, τοὺς δὲ κυνοκεφάλους, ἄλλους δὲ συομόρφους, ἑτέρους
δὲ ἀρκομόρφους καὶ χοιροκεφάλους. ὁ δὲ προγεγραμμένος σοφὸς
Φειδαλίος ὁ Κορίνθιος ἐξέθετο τὴν ποιητικὴν ταύτην σύνταξιν,
ἑρμηνεύσας οὕτως. ὅτι τῇ Κίρκῃ οὐδὲν ἥρμοζε πρὸς ἣν ἠβού-
λετο ἐπιθυμίαν πολυοχλίαν ποιεῖν τοὺς ἀνθρώπους θηριομόρ-
φους, ἀλλὰ τρόπον σημαίνων ὁ ποιητὴς τῶν ἀντερώντων ἀν-
δρῶν, ὅτι ὡς θηρία ἐποίει αὐτοὺς ἐκεῖ ἡ Κίρκη βρύχειν καὶ μαί-
νεσθαι καὶ λυσσᾶν ἐκ πόθου, καθὼς ἐκέλευσεν ἡ Κίρκη. φυ-
σικὸν γὰρ τῶν ἐρώντων ἀντέχεσθαι τῆς ἐρωμένης καὶ ὑπεραπο-
θνήσκειν· τοιοῦτοι γὰρ ὑπάρχουσιν οἱ ἐρῶντες. ἐκ γὰρ τῆς ἐπι-
O 153 θυμίας ἀποθηριοῦνται, μηδὲν ἔμφρενον λογιζόμενοι, ἀλλὰ ἀλ-
C λοιούμενοι τὰς μορφὰς καὶ τῷ σώματι ὡς θηριόμορφοι γίνονται
καὶ τῇ θέᾳ καὶ τοῖς τρόποις, ἐπερχόμενοι τοῖς ἀντερασταῖς· φυ-
σικὸν γὰρ τοὺς ἀντεραστὰς ὁρᾶν ἀλλήλους ὡς θηρία καὶ πρὸς ἀλ-
λήλους ἐπερχομένους ἄχρις φόνου. οἳ καὶ διαφόρως ἔχουσι πρὸς
τοὺς τῆς τοιαύτης ἐπιθυμίας τρόπους· οἱ μὲν γὰρ ὡς κύνες ἐπέρ-
χονται τῇ μίξει, πολλὰ συμμιγνύμενοι, οἱ δὲ ὡς λέοντες τὴν
ὁρμὴν καὶ μόνην τὴν ἐπιθυμίαν ζητοῦσιν, ἄλλοι δὲ ὡς ἄρκτοι

2. μετεμόρφου] μετεμορφοῖ Ox. 5. Φειδαλίος ὁ Κορίνθιος] „Φειδίας supra dictus est.“ Ch. 8. τῶν ἀναιρούντων ἀνδρῶν] „Lego, ἀντερώντων, Rivalium.“ Ch. 11. ἐρώντων Ch., ἐρώτων Ox. 12. ἐρῶντες] ἔρωτες Ox. 13. ἔμφρενον] ἔνφραινον Ox. 17. διαφόρους ἔχουσι] „Forte legendum, διαφόρως ἔχουσι.“ Ch.

latur, Circem, poculi Magici haustu, concurrentes illuc advenas transformasse; Leonum aliis, aliis canum, eis vero suum, illis ursorum, nonnullis etiam porcorum formas, vel capita induentibus. Supradictus autem Phidalius Corinthius, fabulam hanc enarrans; Nequaquam (inquit) illud Circi in libidinem suam cessisset, si concursitantes hominum turbas in belluas mutasset: sed amoris insania correptos homines Poeta indigitabat; quos belluarum more frendentes, pro libitu suo Circe furiis agitavit, ob desiderium ipsius in rabiem efferatos. Ejusmodi enim Amor habet impetum naturalem, ut in rem desideratam, morte etiam spreta, praeceps involet. Quippe Cupidinis ex vi, quasi in Bruta migrant homines, nihil rationi consentaneum agitantes; sed humanam exuti speciem, corpora, formas, et mores etiam belluinos prae se ferunt, dum proci mulieribus inhiant. Illud etiam a Natura est, ut Rivales belluino impetu in se invicem ferantur, ad exitium usque se invicem impetentes. Verum cupiditatibus hisce non uno modo se habent, lascivientes: alii enim, canum more, frequentius coeunt: alii, leones quod solent, ipsum praesentis pruritus impetum solummodo explere sibi quaerunt: alii denique, sicut ursi,

μιαρῶς κέχρηνται τῇ συνουσίᾳ. καὶ μᾶλλον σαφέστερον οὗτος καὶ ἀληθινώτερον ἡρμήνευσεν ἐν τῇ ἰδίᾳ ἐκθέσει.

*Ἀπὸ δὲ τῆς νήσου τῆς Κίρκης ἐξορμήσας ὁ Ὀδυσσεὺς ἀνή-
χθη εἰς τὴν ἄλλην νῆσον, ὑπὸ ἀνέμων ἐναντίων ἐκριφείς· ὄντι-* D
*να ἐδέξατο καὶ ἡ Καλυψώ, ἡ ἀδελφὴ τῆς Κίρκης, καὶ πολλῆς θεραπείας ἠξίωσεν αὐτόν, συμμιγεῖσα αὐτῷ καὶ πρὸς γάμον. κἀκεῖθεν ἀνήχθη, ἔνθα λίμνη ὑπῆρχε μεγάλη πλησίον τῆς θα-
λάσσης, λεγομένη ἡ Νεκυόπομπος, καὶ οἱ οἰκοῦντες ἐν αὐτῇ ἄν-* O 154
*δρες μάντεις· οἵτινες ἐξεῖπον αὐτῷ πάντα τὰ συμβάντα αὐτῷ καὶ τὰ μέλλοντα. καὶ ἀναχθεὶς ἐκεῖθεν χειμῶνος μεγάλου γενομένου θαλάσσης ἐκρίπτεται εἰς τὰς Σερενίδας οὕτω καλουμένας πέτρας, αἳ ἐκ τῶν κρουσμάτων τῶν κυμάτων ἦχος ἀποτελοῦσιν ἴδιον. κἀκεῖθεν ἐξειλήσας ἦλθεν εἰς τὴν καλουμένην Χάρυβδιν, εἰς τόπους ἀγρίους καὶ ἀποτόμους· κἀκεῖ πάσας τὰς ὑπολειφθεί-
σας αὐτῷ ναῦς καὶ τὸν στρατὸν ἀπώλεσεν, αὐτὸς δὲ ὁ Ὀδυσσεὺς* E
*μόνος ἐν σανίδι τοῦ πλοίου ἐν τῷ πελάγει ἐφέρετο, ἀναμένων τὸν μετὰ βίας θάνατον. τοῦτον δὲ ἑωρακότες τινὲς ἀποπλέοντες ναῦται Φοίνικες νηχόμενον ἐν τοῖς ὕδασιν ἐλεήσαντες διέσωσαν, καὶ ἤγαγον αὐτὸν ἐν τῇ Κρήτῃ νήσῳ πρὸς τὸν Ἰδομενέα, ἔξαρχον Ἑλλήνων. καὶ ἑωρακὼς τὸν Ὀδυσσέα ὁ Ἰδομενεὺς γυμνὸν καὶ δεόμενον, συμπαθῶς φερόμενος, δῶρα αὐτῷ πλεῖστα δεδω-
κὼς σὺν στρατῷ καὶ στρατηγῷ αὐτοῦ καὶ δύο νῆας καὶ δια-* V 51

2. 3. *ἀληθινότερον ἑρμήνευσεν — ἐξωρμήσας* Ox. Correxit Ch.
11. *εἰς τὰς Σερενίδας*] „*Σειρῆνας* vocant Cedrenus et Isac. Tzetzes." Ch.

turpiter coeunt, conspurcantes sese: uti haec pluribus enarravit, juxta rei veritatem, Auctor iste, in scriptis suis.

Ulisses vero a Circis insula solvens, adverso mari jactatus, in insulam illam alteram delatus est: ubi a Calypsone, Circis sorore, honorifice exceptus, consuetudinem etiam cum ea habuit. Delatus inde, ad stagnum ingens, Necyopompum vocatum, prope mare situm, pervenit. Hujus incolae, qui vaticiniis praecellebant, omnia quae ei acciderant, quaeque eventura erant aperuerunt. Inde solvens, saeviori maris impetu agitatus, ad Serenidas quas vocant rupes ferebatur: quae fluctuum ex allisione, sonitum quendam peculiarem efficiunt. Has cum evasisset, ad Charybdin quem vocant sinum delatus, incidit ibi in loca praerupta et scopulis aspera: ubi residuis navibus exercituque in mari demersis, solus ipse navis tabulae insidens, pelago fluctuabat, mortem miseram nunquam non expectans. Verum praeternavigantes illac Phoenices, videntes illum marinis undis fluctuantem, misericordia moti, fluctibus eripuerunt: et in Cretam insulam adductum, Idomeneo, Graecorum ex ducibus, tradiderunt. Idomeneus ubi Ulissem conspexit, nudum atque indigum; summopere misertus ejus, muneribus abunde donatum, Duce etiam exercitu-

O 155 *σώζοντας αὐτόν τινας, ἐξέπεμψεν αὐτὸν εἰς Ἰθάκην. ἅτινα καὶ
ὁ σοφὸς Δίκτυς παρὰ τοῦ Ὀδυσσέως ἀκηκοὼς συνεγράψατο.*

*Ὁμοίως δὲ καὶ ὁ Διομήδης λαβὼν τὸ Παλλάδιον ἐξώρμησεν
ἀπὸ τῆς Τροίας εἰς τὴν ἰδίαν πατρίδα.*

*Ὁ δὲ Ἀγαμέμνων ἔχων τὴν Κασσάνδραν, ἣν ἐπόθει, ἐπέ-
ρασε τὸ τῆς Ῥόδου πέλαγος, βουλόμενος ἐπὶ Μυκηναίων πόλιν
ὁρμῆσαι.*

*Λοιπὸν ὁ Πύῤῥος ἑωρακὼς πάντας ἀποπλεύσαντας, τεφρώ-
σας τὸν Τελαμώνιον Αἴαντα καὶ λαβὼν ἐν ὑδρίᾳ ἔθαψε μετὰ*
B *τιμῆς μεγάλης πλησίον τοῦ τύμβου τοῦ Ἀχιλλέως, τοῦ ἐξαδέλ-
φου αὐτοῦ, πατρὸς δὲ τοῦ Πύῤῥου, εἰς τόπον λεγόμενον Σίγριν.*

*Ὁ δὲ Τεῦκρος, ὁ ἀδελφὸς τοῦ Αἴαντος τοῦ Τελαμωνίου, κα-
τέφθασεν εὐθέως, ἐλθὼν ἀπὸ τῆς Σαλαμῖνος, πόλεως τῆς Κύ-
πρου, πρὸς βοήθειαν τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ εὗρε τὸν Πύῤῥον.
καὶ μεμαθηκὼς παρ' αὐτοῦ τὰ συμβάντα, ἀκούσας δὲ καὶ τὴν
γεναμένην τιμὴν τῶν λειψάνων τοῦ Αἴαντος, ἐπαινῶν καὶ ἐπευχό-
μενος τῷ Πύῤῥῳ ἔφη, Οὐδὲν ξένον πεποίηκας· ἐκείνης γὰρ τῆς
Ἀχιλλέως θείας φρενὸς ὑπάρχεις υἱός. λείψανα γὰρ τῶν ἀγαθῶν
ἀνδρῶν ἀφαιρεῖται ὁ χρόνος, ἡ δὲ ἀρετὴ καὶ θανοῦσα λάμπει.*
C
O 156 *καὶ παρακαλεῖ ὁ Πύῤῥος τὸν Τεῦκρον ἅμα αὐτῷ μεταλαβεῖν βρω-
τοῦ καὶ ποτοῦ. καὶ ἐν τῷ συμποσίῳ, ὡς ὄντα ἐκ τοῦ ἰδίου γέ-*

9. *ὑδρίᾳ* Ch., *ὑδρίαν* Ox. 17. *ἐκείνης — φρενός*] Euripides Heraclid. v. 541. *ἀλλ' ἐξ ἐκείνου σπέρμα τῆς θείας φρενὸς πέφυκας Ἡρακλῆος.* 18. *λείψανα*] Euripides Androm. v. 772. *κηρυσσομένοισι δ' ἀπ' ἐσθλῶν δωμάτων τιμὰν καὶ κλέος οὔτοι λείψανα τῶν ἀγαθῶν ἀνδρῶν ἀφαιρεῖται χρόνος, ἁ δ' ἀρετὰ καὶ θανοῦσι λάμπει.* Quae Malalas, cui *λείψανον* est *cadaver*, depravat, dum sibi accommodat. 21. *πότου* Ox.

que et navibus duabus et satellitibus quibusdam instructum, Ithacam demisit: uti haec sapiens Dictys, ab Ulisse ipso edoctus, memoriae mandavit.

Consimiliter etiam Diomedes, accepto secum Palladio, Trojam reliquit, in patriam suam reversurus.

Agamemnon vero Cassandra, quam amabat, potitus, trajecto Rhodiorum pelago, Mycenas suas repetivit.

Pyrrhus autem, ubi caeteros omnes discessisse animadvertit; ipse Ajacis Telamonii cineres in urnam repositos, ad Sigrin quam vocant, prope tumulum Achillis, Pyrrhi patris, Ajacis autem patruelis, honorifice recondidit.

Teucrus autem, Ajacis Telamonii frater, qui ejus in auxilium ex Salamine, Cypri urbe advenerat; in Pyrrhum incidens, edoctusque ab eo de eis quae acciderant; certior etiam factus, quanto ille cum honore Ajacis reliquias terrae mandaverat, laudavit Pyrrhum; et Fausta ei omnia precatus, „Nihil, inquit, non te dignum fecisti; qui divinae illius Achillis Mentis haeres es. Nempe Heroum Reliquias aevum absumit: ast splendet post funera Virtus.“ Tum vero Pyrrhus Teucrum rogavit, uti secum coenaret. Inter coenandum vero eum rogavit Pyrrhus, (cui gene-

νους, τὸν Τεῦκρον ὁ Πύῤῥος ᾔτει διηγεῖσθαι αὐτῷ πάντα ἐξ ἀρχῆς τὰ συμβάντα τῷ αὐτοῦ πατρί, φήσας ἀγνοεῖν τὸ ἀκριβές. ὁ δὲ Τεῦκρος ἤρξατο λέγειν οὕτως.

Ὁ πᾶς αἰὼν οὐκ ἐξαλείψει τὴν Ἀχιλλέως κατὰ Ἕκτορος νίκην· ὃς μαθὼν Ἕκτορα νυκτὸς βουλόμενον ἀπαντῆσαι τῇ βασιλίδι Πενθεσιλείᾳ, προποιήσας λάθρᾳ ἅμα τῷ ἰδίῳ στρατῷ καὶ ἑαυτὸν σὺν αὐτοῖς ἀποκρύψας, τὸν ποταμὸν διαβαίνοντα τὸν Ἕκτορα κτείνει καὶ ἅπαντας τοὺς αὐτῷ ἑπομένους, ἕνα μόνον καταλιπὼν ζῶντα· ὅντινα χειροκοπήσας Πριάμῳ ἔπεμψεν ἀγγελοῦντα D τὸν Ἕκτορος θάνατον. καὶ τὰ συμβάντα μηδενὸς τῶν Ἑλλήνων γνόντος, ἤγαγε τὸ τοῦ Ἕκτορος λείψανον εἰς δάπεδον πρὸ αὔγους· καὶ ἐν δίφρῳ ἀναρτήσας αὐτὸν τοὺς ἵππους ἐλαύνοντος Αὐτομέδοντος σὺν αὐτῷ μαστιγόπληκτον αὐτοῦ τὸ σῶμα ὁ σὸς γενέτης ποιῶν οὐκ ἐπαύετο. ἀκούσας δὲ Πρίαμος τὸν τοῦ Ἕκτορος μόρον, ὠλόλυξε, καὶ πάντες σὺν αὐτῷ· καὶ τοσαύτη βοὴ ἐγένετο ἐκ τοῦ πλήθους τῶν Τρώων, ὥστε καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ ταραχθῆναι. καὶ οἱ Ἕλληνες δὲ χαίροντες ἀντεβόησαν ὁμοίως· καὶ κλείονται αἱ πύλαι τοῦ Ἰλίου. ὁ σὸς γενέτης ἐπετέλεσεν ἀγῶνος ἑορτὴν τοῖς βασιλεῦσι καὶ πᾶσι, πολλὰ φιλοτιμησάμενος. τῇ δὲ ἑξῆς ἡμέρᾳ ὁ Πρίαμος πένθιμον φορῶν O 157 σχῆμα, ἄξας μεθ' ἑαυτοῦ Πολυξένην τὴν θυγατέρα αὐτοῦ, παρθένον, E καὶ Ἀνδρομάχην, τὴν Ἕκτορος γυναῖκα, καὶ Ἀστυάνακτα καὶ Λαοδάμαντα, υἱοὺς αὐτοῦ νηπίους, παραγίνεται πρὸς τοὺς

23. *Λαομέδοντα* Cedrenus p. 127. D.

re etiam conjunctus erat,) uti altius ab origine rem repetens, quae patri suo acciderant enarraret omnia; nihil adhuc certi de his accepisse se asserens: His itaque Teucrus exorsus est.

Victoriam illam, quam Achilles de Hectore reportavit, nulla aetas oblivioni datura est: qui ubi audisset, Hectorem de nocte Penthesileae Reginae obviam iturum, praeoccupato ejus itinere, se suosque in insidiis collocavit; Hectoremque, cum suis omnibus, flumen trajicientibus, internecioni dedit; unico dempto, quem stragi superesse voluit, manibus abscissis, Priamo remittendum, cui Hectoris mortem annunciaret. Pater autem tuus ante lucem, Graecis interim quae acciderant omnia nescientibus, Hectoris intermortuum corpus, currui alligatum, et ab equis, quos ipse cum Automedonte agitavit, circumtractum, quam potuit maxime ad terram allisit. Priamus autem audito Hectoris fato, ejulare, cum suis omnibus: tantusque est in Trojano populo clamor editus, Graecis interim triumphum suum clamoribus reciprocis celebrantibus, ut Volucres etiam Coeli consternarentur. Tum vero statim obseratae sunt Ilii portae. Pater autem tuus, instituto certaminis festo, Duces exercitumque totum muneribus plurimis donavit. Priamus autem die sequente, veste indutus lugubri, et assumpta secum filia Polyxena, virgine innupta, et Hectoris uxore Andromache, cum filiolis ejus duobus, Astyanacte et Laodaman-

Ἕλληνας, ἀγαγὼν μεθ' ἑαυτοῦ καὶ κόσμον πολὺν καὶ χρυσὸν καὶ
ἄργυρον καὶ ἐσθῆτα. οὔσης δὲ σιγῆς ἐν τοῖς ἡγεμόσι τῶν Ἑλλή-
νων, πλησίον δὲ αὐτοῦ γενομένου, ἐθαύμαζον πάντες τὴν εὐ-
τολμίαν τοῦ αὐτοῦ Πριάμου, καὶ ἀπαντῶσιν αὐτῷ βουλόμενοι
V 52 μαθεῖν τὴν αἰτίαν τῆς ἀφίξεως. ἑωρακὼς δὲ αὐτοὺς ὁ Πρίαμος,
ἑαυτὸν εἰς τὸ ἔδαφος ῥίψας, κόνιν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ φέρων
καὶ δεόμενος αὐτῶν συνικέτας γενέσθαι πρὸς τὸν Ἀχιλλέα ὑπὲρ
τοῦ σώματος τοῦ Ἕκτορος. οἰκτείρει δὲ αὐτὸν Νέστωρ καὶ Ἰδο-
μενεὺς αὐτῷ γενέσθαι συνικέτας πρὸς τὸν Ἀχιλλέα ὑπὲρ τοῦ σώ-
ματος τοῦ Ἕκτορος, οἵτινες ἐδυσώπησαν τὸν σὸν πατέρα περὶ τοῦ
Πριάμου. καὶ ἐκέλευσεν αὐτὸν εἰσελθεῖν εἰς τὴν σκηνὴν αὐτοῦ·
ὁ δὲ Πρίαμος εἰσελθὼν ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ πλωτὸς ἱκε-
τεύων, ὡσαύτως δὲ καὶ Ἀνδρομάχη σὺν τοῖς παισίν, ἡ δὲ Πο-
O 158 λυξένη περιπλακεῖσα τοῖς ποσὶ τοῦ σοῦ γενέτου περὶ τοῦ αὐτῆς
B ἀδελφοῦ Ἕκτορος, δουλεύειν ἐπαγγειλαμένη καὶ μένειν σὺν αὐτῷ,
εἰ ἀποδῷ τὸν νεκρόν. οἱ δὲ βασιλεῖς τὸ γῆρας αὐτοῦ οἰκτείραντες
παρεκάλουν ὑπὲρ Πριάμου. ὁ δὲ σὸς γενέτης Ἀχιλλεὺς πρὸς αὐ-
τοὺς ἔφη, Κρατεῖν αὐτὸν ἐξ ἀρχῆς ἔδει τῶν παίδων καὶ μὴ συνεξα-
μαρτάνειν· ἀλλ' εἶχεν αὐτὸν ἔρως τῶν ἀλλοτρίων χρημάτων· οὐ
γὰρ Ἑλένης γυναικὸς τὴν ἐπιθυμίαν εἶχεν, ἀλλὰ τῶν Ἀτρέως καὶ
Πέλοπος χρημάτων τὸν πόθον εἶχε. δότε οὖν δίκας ἀνθ' ὧν ἠσε-
βήσατε· σωφρονιζέσθωσαν οὖν δι' ὑμᾶς Ἕλληνες καὶ βάρβαροι.

Οἱ δὲ πείθουσιν αὐτὸν λύτρα λαβόντα τὸν νεκρὸν παραχω-

12. πλωτὸς] πτωτός? 23. Οἱ] Ὁ Ox.

te, Graecos adiit, adferens secum, praeter vestes et Ornamenta, auri quoque et argenti plurimum. Priamo autem appropinquante, silentium derepente Graecorum Ducibus oboriebatur, Priami fiduciam admirantibus. Tum vero obviam ei procedebant, adventus causam sciscitaturi: quos Priamus ubi conspexit, ad terram procidens, pulveremque in capite gestans, obtestabatur eos, uti secum precatores Achillem interpellarent, de Hectoris corpore reddendo. Cujus miserti Nestor et Idomeneus, precibus ejus annuerunt; Achillemque, uti Hectoris corpus redderent, sollicitarunt. Pater vero tuus eorum precibus motus, Priamum in tentorium accersit: ingressus autem Priamus, Achilli supplex ad pedes, una cum Andromache filiisque ejus, procidebat. Polyxena vero patris tui pedes amplexa, ultro spondebat, se, modo fratris corpus redderet, in perpetuum ei subservituram. Tum qui aderant Duces, Priami senectutis miserti, pro eo fiunt supplices. Parens autem tuus; „Oportuerat, inquit, Priamum filios suos maturius coercuisse, neque se sceleris eorum dedisse participem. Verum tenebat eum rerum alienarum Cupido: nec tam Helenam uxorem, quam Pelopis et Atrei divitias appetebat sibi. Male igitur a vobis factorum poenas date; vestroque exemplo habeant haec sibi Graeci Barbarique in documentum.

Duces autem suadebant, uti accepto redemptionis pretio, cadaver

ρῆσαι· ὁ δὲ τὰ τοῦ βίου τερπνὰ ἐννοήσας, τὸν Πρίαμον ἀνίστησι καὶ Πολυξένην καὶ Ἀνδρομάχην, καὶ κελεύει τῷ Πριάμῳ C λούσασθαι καὶ σίτου καὶ οἴνου γεύσασθαι ἅμα αὐτῷ· ἄλλως γὰρ οὐκ ἂν παραχωρήσειεν αὐτῷ τὸν νεκρόν. ὁ δὲ Πρίαμος φόβῳ κατεχόμενος καὶ ἐλπίδι τῶν μελλόντων, ταπεινῶς παραγίνεται ὑπὸ Πολυξένης παρακρατούμενος πρὸς Ἀχιλλέα τὸν σὸν γενέτην καὶ βρωτοῦ καὶ ποτοῦ μετέσχε. καὶ πολλῶν λαληθέντων ἀνέστησαν· καὶ τεθέντων τῶν λύτρων ἐπὶ τῆς γῆς, ἰδὼν ὁ Ἀχιλλεὺς τὸ πλῆθος τῶν δώρων, τόν τε χρυσὸν καὶ τὸν ἄργυρον δέχεται καὶ O 159 ἐκ τοῦ ἱματισμοῦ μέρος, τὰ δὲ λοιπὰ Πολυξένῃ χαρισάμενος ἀπέδωκε τὸν νεκρόν. ὁ δὲ Πρίαμος παρακαλεῖ τὸν Ἀχιλλέα Πολυξένην παρ' αὐτῷ καταλιπεῖν· ὁ δὲ εἶπεν αὐτῷ εἰς τὸ Ἴλιον αὐτὴν ἀγαγεῖν, εἰς ἄλλον καιρὸν τὰ κατ' αὐτὴν ἀναβαλλόμενος. D

Ὁ δὲ Πρίαμος ἀνελθὼν εἰς τὸ ὄχημα, ἔχων τὸ σῶμα τοῦ Ἕκτορος ἅμα τοῖς σὺν αὐτῷ εἰς τὴν πόλιν εἰσῆλθε· καὶ τεφρώσαντες τὸ σῶμα τοῦ Ἕκτορος θάπτουσιν αὐτὸν ἔξω παρὰ τὸ τεῖχος τοῦ Ἰλίου, πενθήσαντες αὐτὸν πικρῶς.

Καὶ ἐν τῷ μεταξὺ παραγίνεται ἡ Πενθεσίλεια ἐκ τῆς ἀντιπέραν Χεῤῥονήσου, πολὺ πλῆθος ἐπαγομένη Ἀμαζόνων καὶ ἀνδρῶν γενναίων. μαθοῦσα δὲ Ἕκτορα ἀναιρεῖσθαι, ὑποστρέφειν ἠπείγετο· Πάρις δὲ τοῦτο μαθών, ἔπεισεν αὐτὴν μένειν, χρυσὸν δοὺς αὐτῇ πολύν. ἀνεθεῖσα δὲ μετὰ τοῦ ἰδίου στρατοῦ, μεθ' ἡμέρας

7. ποτοῦ Ox. 19. Χεῤῥονήσου Ch., Χερονήσου Ox. *ibid.* καὶ Ch., κατ' Ox. 20. ἀναιρεῖσθαι] Immo ἀνῃρῆσθαι.

illis concederet. Hic vero vitae jucunda secum reputans, Priamum, Polyxenam, et Andromachen in pedes erigit; Priamo praeterea mandans, ubi lavasset, uti panem, vinumque apud se sumeret; non aliter ei corpus traditurum se, minatus. Priamus autem, inter spem metumque futuri suspensus; a Polyxena sustentatus, humiliter intravit, cibum et potum cum patre tuo capturus. Ubi multis invicem sermone agitatis, surgebant tandem; redemptionisque pretium in medio positum est. Videns autem Achilles donorum multitudinem, acceptis sibi auro et argento vestibusque aliquot, reliqua Polyxenae, una cum cadavere reddidit. Roganti autem Priamo, uti Polyxenam quoque sibi servaret; Achilles illam in urbem secum deducere jussit Priamum; hac de re cum eo alias acturus.

Priamus itaque currum conscendens, Hectorisque cadaver secum ferens, urbem cum suis repetit: ubi in cineres conversum corpus, juxta Ilii muros extra urbem magno cum luctu, recondiderunt.

Interim vero ex opposito Chersoneso aderat Penthesilea, Amazonum et bellicosorum virorum exercitu numeroso stipata. Certior autem facta de Hectoris morte, in reditum protinus se parat: verum Paris, hoc audito, auro multo eam de instituto suo dimovebat. Illa igitur, cum se

E ὀλίγας ὁπλισαμένη σὺν τῷ πλήθει ἐξέρχεται ἐπὶ τὸ δάπεδον.
διαιρεθέντος δὲ τοῦ στρατοῦ αὐτῆς εἰς δύο μέρη, ἵστανται οἱ
μὲν τοξόται τὸ δεξιὸν λαβόντες μέρος, οἱ δὲ ὁπλῖται πεζοί, πλείω
O 160 τῶν ἱππέων ὄντες, τὸν μέσον ἔχοντες τόπον· ἡ δὲ Πενθεσίλεια
μέσον τῶν ἱππέων ὑπῆρχε σὺν τῷ σίγνῳ. καὶ λοιπὸν οἱ Δαναοὶ
τάξαντες ἑαυτοὺς ἀνθίστανται, τοῖς μὲν τοξόταις ὁ Μενέλαος
κἀγὼ Τεῦκρος καὶ Μηριόνης καὶ Ὀδυσσεύς, τοῖς δὲ ὁπλίταις
V 53 Διομήδης, Ἀγαμέμνων, Τληπόλεμος καὶ Ἰάλμενος καὶ Ἀσκά-
λαφος, τοῖς δὲ ἱππεῦσιν ὁ σὸς γενέτης Ἀχιλλεὺς καὶ οἱ Αἴαντες
οἱ δύο, καὶ ὁ Ἰδομενεὺς δὲ καὶ ὁ Φιλοκτήτης καὶ οἱ λοιποὶ ἡγε-
μόνες ἅμα τοῖς αὐτῶν στρατοῖς. καὶ κτείνω ἐγὼ Τεῦκρος πολὺ
πλῆθος, ὥστε ἐπαινεθῆναί με, ὡς ἀριστεύσαντα, τοὺς δὲ ὁπλί-
τας ἀφανίζουσιν οἱ Αἴαντες, ἐν μέσῳ αὐτῶν εἰσελθόντες. ὁ δὲ
σὸς πατὴρ Ἀχιλλεὺς μεταξὺ αὐτῶν ὑπάρχων, ἀπεβλέπετο τὴν
Πενθεσίλειαν, ζητῶν ἀποκτεῖναι αὐτὴν μαχομένην πικρῶς. καὶ
πλησίον ἵππου αὐτῆς φθάσας, δόρατι κρούσας αὐτὴν ἀπὸ τοῦ
ἵππου καταβάλλει, καὶ ἔτι ζῶσαν αὐτὴν ἕλκει πεσοῦσαν ἐκ τῆς
B κόμης. καὶ ἑωρακότες αὐτὴν πεσοῦσαν οἱ λοιποὶ τοῦ στρατοῦ
αὐτῆς εἰς φυγὴν ἐτράπησαν· τῶν δὲ Τρώων τὰς πύλας κλεισάν-
των διὰ τοὺς φεύγοντας, οἱ Ἕλληνες ἡμεῖς τοὺς περιλειφθέντας

4. τὸ μέσον ἔχοντες τόπον] „Scr. τὸν μέσον ἔχοντες τόπον: sed locum istum aliter mendosum suspicor, et pro, μεσὸν, λαιὸν reponendum censeo, uti habet Cedrenus: διχῇ δὲ τὸν αὐτῆς διελοῦσα στρατὸν, καὶ ἐν δεξιᾷ μὲν αὐτῆς τοὺς τοξότας, τῷ λαιῷ δὲ μέρει τοὺς ὁπλίτας πεζοὺς, πλείους τῶν ἱππέων ὄντας, ἐκτάξασα, ἡ Πενθεσίλεια μέσον τῶν ἱππέων ἦν ἐν τῷ σίγνῳ.“ Ch.

suosque paucos per dies refecisset; copiis tandem suis instructa, in campum progressa est. Diviso autem in partes duas exercitu, sagittarii ad dextram steterunt: pedites autem gravis armaturae, quos Equitibus plures habuit, ad laevum collocavit; equitibus in medio positis: inter quos ipsa, cum signo, constitit. Acies vero Graecorum ita ordinata est, ut sagittariis hostium Ego Teucrus, Menelaus, Meriones, Ulisses; gravis autem armaturae peditibus, Diomedes, Agamemnon, Tlepolemus, Jalmenus, et Ascalaphus opponeremur: Equitibus vero pater tuus Achilles, Ajax uterque, Idomeneus, Philoctetes, caeterique Duces cum suis pugnam dederunt. Et quidem Ego Teucrus plurimos interfeci, adeo ut strenuum me virum omnes perhibuerint. Gravis autem armaturae milites Ajaces, medii in eos irrumpentes, profligarunt. Pater autem tuus, medius inter eos, Reginae ipsi invigilans, occasionem venabatur, quomodo eam, acriter sane pugnantem, e medio tolleret. Itaque propius ei accedens, hasta eam impetebat; et ex equo deturbatam, dum in casu erat, coma arreptam distrahebat. Cadentem vero eam videntes reliqui ex exercitu ejus, fugam omnes capessebant. Cumque urbis portae a Trojanis obseratae fuissent, uti omnem aufugiendi spem suis adimerent; nos, hostium

ἐπιδιώξαντες παρὰ τὸ τεῖχος κτείνομεν, ἀποσχόμενοι τῶν γυναικῶν Ἀμαζόνων, ἅστινας ὁ στρατὸς ἅπας δεσμεύσας ἐμερίσατο. O 161 τῆς δὲ Πενθεσιλείας ἔτι ἐμπνεούσης βουλὴ ἡμῖν ἐνέστη ὥστε ζῶσαν εἰς τὸν ποταμὸν ῥιφῆναι ἢ κυσὶν εἰς βρῶσιν παραδοθῆναι· ὁ δὲ Ἀχιλλεὺς ᾔτει ἡμᾶς θανοῦσαν ταφῆναι· καὶ γνόντα τὰ πλήθη ἐφώνησαν εἰς τὸν ποταμὸν ῥιφῆναι. καὶ εὐθέως ὁ Διομήδης ἐπιλαβόμενος αὐτῆς τῶν ποδῶν εἰς τὸν Σκάμανδρον ποταμὸν βάλλει· καὶ θνήσκει παραχρῆμα.

Μετὰ δὲ ὀλίγας ἡμέρας ὁ Τιθών τις ὀνόματι ὑπὸ τοῦ Πριάμου C *παρακληθεὶς παραγίνεται, ἄγων Ἰνδοὺς ἐφίππους καὶ πεζοὺς καὶ Φοίνικας μαχιμωτάτους μετ' αὐτῶν καὶ τὸν βασιλέα αὐτῶν Πολυδάμαντα. καὶ τοσοῦτον ὑπῆρχε πλῆθος ὅσον οὔτε τὸ Ἴλιον οὔτε τὸ δάπεδον ἅπαν ἐδέχετο. καὶ διὰ ναυτικοῦ στόλου ἦλθον πολλοὶ Ἰνδοὶ καὶ οἱ αὐτῶν βασιλεῖς· ἐδιῳκοῦντο δὲ τασσόμενοι πάντες οἱ βασιλεῖς καὶ πᾶς ὁ στρατὸς ὑπὸ τοῦ δυνατοῦ Μέμνονος, βασιλέως Ἰνδῶν. εἶχε δὲ ὁ Μέμνων μεθ' ἑαυτοῦ καὶ πλοῦτον πολὺν εἰς τὰς ναῦς. καὶ ἀναπαύσαντες ἑαυτοὺς ἐξῆλθον εἰς τὸ δάπεδον, ξίφη παράξενα φοροῦντες καὶ σφενδοβόλα καὶ ἀσπίδας τετραγώνους. καὶ σὺν αὐτοῖς μιγέντες οἱ τοῦ Ἰλίου σύμμαχοι καὶ οἱ Πριάμου παῖδες καὶ ὁ Μέμνων ἦλθεν ἐν ἅρματι ἐποχούμενος* O 162 D *εἰς τὸ πεδίον. ὁπλισθέντες δὲ καὶ ἡμεῖς οἱ Ἕλληνες προηρχόμεθα, πάντα δεινῶς ἔχοντες· ἰδόντες γὰρ καὶ ἡμεῖς οἱ*

5. *γνόντα* Ch., *γνώντα* Ox. 12. *οὔτε*] *οὐδὲ* Ox. 18. *σφενδόβολα* Ox. 19. „*Ἰλείου*] Scr. *Ἰλίου*.“ Ch. Sic iam Ox.

reliquias insecuti, sub ipsis urbis moenibus trucidavimus; ab Amazonibus interim abstinentes; quas, in vincula conjectas, exercitus omnis inter se divisit. De Penthesilea autem ipsa anhelante adhuc, decretum a nobis erat, uti vel in flumen projiceretur; vel dilanianda canibus objiceretur: Caeterum postulabat Achilles, mortuam sepulturae tradi: quo audito, in fluctus projici eam instabat exercitus. Diomedes itaque pedibus arreptam, in Scamandrum praecipitavit; ubi statim suffocata periit.

Paucis autem post diebus, advenit in suppetias, a Priamo vocatus, Tithon quidam; cumque eo Indi, pedites equitesque; Phoenices etiam bellicosissimi, cum rege eorum Polydamante. Tanta autem erat multitudo eorum, ut nec Ilium; nec totus undique campus eam capere potuerit. Sed et navium quoque apparatu supervenerunt Indorum quamplurimi, cum Regibus. Totus autem exercitus regesque Memnonis Indorum regis sub auspiciis militabat, viri potentissimi, quique plurimis divitiis naves suas onustas habuit. Hi, ubi paululum se refecissent, in campum descenderunt; enses quisque Barbaricos, fundas, et quadrata scuta gestantes: quibus etiam se adjunxerunt commilitones Trojani Priamique filii. Memnon autem ipse curru vectus, in campum procedebat. Nos etiam Graeci arma sumentes, mala interim omnia nobismet ominantes, egredimur tamen; ad hostium enim conspectum ipsum nosque Duces

ἡγεμόνες καὶ ὁ ἡμῶν στρατὸς ἐθαμβήθημεν. καὶ μετὰ κραυγῆς
οἱ Τρῶες ἅμα τῷ Μέμνονι καὶ τοῖς λοιποῖς ἐπέρχονται ἡμῖν· καὶ
δεχόμεθα τὴν ὁρμὴν αὐτῶν καὶ πολλοὶ τραυματίζονται. πιπτόν-
των δὲ πολλῶν ὄχλων ἐξ ἡμῶν, ἡμεῖς οἱ ἡγεμόνες Ἑλλήνων ἀνε-
χωροῦμεν μὴ ὑποφέροντες τὴν τοῦ πλήθους βίαν· εἶχον δὲ καὶ
τὰς ἡμῶν ναῦς καῦσαι οἱ βάρβαροι, εἰ μὴ νὺξ ἐπῆλθε. τῆς δὲ
νυκτὸς γενομένης, συνελθόντων Ἑλλήνων ἅμα τῷ ἰδίῳ στρατῷ,
καὶ συναγαγόντες τὰ σώματα τεφροῦμεν. τῇ δὲ αὐτῇ νυκτὶ βου-
E λευόμεθα τίς τῶν βασιλέων δύναται ἀντιστῆναι καὶ ὁρμῆσαι κατὰ
τοῦ Μέμνονος, τῶν ἄλλων εἰς τὰ πλήθη ἀσχολουμένων καὶ μα-
χομένων. κλήρου δὲ γενομένου πάντων ἡμῶν ἡγεμόνων κληροῦ-
ται κατά τινα τύχην Αἴας ὁ Τελαμώνιος, ὁ ἐμὸς ἀδελφός. καὶ
πρὶν ἢ ἥλιον ἀνελθεῖν ἐξερχόμεθα οἱ Ἕλληνες ὁπλισάμενοι πάν-
τες, ὁμοίως δὲ καὶ οἱ Τρῶες καὶ ὁ Μέμνων, βασιλεὺς Ἰνδῶν,
καὶ πάντα τὰ πλήθη αὐτῶν. καὶ συμβολῆς γενομένης καὶ πολ-
V 54 λῶν πεσόντων, ὁ ἐμὸς ἀδελφὸς Αἴας κελεύσας τοῖς βασιλεῦσι τῶν
Ἑλλήνων τοὺς ἄλλους ἀμύνασθαι Ἰνδοὺς καὶ Τρῶας, ὁρμᾷ κατὰ
τοῦ Μέμνονος, βασιλέως Ἰνδῶν, τοῦ ἥρωος Ἀχιλλέως, τοῦ σοῦ
O 163 γενέτου, ὄπισθεν συνεπισχύοντος τῷ Αἴαντι, ἑαυτὸν ἀποκρύ-
πτων. ὁ δὲ Μέμνων προσεσχηκὼς τῷ Αἴαντι κατ᾽ αὐτοῦ ὁρμή-

19. ἀποκρύπτων] ἀποκρύπτοντος Ch. Quem fugerat structurae barbaries Malalae eique similibus frequens. Vid. p. 21. A, 24. B, 130. D, vol. II. p. 65. B, 69. B, 73. D, 76. D. Apud Pollucem p. 270. codicis scriptura ἤγαγεν ἐκ τῆς ἡλιούπολιν οὖσαν τῆς Φρυγίας non in Ἡλιουπόλεως οὔσης cum Hardtio convertenda, sed scribendum Ἰλίου, πόλιν οὖσαν. Alia huius generis v. apud Hasium ad Leonem p. 198. B, 255. D.

exercitusque consternati sumus. Clamore itaque sublato, Trojani cum Memnone reliquisque nos aggressi sunt; quorum vim primam suscepimus; multis hinc inde vulneratis. Ubi vero quamplurimi ex nostris cecidissent, nec amplius Barbarorum impetui sustinendo essemus, ad naves recessimus. Sed et illas etiam, nisi nox superveniens inhibuisset, Barbari cremassent. Nocte autem ingruente, exercitum recolligentes, occisorum cadavera combussimus. Consilium quoque eadem nocte initum, quis inter Reges nostros par Memnoni congrederetur; caeteris interim copias ejus impigre adorientibus. Sortibus autem inter Duces omnes ductis, Ajaci Telamonio, fratri meo, hoc (fatis ita volentibus) sortito obtigit. Ante igitur solis ortum, Graeci in aciem armati omnes progredimur; sicut et Trojani, cum Indorum rege Memnone, exercituque omni. Praelio autem commisso, multisque cadentibus, frater meus Ajax; signo Graecorum ducibus dato, uti Trojanos Indosque reliquos propulsarent; ipse Memnonem, Indorum regem, adortus est; Heroë interim Achille, patre tuo, clam eum a tergo corroborante. Memnon vero, ubi Ajacem sibi appro-

σαντι, καταβὰς ἀπὸ τοῦ ἅρματος εὐθὺς πλησίον ἐγένετο· καὶ
ἀλλήλους τοῖς δόρασι πειράζουσιν. ὁ Αἴας δὲ πρῶτος ἀνατρέπει
τὴν ἀσπίδα αὐτοῦ τῷ δόρατι στρέψας, ἐπιπεσὼν αὐτῷ βαρέως.
τῶν δὲ ὄντων ἐγγὺς τοῦ Μέμνονος ἐπελθόντων τῷ Αἴαντι ἐν τῷ
ἔχειν τὸν Μέμνονα, ἰδὼν ὁ σὸς πατὴρ Ἀχιλλεύς, τὸ δόρυ αὐτοῦ B
βαλὼν εἰς τὸν τράχηλον τοῦ αὐτοῦ Μέμνονος, γυμνωθέντος τοῦ
τένοντος, κτείνει αὐτὸν ἀνελπίστως. καὶ πεσόντος αὐτοῦ αἰφνι-
δίως γίνεται θόρυβος καὶ φυγὴ τῶν βαρβάρων· καὶ ἡμεῖς οἱ Ἕλ-
ληνες γνόντες καὶ πλησθέντες θάρσους πάντας τοὺς Αἰθίοπας
κτείνομεν. Πολυδάμαντος δὲ ἐπὶ τὸν Αἴαντα ἐπιβάντος, ὁρμή-
σας ὁ Τελαμώνιος Αἴας κατ' αὐτοῦ, δόρατι πλήξας τὸν βουβῶνα
αὐτοῦ ἀναιρεῖ αὐτόν. θανόντος δὲ κἀκείνου καὶ ἄλλων πολλῶν, O 164
οἱ Αἰθίοπες φεύγοντες ἀνῃροῦντο, τῶν ἱππέων αὐτοὺς καταπα-
τούντων. καὶ ἐπλήσθη τὸ δάπεδον νεκρῶν, καὶ γέγονεν ἑσπέρα·
ᾔτησαν οὖν οἱ Τρῶες περὶ τῶν νεκρῶν ἔνδοσιν. καὶ ἡμῶν τῶν
Ἑλλήνων συνθεμένων ἀμφότεροι ἐποιήσαμεν πυρὰς καὶ ἐτεφρώ- C
σαμεν τοὺς νεκρούς. καὶ ἀσφαλισάμενοι οἱ Τρῶες τὰς πύλας
ἔμειναν πενθοῦντες διὰ τοὺς αὐτῶν προμάχους καὶ διὰ Μέμνονα.
ὀλίγων δὲ ἡμερῶν διαδραμουσῶν, τοῦ σοῦ γενέτου Ἀχιλλέως προ-
καλουμένου ἅμα ἡμῖν τοῖς Ἀχαιοῖς τοὺς Τρῶας, ἐξῆλθεν ἡγού-
μενος τῶν βαρβάρων ὁ Πάρις καὶ Δηΐφοβος ἀδελφοί· ἦσαν δὲ
μετ' αὐτῶν σὺν τῷ πλήθει Λυκάων καὶ Τρωΐλος, παῖδες καὶ αὐ-
τοὶ Πριάμου. καὶ ὁρμήσας πάλιν Ἀχιλλεύς, ὁ σὸς γενέτης, μεθ'
ἡμῶν τῶν Ἑλλήνων πάντων καταδιώκει τοὺς βαρβάρους· καὶ

pinquantem animadvertit, e curru statim descendens, propius accessit. Tum vero hastis se invicem petebant: primusque Ajax peracriter eum aggressus, scutum ejus, hasta impulsum, obliquavit. Derepente igitur qui Memnoni proximi erant, Ajacem, eum urgentem, adorti sunt: quod ubi vidit pater tuus Achilles, denudatum Memnonis jugulum hasta trajecit; ipsumque, omnium praeter spem, occidit. Memnone sic prostrato, tumultus ingens in Barbaris ortus est, fugam sine mora capessentibus: nos contra, revocatis animis, Aethiopas ad unum omnes excidimus. Tum vero Polydamantem, Ajacem adorientem, Ajax vicissim petebat: juxtaque inguina confossum, de medio sustulit. Occisis vero eo plurimisque aliis, Aethiopes in ipsa fuga perierunt, Equitibus eos proculcantibus: totusque campus cadaveribus plenus est. Nocte vero ingruente, Trojani nobiscum de Mortuis sepeliendis egerunt: nobis autem illis annuentibus, rogos utrinque extruximus, mortuosque cremavimus, Trojani autem Ilii portis obseratis ducum suorum Memnonisque fatum deflerunt. Paucis itaque diebus interjectis, patre tuo Achille nobisque Achivis Trojanos ad praelium provocantibus; egressi sunt Paridis Deiphobique sub auspiciis: cumque his Lycaon, Troilusque, et ipsi Priami filii, in aciem devenerunt. Pater itaque tuus Achilles, cum nobis omnibus, in praelium descendens, Barbaros profligavit; quorum plurimi inter fugiendum in Sca-

φεύγοντες ἔπεσον εἰς τὸν Σκάμανδρον ποταμὸν πολλοὶ καὶ ἀπώλοντο, καὶ ζῶντες δὲ φανεροὶ ἐλήφθησαν. ἀναιρεῖ δὲ Ἀχιλλεὺς
D τοὺς Πριάμου παῖδας, Τρωΐλον καὶ Λυκάονα, τοὺς δὲ λοιποὺς ἡμεῖς οἱ Ἀχαιοί. καὶ μέγα πένθος ἐν τῷ Ἰλίῳ περὶ Τρωΐλον ἦν· ἦν γὰρ ἔτι νέος καὶ γενναῖος καὶ ὡραῖος.

Μετὰ δέ τινας ἡμέρας ἐνίσταται ἡ τῶν ἀναθημάτων ἑορτή, καὶ ἀνοχὴ γέγονε τοῦ πόλεμου, θυσιῶν γενομένων, θυόντων τῷ
O 165 Θυμβρίῳ Ἀπόλλωνι ἐν τῷ ἄλσει τῷ ἀπὸ μικροῦ ὄντι τῆς πόλεως τῶν Δαναῶν καὶ τῶν Τρώων. καὶ ἐξελθούσης Πολυξένης μετὰ Ἑκάβης εἰς τὸ ἱερὸν Ἀχιλλεὺς ταύτην ἐθαύμασεν ἑωρακώς. Πρίαμος δὲ ἑωρακὼς τὸν Ἀχιλλέα, πέμπει τινὰ Ἰδαῖον ὀνόματι
E πρὸς αὐτὸν λόγους φέροντα περὶ τῆς Πολυξένης ἐν τῷ ἀναπατεῖν τὸν Ἀχιλλέα ἐν τῷ ἄλσει τοῦ Ἀπόλλωνος μόνον. καὶ ἀκούσας ὁ Ἀχιλλεὺς τὸν περὶ αὐτῆς λόγον ἀνήφθη· ἑωρακότες δὲ ἡμεῖς οἱ Ἕλληνες τὸν Ἰδαῖον ἰδιάζοντα τῷ Ἀχιλλεῖ ἐν θορύβῳ πολλῷ ἐγενόμεθα, ὡς τοῦ σοῦ γενέτου Ἀχιλλέως προδιδόντος ἡμᾶς. καὶ ἐπέμψαμεν πρὸς αὐτὸν ἀπόκρισιν διὰ τοῦ ἀδελφοῦ μου Αἴαντος καὶ Διομήδους καὶ Ὀδυσσέως, ἵνα αὐτῷ παραγγείλωσι μὴ θαῤῥεῖν ἑαυτὸν τοῖς βαρβάροις μόνον. οἱ δὲ ἀπελθόντες περιέμειναν αὐτὸν ἔξω τοῦ ἄλσους, ἵνα αὐτῷ εἴπωσι τὴν ἀπό-
1. Σαρσάρ] Σαρασάρ Esaias, Reg., Iosephus X. 1. 5. 2. ἐβασίλευσεν Ἀσορδὰν recte Esaias, Reg. 12. ἐβασίλευσε τῆς Ἰουδαίας Ἐλιακεὶμ καὶ Ἰωακεὶμ, ἀδελφοὶ αὐτοῦ, ἔτη μδ'.] „Quam aliena a vero sunt ista! Manassi enim successit fil. ejus Amon, per an. 2. Amoni successit fil. ejus Josias, per an. 31. Josiae successit fil. ejus Joachaz, per Mens. 3. post quem a Pharaone Nechaone rex constitutus est Eliakim, qui et Joakim dictus est; Josiae vero et hic erat filius: regnavit vero hic annis 11. adeo ut a Manasse rege ad ultimum horum annum anni quidem intercesserint 45. atque haec forsan Auctoris nostri mens est, infeliciter licet expressa: pro ἀδελφοὶ ideo legendum ἀδελφός." Ch. Ita lacuna statuenda post Ἰουδαίας, scribendumque Ἐλιακεὶμ ὁ καὶ Ἰωακείμ, ἀδελφὸς αὐτοῦ sc. Ioachaz. Corrigendus etiam Cedrenus p. 112. C μετὰ δὲ Ἰωάχαζ ἐβασίλευσεν Ἰωακεὶμ καὶ Ἐλιακεὶμ ὁ ἀδελφὸς αὐτοῦ.

Sarsar, filii ejus, percusserunt eum gladiis: ipsi autem salvi evaserunt in Armeniam. Et regnavit Assyriis alter filius ejus, Nachordan.

Ezechiam excepit in regno Judaeorum Manasses, qui regnavit annos LV. Ab Adamo igitur, ad Manassem usque, anni sunt MMMMMCCCXXI.

Per id autem tempus Rhodii, (nullius in potestatem redacti, sed sui juris et Maris Domini,) tantae foelicitatis in gratiam, statuam in insula sua ex aere ingentem Soli posuerunt: quam, quod stupendae esset magnitudinis, *Colossum* dixere; exinde etiam seipsos Colossenses denominantes.

Post Manassem Judaeorum regnum tenuerunt fratres ejus, Eliakim et Joakim, per annos XLIV. Ab Adamo igitur in totum numerantur anni MMMMMCCCLXV.

O 190
V 63

ΛΟΓΟΣ ΕΚΤΟΣ

ΧΡΟΝΩΝ ΒΑΣΙΛΕΙΑΣ ΑΣΣΥΡΙΩΝ ΚΑΙ ΑΙΝΕΙΟΥ ΑΣΚΑΝΙΟΥ.

A Ἐπὶ οὖν τῆς βασιλείας Ἰωακεὶμ βασιλέως ὁπλισάμενος κατὰ Ἰουδαίων ἀνῆλθε Ναβουχοδονόσορ, βασιλεὺς Ἀσσυρίων· καὶ παρέλαβε τὴν Ἱερουσαλὴμ καὶ πᾶσαν τὴν γῆν τῆς Ἰουδαίας, καθὼς οἱ προφῆται προέλεγον τῷ Ἰσραήλ. καὶ ἀπήγαγε τὸν Ἰωακείμ, βασιλέα τῶν Ἰουδαίων, αἰχμάλωτον καὶ πάντα τὰ βασιλικὰ σκεύη καὶ πάντας δοριαλώτους ἐποίησε, καὶ οὐκέτι
O 191 ἐβασίλευσε τῶν Ἰουδαίων οὔτε Ἱερουσαλήμ, πόλις τῆς Ἰουδαίας, οὔτε Σαμάρεια. καὶ λοιπὸν παρεδόθη ἡ βασιλεία τῶν Ἰουδαίων εἰς χεῖρας Ἀσσυρίων, καὶ ἐκυρίευσαν αὐτῶν. ἐν δὲ τῷ πέμπτῳ ἔτει τῆς βασιλείας Ναβουχοδονόσορ πᾶσα ἡ αἰχμαλωσία τῶν
B Ἰουδαίων ἐγένετο ἐν Βαβυλῶνι, καθὼς Εὐσέβιος ὁ Παμφίλου ἐχρονογράφησεν.

10. πᾶσα] πρώτη Schurzfleisch. Notit. Bibl. Vinar. p. 253. Quod debebat ἡ πρώτη αἰχμ. dici. Sed αἰχμαλωσία hic sunt *captivi*.
11. Εὐσέβιος] Conf. hunc p. 86. ed. Mai.

LIBER SEXTUS

DE TEMPORIBUS REGNI ASSYRIORUM ET AENEAE, ASCANII PATRIS.

Joachimo autem regnante, Nabuchodonosor Assyriorum rex, cum exercitu veniens contra Judaeos, Hierosolymam cepit Judaeamque omnem: juxta ac a Prophetis Israeli praedictum fuerat. Regem autem ipsum Joachimum populumque omnem captivos habuit, et in mancipia fecit: omnemque regium apparatum deportavit; nec in posterum populus Israeliticus regem sibi amplius habuit, aut Samariae aut Hierosolymis regnantem. Sed imperium gentis Judaicae Assyriis delatum, deinceps penes eos remansit. Accidit autem Captivitas illa universalis Babylonica, ad quintum annum Nabuchodonosoris: uti Eusebius Pamphili in Chronico suo tradidit.

Ἐν δὲ τοῖς αὐτοῖς χρόνοις οἱ Λυδοὶ ἔλαβον τὰς βασιλείας, ἤτοι τοπαρχίας, δυνάμει ἀπὸ τῶν πλησίον ὄντων ἄλλων ἐθνῶν. καὶ ἐβασίλευσε τῶν Λυδῶν πρῶτος ὁ Ἀρδεὺς ἔτη λϛ΄. ὅστις καὶ ὑπέταξε τὰ πλησίον ἔθνη καὶ βασίλεια, καὶ διῆγεν ἐν ὑπερηφανίᾳ.

Μετὰ δὲ τὴν βασιλείαν Ναβουχοδονόσορ, βασιλέως Ἀσσυρίων, ἐβασίλευσε Βαλτάσαρ, ὁ υἱὸς αὐτοῦ. ὅστις εἰς τὰ ἱερατικὰ σκεύη τῶν Ἰουδαίων ὑπηρετεῖτο· ἐκίρνα δὲ καὶ ταῖς παλλακαῖς αὐτοῦ εἰς αὐτὰ καὶ πᾶσι τοῖς συνεσθίουσιν αὐτῷ, ἐνυβρίζων αὐτά. καὶ ἐν τῷ ἀνακεῖσθαι αὐτὸν ἐν ἀπονοίᾳ καὶ δειπνεῖν ἑώρα ἔνθα ἀνέκειτο ἐν τῷ κατέναντι τοίχῳ τοῦ παλατίου ἐξαίφνης C ἀστράγαλον χειρὸς ἀνθρώπου γράφοντα, Μανῆ, θεκέλ, O 192 φαρές. καὶ ταῦτα γράψας ὁ ἀστράγαλος τῆς χειρὸς ἀφανὴς ἐγένετο. ὁ δὲ Βαλτάσαρ ἀναγνοὺς τὰ γράμματα ἐκάλεσε πάντας τοὺς ἐπαοιδοὺς καὶ μάγους καὶ ἀστρονόμους καὶ ὀνειροκρίτας τῆς χώρας αὐτοῦ, ἐπερωτῶν αὐτούς, Τίς ἐστιν ἡ δύναμις αὕτη τοῦ ἀστραγάλου ἢ τίς ἡ ἑρμηνεία τῶν γραφέντων ὑπ᾽ αὐτοῦ; καὶ οὐδεὶς ἠδυνήθη ἑρμηνεῦσαι αὐτῷ. καὶ ἀκούσας ὅτι ὁ αὐτοῦ πατὴρ ἐν πολλῇ τιμῇ εἶχε τὸν Δανιήλ, ὄντα ἐκ τῆς Ἑβραίων αἰχμαλωσίας, ὅστις τὰ ὁράματα αὐτοῦ ἡρμήνευε, μετεστείλατο τὸν Δανιὴλ καὶ λέγει αὐτῷ, Ἐπειδὴ χάρις ἐστὶ θεοῦ παρά σοι, ἑρμήνευσόν μοι ὅπερ εἶδον τοῖς ἐμοῖς ὀφθαλμοῖς, καὶ τὴν τῶν D γραμμάτων δύναμιν σαφήνισόν μοι. ὁ δὲ Δανιὴλ ἀκούσας καὶ

2. πλησίον Ch., πλησίων Ox. 20. ἡρμήνευε Ch., ἑρμήνευε Ox.

Circa haec tempora Lydi, vicinis gentibus armis subactis, dominari coeperunt. Lydorum rex primus Ardeus fuit; qui XXXVI annos regnavit. Subegit hic ditiones undique adjacentes atque regna: atque inde elatior factus, in summo fastu vitam egit.

Nabuchodonosoro autem successit, in regno Assyriorum, filius ejus, Baltasar: qui Judaeorum vasa sacra mensae suae in ministerium adhibuit: Quibus etiam, per ludibrium, misceri jussit vinum concubinis suis et convivis omnibus. Interim vero dum Rex Genio suo cum omni insolentia indulgeret; ecce articulus manus humanae, ex opposito coenaculi pariete subito emergens scribebat: *Mane*, *Thecel*, *Phares*. Scripsit haec manus articulus, et evanuit. Baltasar autem, perlecta scriptura, vocavit ad se Incantatores, Magos, Astrologos, et Somniorum interpretes, qui in Babylone fuerunt, omnes: et quaesivit ab iis: Quidnam sibi vellet Digitus visus; aut quale haberet ab illo scriptum interpretamentum? Caeterum nemo ista interpretari potuit. Rex autem certior factus, Danielem quendam, ex captivis Hebraeorum, summa in veneratione apud patrem suum fuisse, ob interpretationem Somniorum, Danielem accersit; et edixit ei: Quandoquidem Dei gratia in te est, interpretare mihi, quod oculis meis vidi; notumque mihi facito scripturae sensum. Daniel vero his auditis,

ἑωρακὼς τὴν δύναμιν τῶν γραμμάτων, λέγει αὐτῷ, Μακροθύμησον ἐπ' ἐμοί, βασιλεῦ, καὶ μὴ ὀργισθῇς, καὶ ἑρμηνεύσω σοι τὴν τῶν γραμμάτων δύναμιν. ὁ δὲ ἐπωμόσατο μὴ ποιεῖν αὐτῷ κακὸν ἑρμηνεύοντι. καὶ λέγει αὐτῷ ὁ Δανιήλ, Ὁ θεὸς τοῦ οὐρα-
V 64 νοῦ καὶ τῆς γῆς ἀγανακτήσας κατά σου ἐπλήρωσε τὴν βασιλείαν
O 193 σου. καὶ τοῦτο ἀκούσας ἀπέλυσεν αὐτὸν ἰδεῖν εἰ ἀληθεύει. καὶ μεθ' ἡμέρας Δαρεῖος ὁ Μῆδος, ὢν ἐτῶν ξ', τυραννήσας ἐπῆλθε καὶ ἔσφαξεν αὐτόν, καὶ ἔλαβε τὴν βασιλείαν αὐτοῦ.

Μετὰ δὲ τὴν βασιλείαν Δαρείου ἐβασίλευσαν ἕτεροι βασιλεῖς Ἀσσυρίων ἕως Ἀστυάγους. καὶ λοιπὸν ὁ Ἀστυάγης ἐβασίλευσε Περσῶν, ὃς ἐπεστράτευσε κατὰ τῶν Λυδῶν, ἀνελθὼν μετὰ δυνάμεως πολλῆς. ἐν ᾧ χρόνῳ ὁ ἥλιος ἐξέλειψεν ἐπὶ πολλὰς ὥρας τῆς ἡμέρας, προειπόντος Θαλοῦ τοῦ φιλοσόφου τὴν ἔκλειψιν τοῦ ἡλίου. ἐν τοῖς αὐτοῖς χρόνοις Πεισίστρατος πολεμῶν
B δημαγωγεῖ, τῶν Λυδῶν μὴ ἡττηθέντων τῷ πολέμῳ, ἀλλὰ τοῦ Ἀστυάγους ἀφ' ἑαυτοῦ ἀναχωρήσαντος. τότε τοῦτο γνόντες οἱ Πισαῖοι δευτέραν ἑορτὴν ἐπετέλεσαν ἀγῶνος Πυθίων, εὐχαριστοῦντες τῷ Ἡλίῳ, παρατιθέμενοι ἑαυτοὺς Λυδοῖς καὶ τῷ κράτει τῆς δυνάμεως αὐτοῦ.

O 194 Καὶ λοιπὸν ἐν τοῖς μετὰ ταῦτα ἐφηῦρον ἑορτὴν ἀγῶνος τρί-

12. ἐξέκλειψεν Ox. 15. Post δημαγωγεῖ excidisse quaedam videntur. 17. *Πισαῖοι* Ch., *Πεισαῖοι* Ox. Sic et infra. *ibid.* *Πυθίων*] *Πυθίῳ* Ox. Quod potest etiam *Πυθίου* scribi.

ubi vim Scripturae hujus percepisset, dixit Regi: „Si modo veniam mihi dabis, O Rex, nec iratus eris; verborum sensum ego tibi expediam.“ Respondens rex, juramento confirmavit, nihil mali eventurum illi ex interpretatione. Tum Regi Daniel; „Deus (inquit) Coeli et terrae, infensus tibi, regnum tuum ad exitum perduxit.“ Haec ubi audisset Rex, dimittit illum, praedictionis eventum expectaturus. Paucis vero post diebus, Darius Medus, cum annum ageret sexagesimum, contra regem arma movit: eoque interfecto, regnum sibi vendicavit.

Darium autem exceperunt caeteri Assyriorum reges usque ad Astyagem: qui deinceps Persis regnavit. Movebat hic bellum contra Lydos, ingenti veniens cum exercitu. Accidit autem eodem tempore solis defectio, quae per multas diei horas duravit; hanc vero Thales Philosophus praedixerat. Eodem tempore Pisistratus se belli ducem Lydis praebuit; qui cum Persis aequo Marte pugnantes, saltem non sunt devicti. Quin et Astyages ultro retrocessit. Quod cum intellexissent Pisaei, Solemnitatem illam alteram *Pythii* certaminis, solis in honorem, celebrarunt; subjicientes sese Lydorum imperio, et potestati ejus.

Posteris deinde temporibus, iidem Pisaei tertiam Solennitatem indi-

του οἱ αὐτοὶ Πισαῖοι, τὰ Ἴσθμια τῷ Πλούτωνι. τετάρτην δὲ ἑορτὴν ἐφηῦρον ἀγῶνος οἱ αὐτοὶ Πισαῖοι, καὶ ἐπετέλεσαν τὰ Νέμεια τῷ Διονύσῳ.

Μετὰ δὲ τὴν βασιλείαν τοῦ Ἄρδέως ἐβασίλευσαν Λυδῶν ὀκτὼ ἕως Κροίσου τοῦ ὑπερηφάνου· ἐβασίλευσε δὲ ὁ αὐτὸς Κροῖσος ἔτη ιε'. κατέσχεν οὖν ἡ βασιλεία Λυδῶν τὰ πάντα C ἔτη σλβ'.

Ἐν δὲ τοῖς χρόνοις τῆς βασιλείας αὐτοῦ ὁ αὐτὸς Κροῖσος ὑπέταξε πάσας τὰς ἐπαρχίας, ἤτοι βασιλείας, τὰς πλησίον αὐτοῦ καὶ τὰς πόῤῥωθεν, λαμβάνων ἀπὸ μὲν τῶν πειθομένων αὐτῷ φόρους, ἀπὸ δὲ τῶν ἀνθισταμένων αὐτῷ αὐτοὺς καὶ τὰς βασιλείας αὐτῶν. καὶ εἶχε φόβον πολύν, ὡς εὐτυχὴς καὶ νικητής· καὶ ὑπτιώθη. ἐν οἷς χρόνοις Σόλων ἐφιλοσόφει.

Μετὰ δὲ τὴν βασιλείαν Ἀστυάγους, βασιλέως Περσῶν, ἐγένετο βασιλεὺς Κῦρος ὁ Πέρσης· ὅστις ἐφίλησε τὴν γυναῖκα τοῦ πρὸ αὐτοῦ βασιλέως Δαρείου Βαρδάνην, καὶ ἔλαβεν αὐτήν. τῷ δὲ τεσσαρεσκαιδεκάτῳ ἔτει τῆς βασιλείας Κύρου Κροῖσος ὁ βα- D σιλεὺς τῶν Λυδῶν διδαχθεὶς ἀπὸ τῶν συγκλητικῶν αὐτοῦ τὴν πρῴην τοῦ Ἀστυάγους, βασιλέως Περσῶν, ἐπὶ τὴν Λυδίαν πολεμικὴν παρουσίαν, ἠγανάκτησε. καὶ δηλοῖ Κύρῳ, τῷ βασιλεῖ O 195 Περσῶν, παραχωρῆσαι αὐτῷ τὴν βασιλείαν αὐτοῦ καὶ ἀναχωρῆσαι, ἢ δέξασθαι τὴν παρουσίαν τῆς εὐτυχεστάτης αὐτοῦ βασιλείας πολεμοῦσαν. ὁ δὲ Κῦρος, βασιλεὺς Περσῶν, δεξάμενος τοὺς

15. βασιλεὺς] βασιλέως Ox.

xerunt, *Isthmia* Plutoni celebrantes. Quartam denique addiderunt iidem Pisaei; *Nemea* scilicet: et haec in Bacchi honorem.

Ardeo successerunt, in regno Lydorum, reges alii VIII, usque ad Croesum illum superbum; qui regnavit annos XV. In universum itaque duravit Lydorum regnum annos CCXXXII.

Croesus autem imperium tenens, ditiones omnes, non vicinas tantum, sed et longe etiam dissitas, in potestatem suam redegit: tributa autem, ab eis qui dederunt se, exegit: repugnantibus vero et regna et libertatem ademit. Itaque reformidarunt eum omnes, tanquam hominem fortunatum, victoremque: inde rex elatior factus. Hoc tempore claruit Solon Philosophus.

Astyagi, in regno Persarum, succedebat Cyrus, Persa: qui et uxorem Darii regis, Antecessoris sui, Bardanem, quam amavit, in uxorem sibi accepit. Decimoquarto autem anno regnantis Cyri, Croesus, a Primoribus suis edoctus, de hostili illa irruptione, quam in Lydiam superioribus annis fecerat Astyages, Persarum rex; ira commotus est: atque ad Cyrum, Persarum regem mittit, qui ab eo postularent, uti vel regno suo decedat; aut cum foelicissimo rege congressurus, belli fortunam expectaret. Cyrus autem, legatis exceptis, et perlectis Croesi literis, respon-

σταλέντας πρέσβεις, καὶ ἀναγνοὺς τὰ παρ' αὐτοῦ γραφέντα, εἶπε τοῖς πρεσβευταῖς, Τί γὰρ ἠδίκηται παρ' ἐμοῦ Κροῖσος, τοσαύτην γῆν ἀφεστηκὼς ἀπ' ἐμοῦ καὶ τῶν ἐμῶν βασιλείων; ἢ πῶς τοσούτων διαδραμόντων χρόνων βλάβην χώρας διεκδικεῖ; καὶ
E ἀδημονῶν ἠβούλετο φυγεῖν ἐπὶ τὴν Ἰνδικὴν χώραν. ἰδοῦσα δὲ αὐτὸν ἀθυμοῦντα ἡ γυνὴ αὐτοῦ, καὶ ἐπερωτήσασα καὶ μαθοῦσα παρ' αὐτοῦ τὸ πρᾶγμα, λέγει αὐτῷ ὅτι Ἐπὶ Δαρείου, τοῦ πρώτου μου ἀνδρός, ἦν ἀνήρ τις Ἑβραῖος, προφήτης, σοφίαν ἔχων θεοῦ, ᾧ ὄνομα Δανιήλ, ἐκ τῆς αἰχμαλωσίας τῶν υἱῶν Ἰσραήλ, ὅντινα ἐν πολλῇ τιμῇ εἶχεν ὁ βασιλεὺς Δαρεῖος, καὶ δίχα αὐτοῦ οὐδὲν ἔπραττεν ἐν τοῖς πολέμοις. καὶ ἐπερωτῶν αὐτὸν
V 65 ἡνίκα εἶχε πόλεμον, κατεπολέμει τοὺς ἐναντίους· ὅστις μετὰ τὴν
O 196 τελευτὴν ἐκείνου, πλούσιος ὢν καὶ γεγηρακώς, ἰδιάζει εἰς τὴν Μαραβίτιδα χώραν. ὁ δὲ Κῦρος ἀκούσας ταῦτα, ἔπεμψε πρὸς αὐτὸν τοὺς μεγιστᾶνας αὐτοῦ, ὅπως μετὰ τιμῆς ἀγάγωσιν αὐτόν. οἱ δὲ ἀποσταλέντες ἀπὸ Κροίσου πρὸς Κῦρον ὑποστρέψαντες εἰς τὴν Λυδῶν χώραν τὴν ἀπόκρισιν τὴν δοθεῖσαν αὐτοῖς ἀπὸ Κύρου τῷ ἰδίῳ βασιλεῖ ἀπήγαγον.

Ὁ δὲ Κροῖσος, βασιλεὺς Λυδῶν, ἐπιλέξαμενός τινας ἐκ τῶν ἰδίων αὐτοῦ ἀνθρώπων πιστούς, καὶ δοὺς αὐτοῖς δῶρα εὐτελῆ καὶ ἕτερα δῶρα βασιλικά, ἀποστέλλει εἰς Δελφοὺς εἰς τὸ μαντεῖον, εἰρηκὼς αὐτοῖς ὅτι Ἀλλάξατε τὸ σχῆμα ὑμῶν καὶ φορέ-
B σατε Αἰγύπτιον σχῆμα, καὶ ἀνελθόντες εἰς τὸ μαντεῖον ἐπίδοτε

3. βασιλείων Cedrenus p. 136. C, βασιλειῶν Ox. 21. Δέλφους Ox. bis.

dit eis „Ecquid injuriae a me Croeso illatum est, qui a me meisque regnis tanto terrarum spatio disjunctus est? Aut quomodo, tot jam elapsis annis, finium invasorum injurias nunc demum exigit?" Et quidem Cyrus, anxius animi, in Indiam fugere in animo habuit: uxor vero eum tam perturbatum videns, quidnam ei in causa esset inquirit: et edocta rem, ita deinde eum affatur, Regnante Dario, marito meo priore, vates quidam erat Ebraeus, ex captivitate Israelitica, nomine Daniel: fuit hic Divina sapientia praeditus; quemque rex Darius summo habuit in honore, nec, nisi cum eo prius communicata re, hostile aliquid aggressus est. Bellum autem suscepturus, ubi Danielem consuluerat, hostes ubique debellavit. Daniel autem iste, aetate jam grandior factus, et opibus abundans, post Darii obitum, in Marabitidem regionem privatam vitam acturus, recessit. Haec ubi audisset Cyrus, mittit ex Primoribus suis, qui Danielem honorifice adducerent. Legati interim, qui a Croeso ad Cyrum missi fuerant, Lydiam reversi, Cyri responsum regi suo retulerunt.

Croesus autem, Lydorum rex, fidos quosdam ex suis delegit, quos donis tum vilibus, tum regiis instructos, Delphos, ad Oraculum dimisit; dicens eis: „Habitu vestro mutato, Aegyptium vobis sumite: et Ora-

τὰ εὐτελῆ δῶρα τῷ ἱερεῖ, λέγοντες αὐτῷ ὅτι Αἰγύπτιοί ἐσμεν, καὶ ἤλθομεν ἐπερωτῆσαι τὴν Πυθίαν, καὶ ἐκ τοῦ μήκους τῆς ὁδοῦ ἐληθαργήσαμεν διὰ τί ἤλθομεν ἐπερωτῆσαι ἢ αἰτῆσαι· ἀλλ' εὖξαι καὶ ἐπερώτησον τὴν θεὰν διὰ τί ἤλθομεν. καὶ εἰ μὲν εἴπῃ ὑμῖν διὰ τί ἤλθετε, δότε καὶ τὰ βασιλικὰ δῶρα καὶ εἴπατε τῷ ἱερεῖ μαθεῖν εἰ νικῶ τὸν βασιλέα Περσῶν τὸν Κῦρον. οἱ δὲ λαβόντες τὰ δῶρα ἀπῆλθον εἰς Δελφοὺς εἰς τὸ ἱερόν, καὶ ἔδωκαν τὰ δῶρα τὰ εὐτελῆ, καὶ εἶπον ἑαυτοὺς Αἰγυπτίους, καὶ ὅτι Ἐληθαργήσαμεν διὸ ἤλθομεν. καὶ ἀκούσας ὁ ἱερεὺς ἐξεπλάγη, O 197 καὶ δεξάμενος τὰ δῶρα τὰ εὐτελῆ, εἰσελθὼν ηὔξατο, καὶ ἔλαβε τὴν ἀπόκρισιν ταύτην παρὰ τῆς Πυθίας. Οἶδα ψάμμιον τὸν ἀριθμὸν C καὶ μέτρα θαλάττης· οὐ λαλέοντος δὲ ἀκούω καὶ κωφοῦ ξυνίημι. παίζειν δέ με πειρᾶται Κροῖσος ὁ βασιλεὺς καὶ οἱ τούτου Λυδοί. καὶ ἐξελθὼν ὁ ἱερεὺς εἶπεν αὐτοῖς, Οὐκ ἐστὲ Αἰγύπτιοι, ἀλλὰ Λυδοί, καὶ οὐκ ἐληθαργήσατε, ἀλλὰ παίζοντες τὰ θεῖα εἰρήκατε ταῦτα. καὶ ἐπιδέδωκεν αὐτοῖς γράψας τὸν χρησμὸν ἐν διπτύχοις εἰς τὸ εἰδέναι Κροῖσον τὸ θαῦμα. ἐκπλαγέντες δὲ οἱ ἀπελθόντες ἐπιδεδώκασι καὶ τὰ ἄλλα βασιλικὰ δῶρα τῷ ἱερεῖ, εἰπόντες αὐτῷ ὅτι Κροῖσος ὁ βασιλεὺς ἡμᾶς ἔπεμψεν, ἐπειδὴ πόλεμον ἔχει πρὸς Κῦρον, τὸν Περσῶν βασιλέα· ἀλλὰ μάθε εἰ νικᾷ αὐτόν. καὶ εἰσελθὼν πάλιν ὁ ἱερεὺς καὶ εὐξάμενος ἔλαβε D τὸν χρησμὸν τοῦτον. Κροῖσος Ἅλυν ποταμὸν διαβὰς μεγάλην O 198

3. διὰ om. Cedrenus. 5. δότε Ch., Cedrenus, δῶρα Ox. 10. τὰ εὐτελῆ] εὐτελῆ Ox. 13. παίζειν Ch., παίζην Ox.

culum adeuntes, viliora illa dona sacerdoti tradite; dicentes ei: Aegyptii sumus, et Oraculum consulturi venimus: ex itineris autem longitudine, omnino nobis excidit, quod sciscitaturi essemus. Itaque ipse Deam rogato; quamnam ob causam nos huc advenimus.“ Si autem dicat vobis, quorsum venistis; tum dona etiam regia illi dabitis; insuper eum rogantes, ut ab Apolline ediscat; utrum ego Cyrum, Persarum regem, superaturus sim. Legati itaque, donis acceptis, Delphos, ad Oraculum proficiscuntur: dona autem viliora Sacerdoti offerentes, dicunt se Aegyptios esse; itineris vero causam sibi excidisse. Hoc audito, obstupuit Sacerdos; dona autem vilia accipiens, fanum ingreditur: votisque conceptis, a Pythia tulit hoc responsum. „Novi ego arenae numerum, et maris mensuram. Audio etiam non loquentem, tacentemque intelligo. Egone ut a Croeso et Lydis ejus illudor dolis?“ Egressus autem sacerdos, Vos, inquit, Aegyptii non estis, sed Lydi; nec oblivione capti, sed Numini illudentes, haec dixistis. Oraculi vero responsum, Diptychis exaratum, Sacerdos eis tradidit; ut Croesus Miraculum inde sciret. Legati autem attoniti, dona etiam pretiosiora illa sacerdoti obtulerunt, dicentes: Croesus rex noster cum Cyro, Persarum rege, bellum habiturus est: nos itaque misit consultum, an superior evasurus sit. Sacerdos itaque iterum ingressus, et precatus, hoc tulit responsum. „Croesus, Haly fluvio tra-

ἀρχὴν καταλύσει. καὶ γράψας καὶ τοῦτον τὸν χρησμὸν ἐν διπτύχοις δέδωκεν αὐτοῖς ἀπενεγκεῖν τῷ βασιλεῖ Κροίσῳ· καὶ ἀπέλυσεν αὐτούς.

Ὁ δὲ προφήτης Δανιὴλ εἰσῆλθε πρὸς τὸν βασιλέα Περσῶν Κῦρον· καὶ λέγει αὐτῷ, Εἰπέ μοι εἰ νικῶ Κροῖσον τὸν βασιλέα Λυδῶν. καὶ ἀνεβάλετο τοῦ εἰπεῖν ὁ Δανιήλ· καὶ ἀγανακτήσας κατ' αὐτοῦ ὁ βασιλεὺς ἔβαλεν αὐτὸν εἰς λάκκον λεόντων. καὶ μαθὼν ὅτι οὐδὲν ἔπαθεν ὑπὸ τῶν θηρίων, ἀνήνεγκεν αὐτὸν καὶ προσέπεσεν αὐτῷ λέγων, Ἥμαρτον εἴς σε· ἀλλ' εὖξαι τῷ θεῷ
E σου καὶ εἰπέ μοι εἰ δύναμαι ἀντιστῆναι τῷ ἅρπαγι τούτῳ καὶ ὑπερηφάνῳ Κροίσῳ, ὅτι πᾶσαν τὴν γῆν ὑπέταξε καὶ οὐκ ἐκορέσθη. καὶ ὁ Δανιὴλ εὐξάμενος εἶπεν αὐτῷ ὅτι Νικᾷς τὸν Κροῖσον καὶ λαμβάνεις αὐτὸν αἰχμάλωτον. περὶ σοῦ γὰρ εἶπεν ὁ θεὸς ὁ ποιήσας πάντα τὰ ὁρώμενα ταῦτα διὰ τοῦ προφήτου Ἠσαΐου, Οὕτως λέγει κύριος ὁ θεὸς τῷ χριστῷ μου Κύρῳ, οὗ ἐκράτησα τῆς δεξιᾶς αὐτοῦ τοῦ ἐπακοῦσαι ἔμπροσθεν αὐτοῦ ἔθνη,
V 66 καὶ ἰσχὺν βασιλέων διαῤῥήξω· ἀνοίξω ἔμπροσθεν αὐτοῦ θύρας,
O 199 καὶ πόλεις οὐ συγκλεισθήσονται. ἐγὼ ἔμπροσθεν αὐτοῦ προπορεύσομαι καὶ ὄρη ὁμαλιῶ καὶ θύρας χαλκᾶς συντρίψω καὶ μοχλοὺς σιδηροῦς συγκλάσω καὶ δώσω σοι θησαυροὺς σκοτεινοὺς ἀποκρύφους, ἀοράτους ἀνοίξω σοι, ἵνα γνῷς ὅτι ἐγὼ κύριος ὁ θεός. ἐγὼ ἐγείρω αὐτὸν μετὰ δικαιοσύνης, πᾶσαι αἱ ὁδοὶ αὐ-

6. ἀνεβάλετο] ἀνεβάλλετο Cedrenus. 9. τῷ θεῷ Ch., Cedrenus, τοῦ θεοῦ Ox. 14. ὁ ποιήσας Ch. cum Cedreno, ἐποίησας Ox. 15. χριστῷ Ch., χρηστῷ Ox. Conf. Esaiae cap. 45.

jecto, imperium magnum evertit." Sacerdos autem responsum etiam hoc, tabulis inscriptum, dedit eis, regi Croeso deferendum: eosque sic dimisit.

Daniel autem propheta ingressus est ad Cyrum, Persarum regem; qui dixit ei: „Scire a te vellem, utrum ego Croesum, Lydorum regem, devicturus sum, necne." Cumque Daniel responsum differret, iratus rex, projici eum jussit in foveam leonum. „Eductus vero, eum nihil a Leonibus perpessum; educi eum jussit; et ad pedes ejus procidens, in te (inquit) peccavi: sed Deum tuum invocato, et dicas mihi; an ego vires sustinere possim rapacis hujus et superbi Croesi, qui terra tota occupata, necdum satiatus est. Daniel itaque Deum precatus, respondit ei: Et Croesum vinces, et ipsum captivum habebis. De Te enim Deus, qui visibilia haec omnia condidit, per Prophetam suum Esaiam, ista locutus est. Sic dicit Dominus uncto meo Cyro, cujus apprehendi dexteram, ut obediant ante faciem ejus gentes: et robur regum diffringam; aperiam ante eum portas, et urbes non claudentur. Ego ante illum ibo, et montes complanabo, portas aereas conteram, et vectes ferreos confringam: et dabo tibi thesauros tenebrosos, absconditos et invisibiles aperiam tibi; ut scias, quia Ego Dominus Deus. Ego suscito illum cum justitia: omnes

τοῦ εὐθεῖαι. αὐτὸς οἰκοδομήσει τὴν πόλιν μου καὶ τὴν αἰχμαλωσίαν τοῦ λαοῦ μου ἐπιστρέψει οὐ μετὰ λύτρων οὐδὲ μετὰ δώρων. εἶπε κύριος ὁ θεὸς σαβαώθ.

Ὁ δὲ βασιλεὺς Κῦρος ἀκούσας ταῦτα, ἔπεσε πρὸς τοὺς πόδας τοῦ Δανιὴλ λέγων, Ζῇ κύριος ὁ θεός σου, ἐγὼ ἀπολύσω ἐκ B
τῆς ἐμῆς γῆς τὸν Ἰσραήλ, ἵνα λατρεύσωσι τῷ θεῷ αὐτῶν ἐν Ἱερουσαλήμ. καὶ ὁπλισάμενος παρετάξατο τῷ Κροίσῳ.

Ὁ δὲ βασιλεὺς Κροῖσος ἀκούσας τὴν τοῦ χρησμοῦ ἀπόκρισιν, ἐξῆλθε κατὰ Κύρου μετὰ δυνάμεως πολλῆς· καὶ παρῆλθε τὸν Ἅλυν, ποταμὸν τῆς Καππαδοκίας. καὶ συνέκρουσε Κύρῳ χειμῶνος ὄντος μεγάλου· καὶ ἡττηθεὶς ἠθέλησε φυγεῖν αὐτὸς καὶ τὰ πλήθη αὐτοῦ· καὶ πλημμυρήσαντος τοῦ ποταμοῦ ἐκ τοῦ χειμῶνος, οὐκ ἠδυνήθη φυγεῖν οὐδὲ περᾶσαι· καὶ ἐλήφθη αἰχμάλωτος αὐτὸς καὶ τὰ πλήθη αὐτοῦ, χιλιάδες υʹ. τοὺς δὲ ζήσαντας ἐξ αὐτῶν ἔλαβεν αἰχμαλώτους ὁ Κῦρος ἅμα Κροίσῳ. καὶ O 200
στήσας αὐτὸν ἐν ξυλίνῳ τρίποδι ἐν ὕψει δεδεμένον ἐθριάμ- C
βευσεν αὐτὸν τῷ στρατῷ αὐτοῦ. καὶ ἔλαβεν αὐτὸν καὶ κατήγαγεν ἐν Περσίδι. ταῦτα δὲ ἱστόρησαν οἱ σοφώτατοι Θάλης καὶ Κάστωρ καὶ Πολύβιος συγγραψάμενοι καὶ μετ᾽ αὐτοὺς Ἡρόδοτος ὁ ἱστοριογράφος· ἅτινα καὶ ὁ σοφὸς Θεόφιλος ἐχρονογράφησεν.

Ὁ δὲ Κῦρος ὁ βασιλεὺς Περσῶν ἀπέλυσεν ἐκ τῆς αἰχμαλωσίας τοὺς υἱοὺς Ἰσραὴλ πάντας εὐθέως ἢ μόνον τὰ βασίλεια

15. *Κύριος* Ox. 18. *Θάλης*] V. Bentleius p. 71.

viae ejus rectae. Ipse aedificabit urbem meam, et Captivitatem populi mei dimittet, sine pretio, aut muneribus: dixit Dominus Sabaoth."

Haec ubi audisset rex Cyrus, Danielis ad pedes procidit, et, vivit, inquit, Dominus Deus tuus; ego dimittam ex regno meo populum Jsraeliticum; ut Deum suum colant Hierosolymis. Tum exercitum suum contra Croesum eduxit.

Croesus autem, audito Oraculi responso, in Cyrum egressus est, ingenti cum exercitu. Trajecto autem Haly, Cappadociae fluvio, cum Cyro congressus est, multa tum hyeme: ab eo vero devictus, fuga sibi suisque consulere, in animo habuit: verum ab amnis exundatione impeditus, nec fugere potuit, nec trajicere. Ipse itaque vivus captus est; quadringenta etiam millia militum ceciderunt: superstites vero Cyrus, cum Croeso ipso, captivos adduxit. Eum vero in tripode ligneo positum, exercitui suo triumphandum praebuit: deinde in Persidem eum abduxit. Ista vero scriptis mandarunt Thales, Castor, et Polybius, Scriptores sapientissimi: et post hos, Herodotus Historiographus: sicut et sapiens Theophilus in Chronographia sua tradidit.

Cyrus autem, rex Persarum, in regnum suum reversus, quoscunque ex populo Israelitico captivos habuit, liberos esse jussit, et Zorobabele

αὐτοῦ κατέλαβεν ἐπὶ Ἱεροσόλυμα μετὰ Ζοροβάβελ ἐξελθεῖν· σκῆπτρα δὲ δύο ἥμισυ, ἄνδρες καὶ γυναῖκες καὶ παιδία, τὸν ἀριθμὸν μυριάδες πέντε, ἔμειναν εἰς τὰ Περσικὰ ἰδίᾳ προαιρέσει,
D φοβηθέντες τὰ ὄντα ἔθνη πέριξ. τὰ δὲ ἐννέα ἥμισυ ἐπανῆλθον, καθὼς Τιμόθεος ὁ χρονογράφος συνεγράψατο. ἀπέλυσε δὲ αὐτοὺς τοῦ Δανιὴλ αἰτήσαντος αὐτόν.

Μετὰ δὲ τὸ ἀπολέσθαι τὴν βασιλείαν τῶν Λυδῶν οἱ Σάμιοι
O 201 θαλασσοκρατήσαντες ἐβασίλευσαν τῶν μερῶν ἐκείνων. καὶ ἀκούσας μετὰ χρόνους Κῦρος ὁ βασιλεὺς Περσῶν, ἐπεστράτευσε κατ' αὐτῶν, καὶ συμβαλὼν αὐτοῖς ναυμαχίᾳ πολεμήσας ἡττήθη καὶ ἔφυγε, καὶ ἐλθὼν εἰς τὴν χώραν αὐτοῦ ἐσφάγη· περὶ οὗ πολέμου Κύρου καὶ τῶν Σαμίων ὁ σοφώτατος Πυθαγόρας ὁ Σάμιος συνεγράψατο· ὅστις καὶ εἶπεν αὐτὸν Κῦρον τεθνάναι εἰς τὸν πόλεμον. ταῦτα δὲ πάντα καὶ ὁ σοφὸς Ἀφρικανὸς ἐχρονογράφησε.

E Μετὰ δὲ τὴν βασιλείαν Κύρου ὁ υἱὸς αὐτοῦ Δαρεῖος ὁ καὶ Καμβύσης καὶ ἄλλοι πολλοὶ ἐβασίλευσαν Ἀσσυρίων. ἐπὶ δὲ τῶν χρόνων τῆς βασιλείας Δαρείου, τοῦ υἱοῦ Κύρου, ἐφιλοσόφει παρ' Ἕλλησιν Ἀναξίμανδρος. ὅστις εἶπε τὴν γῆν μέσην εἶναι τοῦ παντὸς κόσμου, καὶ τὸν ἥλιον οὐκ ἐλάττω τῆς γῆς ὑπάρχειν, ἀρχὴν δὲ τῶν πάντων ἀέρα· ἐξ αὐτοῦ γενέσθαι καὶ τὰ πάντα εἰς
V 67 αὐτὸν ἀναλύεσθαι. καὶ τὴν τοῦ ἀνθρώπου ψυχὴν ἀερίαν καὶ τὸ πᾶν πνεῦμα ἀπεφήνατο, μάταιον λογισμὸν πλάνης παρεισάγων.

1. σκῆπτρα Ch., Cedrenus, σκῆπτρον Ox.

duce, Hierosolymam repetere. Duae autem tribus, cum dimidia, virorum scilicet cum uxoribus liberisque quinquaginta millia, (quia ita ipsae voluerant, nempe metuentes sibi a circumvicinis gentibus:) in Perside remanserunt. Reliquae autem tribus novem, cum dimidia, in patriam suam redierunt: sicuti scripsit Timotheus Chronographus. Liberati autem sunt Judaei, Daniele impetrante.

Everso autem Lydorum regno, Samii, maris imperio potiti, regionibus istis imperitarunt: quod cum postea temporis Cyrus, Persarum rex, intellexisset, arma contra eos movit, commissoque cum iis praelio navali, victus, in fugam vertitur: et in terram suam reversus, interemptus est. Cujus inter Cyrum et Samios belli historiam, sapientissimus Pythagoras Samius contexuit: qui et autor est, Cyrum in ipso bello occubuisse. Haec autem omnia Africanus, in Chronographia sua, scripta reliquit.

Cyro successit in regno Assyriorum filius ejus Darius, qui et Cambyses: et hunc, alii plures. Temporibus autem regis Darii, filii Cyri, floruit inter Graecos Anaximander Philosophus. Docuit is, Terram mundi totius esse Centrum; Solem vero ipsa terra nihilo minorem esse: Aerem autem rerum omnium esse Principium; ex quo omnia ortum ducunt, et in quem resolvuntur. Spiritum praeterea quemcunque, ipsamque adeo Animam Humanam Aeriam esse, affirmavit; futiliter satis et inepte phi-

καὶ τὰς ἰσημερίας δὲ καὶ τὰς τροπὰς αὐτὸς ἐξέθετο. καὶ ὁ προει-
ρημένος δὲ Πυθαγόρας ὁ Σάμιος τὴν ἀριθμητικὴν συνεγράψατο·
καὶ δόγμα παρεισήγαγεν Ἕλλησιν δοξάζων ἀσωμάτους τινὰς εἶ- O 202
ναι ἀρχάς. ταῦτα δὲ ὁ σοφὸς Τιμόθεος ἐν τοῖς συγγράμμασιν
αὐτοῦ ἀπεμνημόνευσεν.

Ἐν δὲ τῇ βασιλείᾳ Δαρείου, υἱοῦ Κύρου, πόλεμος ἐκινήθη
ὑπὸ Αἰθιόπων κατ' αὐτοῦ· οἵτινες κακῶς αὐτὸν ἔφερον. τοῦτο
δὲ γνόντες οἱ ἐν τῇ Μήδων χώρᾳ κατοικοῦντες Ἰουδαῖοι, ἀφέντες
κατέλαβον τὴν Ἱερουσαλήμ· ἦν δὲ πλῆθος πολὺ Ἰουδαίων. καὶ B
μαθὼν τοῦτο Δαρεῖος ὁ Κύρου, ἀπέστειλε τὸν στρατηγὸν αὐ-
τοῦ κατ' αὐτῶν ὀνόματι Ὀλοφέρνην μετὰ δυνάμεως πολλῆς
εἰς τὰ Ἱεροσόλυμα. καὶ ἐπολιόρκει τὴν Ἱερουσαλήμ, καὶ συνέβη
τι φοβερὸν γενέσθαι τότε. Ἰουδὶθ γάρ τις ἦν γυνὴ Ἑβραία, καὶ
ἐμηχανήσατο κατὰ τοῦ ἐξάρχου Περσῶν Ὀλοφέρνου, προσποιητὴ
οὖσα ὡς τὸ ἔθνος, φησί, τῶν Ἰουδαίων θέλουσα προδοῦναι. καὶ
παρεγένετο πρὸς αὐτὸν κρυπτομένη· καὶ ἑωρακὼς αὐτῆς τὴν εὐ-
μορφίαν ὁ Ὀλοφέρνης, εἰς ἔρωτα αὐτῆς ἐνέπεσε. καὶ λέγει αὐτῷ
ὅτι Μηδένα ἐάσῃς ἐνταῦθα εἶναι ἔγγιστά μου δι' ἐμέ, ὅτι ἐπέρ-
χονταί μοι πορνεῦσαί με βουλόμενοι· καὶ πεισθεὶς μόνος μετ'
αὐτῆς διῆγε. τρεῖς δὲ αὕτη προσκαρτερήσασα αὐτῷ ἡμέρας, ὡς C
καθεύδει μετ' αὐτοῦ νυκτός, ἐγερθεῖσα τὴν κεφαλὴν αὐτοῦ ἀφεί-
λετο· καὶ μέσης νυκτὸς ἐξελθοῦσα διὰ τοῦ παραπυλίου εἰσῆλθεν
εἰς τὰ Ἱεροσόλυμα, τὴν κεφαλὴν αὐτοῦ βαστάζουσα. καὶ ἐπέ- O 203

18. μου] σου Cedrenus p. 139. A.

losophatus. Aequinoctia etiam, Solstitiaque exposuit. Antedictus Pythagoras Samius, Arithmeticam conscripsit: Dogma etiam illud, de Principiis incorporeis, in Graeciam introduxit. Scripta autem reliquit ista sapiens Timotheus, in Commentariis suis.

Eodem regnante Dario, Cyri filio, bella contra eum movebant Aethiopes, ipsumque graviter vexabant: quod ubi rescivissent Judaei, Mediam incolentes, (quorum quidem ingens erat multitudo,) Media relicta, Hierosolymam repetebant. Hoc autem ubi Dario nunciatum est, Holophernem, ducem suum, magno cum exercitu, adversus Hierosolymam misit; qui et urbem obsidione cinxit. Accidit eo tempore admirandum quoddam facinus. Mulier quaedam erat Hebraea, nomine Judith, quae Holopherni, Persarum Duci, struxit insidias. Mulier autem prae se ferebat, prodere se ei velle Judaeorum gentem: Ideoque secreto eum adiit. Holophernes vero, forma ejus conspecta, amore illius captus est. Juditha vero eum monuit, ne quem suorum circa se ipsam esse permitteret: castitatis suae ab iis periculum causata. Holophernes itaque fidem ei adhibens, solus cum ea vixit. Cumque per tres dies apud eum commorata fuisset, inter dormiendum cum illo, mulier assurgens, caput ei amputavit: media deinde nocte per posticam egressa, caput ejus Hierosolymas secum deportavit. Prope enim ipsius urbis moenia, Judithae causa, ten-

τρεψε τοῦ κρεμασθῆναι αὐτήν· πλησίον γὰρ τοῦ τείχους δι'
αὐτὴν τὸν παπυλεῶνα αὐτοῦ ἔστησεν ὁ Ὀλοφέρνης. λαβόντες
οὖν οἱ Ἰουδαῖοι παρ' αὐτῆς τὴν κεφαλὴν εἰς κοντὸν ἐπάνω τοῦ
τείχους ἔπηξαν πρὸ αὔγους, ἐπιδεικνύντες αὐτὴν τῷ στρατῷ αὐ-
τοῦ. πρωίας δὲ γενομένης, ἑωρακότες οἱ Πέρσαι τὴν κεφαλὴν
Ὀλοφέρνου κοντευθεῖσαν, ὑπενόησαν ὅτι διὰ δυνάμεώς τινος
τοῦτο ἐγένετο καὶ ἔφυγον· καὶ διελύθη ὁ πόλεμος, καὶ νίκην ἔλα-
D βον οἱ Ἰουδαῖοι κατὰ Περσῶν. ταῦτα δὲ ἐν ταῖς Ἑβραϊκαῖς ἐμ-
φέρεται γραφαῖς. ταῦτα δὲ Εἰρηναῖος ὁ σοφὸς συνεγράψατο.

*Μετὰ δὲ τὴν βασιλείαν Δαρείου ἐβασίλευσεν Ἀσσυρίων Ἀρ-
ταξέρξης· καὶ Νεεμίας ὁ ἱερεὺς ὁ ὢν ἐκ τοῦ σπέρματος Δαβίδ,
παῤῥησίαν ἔχων πρὸς αὐτόν, ἐδυσώπησε τὸν Ἀρταξέρξην· ἠγάπα
γὰρ αὐτόν, ὅστις καὶ ἄρχειν αὐτὸν τῶν εὐνούχων ἐποίησε· καὶ
O 204 λαβὼν χρήματα πολλὰ ἔπεισεν ἀπολυθῆναι αὐτὸν καὶ ἀπελθεῖν
τοῦ κτίσαι τὴν Ἱερουσαλὴμ τὴν πορθηθεῖσαν· πρώτη γὰρ αὕτη
τῆς Ἱερουσαλὴμ ἅλωσις καὶ τοῦ ἱεροῦ καταστροφή. ὁ δὲ Νεεμίας
ἀπολυθεὶς ἀνῆλθεν εἰς Ἱερουσαλήμ, καὶ ἀνήγειρεν αὐτὴν καὶ τὸ
τεῖχος τῆς πόλεως, καὶ τὰς πλατείας αὐτῆς ἐποίησεν εὐρυχώρους,
E καὶ βελτίω αὐτὴν κατέστησεν· ἦν γὰρ ἔρημος ἐπὶ ἔτη ο'. αὕτη
ἦν ἡ δευτέρα τοῦ ἱεροῦ ἀνοικοδομή. ἐπληρώθη δὲ τὸ ἱερὸν δι'
ἐτῶν μ'. ὁ δὲ αὐτὸς Ἀρταξέρξης παρακληθεὶς ὑπό τινων τῆς
συγκλήτου αὐτοῦ, καὶ τοὺς ὑπολοίπους Ἰουδαίους ἀπέλυσε, καὶ
εἴτις ἐὰν ἠβουλήθη τότε ἀνελθεῖν εἰς τὴν Ἱερουσαλήμ, ἀνῆλθε

4. αὔγους] αὐγοῦς Ox. 14. ἔπεισεν Cedrenus p. 139. B, ἐποίη-σεν Ox.

torium suum fixerat Holophernes. Judaei autem caput ab ea accipientes, conto impactum, e muro anteluculo extulerunt, ostentantes illud Holophernis exercitui. Aurora autem illucescente, Persae Holophernis caput conto impositum conspicientes, effectumque hoc a Numine quodam existimantes, terga dederunt: atque sic dissolutum est bellum, Judaeis contra Persas victoria potitis: uti hoc constat ex scriptura Hebraica. Haec etiam sapiens Irenaeus memoriae mandavit.

Dario successit in regno Assyriorum Artaxerxes. Neemias autem Sacerdos, ex semine Davidis, qui apud regem plurimum poterat, (summe enim sibi charum habuit, ipsumque adeo Eunuchis suis praefecerat;) impetravit ab eo, uti libertati suae restitutus et pecuniis instructus, mitteretur ad Hierosolymarum ruinas instaurandas. Erat enim haec prima urbis Hierosolymitanae captivitas; prima etiam Templi eversio. Neemias itaque dimissus, Hierosolymas rediit; et ruinas ejus excitavit; plateas ejus ampliores fecit, urbemque adeo totam in melius redegit: quae quidem deserta erat per annos LXX. Tum etiam et Templum instauratum est: cujus secunda fabrica spatio XL. annorum absoluta est. Sed et Artaxerxes etiam Primoribus suis quibusdam ad id adductus, Judaeos etiam reliquos in patriam suam remisit. Liberum itaque cuique fuit, Hieroso-

μετὰ Ἔσδρα τοῦ προφήτου καὶ ἡγουμένου· ᾧτινι καὶ τὰ ἱερὰ
σκεύη ἔδωκε καὶ τὰς βίβλους τὰς ἱερατικὰς τὰς εὑρεθείσας· ὁ δὲ
αὐτὸς Ἔσδρας τῶν μὴ εὑρεθέντων βιβλίων ἀπὸ ὑπομνήσεως αὐ- V 68
τοῦ γράφεσθαι τὰ ὑπομνήματα ἐποίησεν.

Ἐν δὲ τοῖς αὐτοῖς χρόνοις ἐβασίλευσεν ἡ Μακεδονία χώρα· ἐν
ᾗ πρῶτος ἐβασίλευσεν ὁ Κραναὸς ἔτη κη'. καὶ λοιπὸν ἐβασίλευ-
σαν ἄλλοι κγ' ἕως Φιλίππου. ἦσαν δὲ τότε τὰ τῶν Ἑλλήνων δι-
δάσκοντες φιλόσοφοι καὶ ποιηταὶ Σοφοκλῆς καὶ Ἡρακλείδης
καὶ Εὐριπίδης καὶ Ἡρόδοτος καὶ Σωκράτης καὶ ὁ μέγας Πυ-
θαγόρας. ἦν δὲ Ἡρακλῆς γεννηθεὶς ἐν τοῖς προειρημένοις ἀνω- O 205
τέρω χρόνοις ἐν Λατῷ τῆς Θηβαΐδος, ἐκ γένους ὑπάρχων τοῦ
Ἡρακλέος τοῦ ἐκ τῆς Ἀλκμήνης καὶ τοῦ Πίκου Διός· ὅστις ἀνε- B
τράφη ἐν τῇ Ἱσπανίᾳ χώρᾳ, καὶ ἀνδρεῖος γενόμενος ἦλθε τότε
ἀπὸ τῆς Ἱσπανίας ἐπὶ τὴν Ἰταλίαν, φυγὼν τὸν Εὐρυσθέα βασι-
λέα· καὶ ἐβασίλευσεν ἔτη λη'. ὅστις ἔλαβε γυναῖκα τὴν Αὔγην,
τὴν Ἀλέου θυγατέρα βασιλέως, ἐβασίλευσε δέ, ὡς ἐκ τοῦ γένους
καταγόμενος τοῦ Πίκου Διός· ὅθεν καὶ στήλας αὐτῷ χρυσᾶς
καὶ πορφυρᾶς ἀνέστησαν οἱ Ἰταλοὶ καὶ βασιλεῖς, ἤτοι ῥῆγες, ἐκ
τοῦ γένους αὐτοῦ βασιλεύσαντες ἐν τοῖς ἐσχάτοις τῆς δύσεως μέ-
ρεσιν· αἵτινες στῆλαι ἕως τοῦ παρόντος ἵστανται.

6. *Κραναός*] Sic etiam Cedrenus p. 139. D. 7. *κγ'*] *κβ'* dicere debebat. V. ad p. 22. A. 8. *Ἡρακλείδης*] Scribe *Ἡράκλειτος* cum Cedreno, Polluce p. 144. 11. *ἐκ γένους ὑπάρχων* [*τοῦ Ἡρακλέος, τοῦ ἐκ*] *τῆς Ἀλκμήνης καὶ τοῦ Πήκου Διός.*] „Ista, quae uncis inclusa sunt, desiderantur apud Cedrenum." Ch. 12. *Πήκου* Ox., ut solet. 15. *Αὐγὴν* Ox. Sic et infra.

lymas redire, cum Esdra Propheta; quem et Ducem habuerunt: quin etiam sacra reddebantur vasa; libri etiam Sacerdotales, quicunque inveniri poterant: eorum vero qui non inventi erant, Esdras ipse, ex Memoria sua, describendi copiam fecit.

Illis temporibus Macedonia Regi parere coepit. Regnavit illic primus Cranaus, annis XXVIII, et post eum alii XXIII, usque ad Philippum. Circa idem tempus floruerunt apud Graecos, Philosophi et Poetae, Sophocles, Heraclides, Euripides, Herodotus, Socrates etiam et Magnus Pythagoras. Temporibus autem supra memoratis, natus est Hercules, in Lato Thebarum; genus ducebat is ab Hercule, Pici Jovis et Alcmenae filio. In Hispania enutritus est; unde, cum virilior factus esset, in Italiam, cavens sibi ab Eurystheo rege, se recepit: ubi regnavit per annos XXXVIII. uxorem habuit Augen, Alei regis filiam, Italiae vero regnum vendicavit sibi, ut qui ex Jove Pico oriundus esset. Unde et, qui eum secuti sunt, ex genere ipsius, Italiae reges, statuas ei aureas et Porphyreticas, et in Occidentis finibus posuerunt: quae et etiamnum stantes visuntur.

Εἰσὶν οὖν ἀπὸ Ἀδὰμ ἕως τῶν χρόνων τούτων ἔτη ͵ετξβʹ.

C Καὶ μετὰ Ἀρταξέρξην ἐβασίλευσαν τῶν Ἀσσυρίων ἄλλοι πολλοὶ ἕως Δαρείου τοῦ νεωτέρου.

Τῆς δὲ Ἰταλίας ἐβασίλευσεν ὁ υἱὸς τοῦ Ἡρακλέος ὁ ἀπὸ τῆς Αὔγης, ὁ Τήλεφος. καὶ μετ' αὐτὸν ἐβασίλευσεν ὁμοίως ὁ υἱὸς αὐτοῦ, ὅντινα Λατῖνον ἐκάλεσεν· ἐβασίλευσε δὲ ἐν τῇ χώρᾳ ἐκείνῃ αὐτὸς Λατῖνος ἔτη ιηʹ, καὶ ἐκ τοῦ ἰδίου ὀνόματος τοὺς Κιτιαίους καλουμένους ἐπωνόμασε Λατίνους.

O 206 Τότε δὲ Αἰνείας ὁ Ἀγχίσου ὁ Φρὺξ φεύγων ἐκ τῆς πορθήσεως τοῦ Ἰλίου, ἤτοι τοῦ Τρωικοῦ πολέμου, ἀπῆλθεν ἐπὶ τὴν Λιβύην πρὸς τὴν Φοίνισσαν Διδὼ τὴν καὶ Ἐλισσάν. καὶ ἐνδιατρίψας ἐκεῖ, λάθρᾳ ἐάσας αὐτὴν ἔφυγεν, ὡς φοβηθεὶς τὸν D Ἰάρβα, βασιλέα τῆς Ἀφρικῆς· καθὰ Βεργίλλιος ὁ σοφὸς Ῥωμαίων ποιητὴς συνεγράψατο. ὁ δὲ σοφώτατος Σέρβιος ὁ Ῥωμαῖος ἐν τοῖς αὐτοῦ συγγράμμασιν ἐξέθετο, εἰπὼν ὅτι μετὰ τὸ τελευτῆσαι τὸν Αἰνείαν ἔτη πολλὰ ἦν ἡ Διδὼ ἀπὸ πόλεως μικρᾶς λεγομένης Χαρτίμας, οὔσης τῆς παράλου Φοινίκης, μεταξὺ τῶν ὁρίων Τύρου καὶ Σιδῶνος. ἥτις Διδὼ ἦν πλουσιωτάτη· ἔσχε δὲ ἄνδρα τινὰ ὀνόματι Συχαῖον, ὄντα καὶ αὐτὸν πλούσιον σφόδρα. τὸν δὲ αὐτὸν Συχαῖον ἐφόνευσεν, ὡς κυνηγοῦντα, ὁ ἀδελφὸς τῆς

5. Τήλεφος] *Τελέβοος* Cedrenus. Vid. Bentlei. p. 73. 6. δὲ δὲ Ox. 7. *Κιτιαίους*] *Σκιτίνους* Ox., *Κτηταίους* Cedrenus, eodem modo corrigendus. 9. *Αἰνείας* Ch., *Αἰνίας* Ox. 13. *Ἰάρβα*] Scr. *Ἰάρβαν*. *Ἰορδάν* Cedrenus. Eodem fere modo in homine cognomine variant libri Eutropii V. 9. 17. *Χαρτίμας*] *Χαρτικῆς* Cedrenus.

Ab Adamo autem, usque ad haec tempora, anni effluxerunt MMMMMCCCLXII.

Post Artaxerxem vero Assyriis imperaverunt alii plurimi usque ad Darium secundum.

Italiae autem regnavit Telephus, Herculis ex Auge filius. Telepho etiam successit filius ejus, nomine Latinus. Regnum hic tenuit, per annos XVIII; quique antea Scitini vocabantur, Latinos eos, a nomine suo appellavit.

Eodem tempore Aeneas Phryx, Anchisae filius, post Ilii excidium bellumque Trojanum, fuga sibi prospiciens, Libyam profectus est, ad Didonem, quae et Elissa dicta est, a Phoenicibus oriundam. Non diu autem ibi commoratus, Didone relicta, clam aufugit; nempe metuens sibi ab Jarba, rege Africae: sicut Virgilius, sapiens Romanorum Poeta scriptum reliquit. Juxta autem ac Servius sapientissimus Romanus, in scriptis suis tradidit, ita hoc modo se res habet. Longo post Aeneam mortuum tempore, Dido erat; oriunda quidem ex Chartima, exigua et maritima Phoeniciae urbe, quae fines Tyri et Sidonis interjacet. Erat autem haec opulentissima; sicuti et fuerat etiam Sichaeus, maritus ejus:

Διδὼ ὀνόματι Πυγμαλίων, διαφθονούμενος αὐτῷ, ὡς πολὺ εὐπόρῳ καὶ κελεύοντι πάσῃ τῇ χώρᾳ ἐκείνῃ. ἦσαν γὰρ οἱ δύο ἔφιπποι καταδιώκοντες σύαγρον καὶ βαστάζοντες βήναβλα· ἐκ E τῶν ὀπισθίων οὖν ἐλθὼν ὁ Πυγμαλίων δέδωκε τῷ Συχαίῳ κατὰ O 207 τοῦ νώτου αὐτοῦ τῇ λόγχῃ, καὶ ἐφόνευσεν αὐτόν· ἦν γὰρ γενναῖος· καὶ λαβὼν τὸ λείψανον αὐτοῦ ἔῤῥιψεν εἰς κρημνόν. καὶ ὑποστρέψας εἶπε τοῖς διαφέρουσιν αὐτῷ καὶ τῇ γαμετῇ αὐτοῦ ὅτι ὡς κατεδίωκε τὸν σύαγρον κατεκρημνίσθη. ἠβούλετο δὲ ὁ αὐτὸς Πυγμαλίων καὶ τὴν αὐτοῦ ἀδελφὴν φονεῦσαι καὶ λαβεῖν τὰ χρήματα πάντα. ἥτινι Διδὼ ἐφάνη ἐν ὁράματι ὁ αὐτῆς ἀνὴρ Συχαῖος καὶ εἶπεν αὐτῇ, Φύγε, μή σε φονεύσῃ Πυγμαλίων, δείξας αὐτῇ καὶ τὸν τόπον τῆς πληγῆς. καὶ λοιπὸν ἡ αὐτὴ Διδὼ λα- V 69 θοῦσα τὸν ἑαυτῆς ἀδελφὸν Πυγμαλίωνα, καὶ εὑροῦσα καιρόν, ἔλαβε πάντα τὰ χρήματα τὰ ἑαυτῆς, καὶ βαλοῦσα εἰς πλοῖα μετὰ τῶν ἰδίων ἀνθρώπων αὐτῆς φυγοῦσα ἀπέπλευσεν ἐκ τῆς Φοινίκης, καὶ ἦλθεν εἰς τὴν Λιβύην, χώραν τῆς Ἀφρικῆς. καὶ κτίζει ἐκεῖ πόλιν μεγάλην πάνυ, ἣν ἐκάλεσε Καρτάγεναν· καὶ ἐβασίλευσεν ἐν αὐτῇ, καὶ ἐκεῖ τελευτᾷ σωφρόνως ζήσασα.

Ὁ δὲ Αἰνείας χρησμὸν λαβὼν ἀπέπλευσεν ἀπὸ τῆς Λιβύης, βουλόμενος ἐπὶ τὴν Ἰταλίαν ἐλθεῖν. ἀνέμου δὲ ἐναντίου γενομένου, ἐξεῤῥίφη μετὰ τῶν ἰδίων πλοίων πλησίον τῆς Σικελίας εἰς τὴν Καλαβρίαν ἐν πόλει λεγομένῃ Ἀργυρίππῃ, τῇ κτισθείσῃ ὑπὸ Διομήδους τοῦ Τυδέως. ὅστις ὑπῆρχεν Αἰτωλὸς τῷ γένει, B

17. *Καρτάγεναν*] *Χαρταγαίναν* Ox. Conf. vol. II. p. 68. B.

cui Didonis frater, Pygmalion, invidens, (tum quod ditissimus esset, tum etiam quod omnem in exercitu regionem sibi subjectam teneret:) eum, inter venandum, trucidavit. Cum enim duo isti, venabulis instructi, equites aprum persequerentur; Pygmalion, tergo veniens, Sichaeum, (qui vir erat strenuus,) dorso hasta transfixo, interfecit; corpusque ejus correptum, in praeceps dedit. Reversus autem a venatione, necessariis et uxori ejus retulit: eum, dum aprum insequeretur, praecipitem actum periisse. Habuit etiam in animo Pygmalion sororem suam e medio tollere, divitiasque ejus omnes occupare. Sed apparuit per insomnium Didoni Sichaeus conjux; qui monuit eam; Fuge, (inquiens,) ne te Pygmalion occidat: simulque ei vulneris locum ostendit. Dido itaque, tempus nacta opportunum, clam fratre, divitias suas omnes congerit: quibus in naves conjectis, simul cum suis ex Phoenicia fugiens, in Libyam, Africae regionem, pervenit: ubi urbe maxima extructa, Carthaginem appellavit: ibique sedem regni constituens, vitam pudice actam absolvit.

Aeneas autem Oraculo monitus a Libya solvit, in Italiam navigaturus: sed adversis jactatus ventis, delatus est cum classe sua ad Argyrippam, Calabriae urbem, non procul a Sicilia sitam. Conditorem habuit urbs ista Diomedem, Tydei filium: Tydeus autem, Aetolia oriundus, ab

φέρων τὴν συγγένειαν ἐκ τοῦ Οἰνέως, βασιλέως τῆς Αἰτωλίας. ὅστις Οἰνεὺς ἀγαγόμενος γυναῖκα ὀνόματι Ἐρίβοιαν ἔσχεν ἐξ
O 208 αὐτῆς τὸν Τυδέα. καὶ ἐτελεύτησεν ἡ Ἐρίβοια, καὶ ἠγάγετο ἑτέραν γυναῖκα ὀνόματι Ἀλθαίαν· καὶ ἔσχεν ἐξ αὐτῆς τὸν Μελέαγρον καὶ θυγατέρα ὀνόματι Δηιάνειραν. νεώτερός τις ὀνόματι Ἀχελῷος, υἱὸς Ποσειδωνίου, συγκλητικοῦ τοῦ Τυδέως, ἐμνηστεύσατο. ὁ δὲ Ἀχελῷος πρὸ τοῦ γάμου ἔφθειρε τὴν Δηιάνειραν λάθρᾳ, καὶ μετὰ ταῦτα λέγει τῷ πατρὶ αὐτῆς τῷ Οἰνεῖ, Οὐκ ἄλλως λαμβάνω τὴν θυγατέρα σου, εἰ μὴ παραχωρήσεις μοι τὸ βασίλειόν σου διοικεῖν. ὁ δὲ οὐκ ἐπείσθη αὐτῷ· καὶ λοιπὸν σὺν τῷ
C ἰδίῳ πατρὶ ἀντῆρεν ὁ Ἀχελῷος τῷ Οἰνεῖ καὶ ἐπολέμησεν αὐτῷ. καὶ ἠναγκάσθη ὁ Οἰνεὺς προτρέψασθαι ἐκ τῆς Φθίας χώρας στρατηγὸν γενναῖον, Ἡρακλέα τὸν λεγόμενον Πολύφημον, συνταξάμενος διδόναι αὐτῷ τὴν ἑαυτοῦ θυγατέρα τὴν Δηιάνειραν. ὅστις κατελθὼν μετὰ τῆς ἐνόπλου αὐτοῦ στρατιᾶς συνέβαλε πόλεμον μετὰ Ποσειδωνίου καὶ τοῦ υἱοῦ αὐτοῦ Ἀχελῴου. καὶ εἰς τὴν συμβολὴν ξίφει ὁ Πολύφημος τὸν Ποσειδώνιον ἀνεῖλε, τὸν πατέρα Ἀχελῴου· διὰ τοῦτο δὲ ἐξέθεντο οἱ ποιηταὶ ὅτι τὸ κέρας τοῦ Ἀχελῴου ἀπέσπασεν ὁ Ἡρακλῆς, ὅπερ ἐστὶ τὴν πατρικὴν αὐτοῦ δύναμιν. καὶ ἑωρακὼς τὸν ἴδιον αὐτοῦ πατέρα πεσόντα, φεύγει ἔφιππος· διὸ καὶ γράφουσιν αὐτὸν ἱπποκένταυρον. καὶ ἐν τῷ
D καταδιώκειν αὐτὸν τὸν Πολύφημον Ἡρακλέα στραφεὶς τοξεύει

5. *νεώτερός τις, ὀνόματι Ἀχελῷος*] „Legendum *ἥντινα νεώτερός τις*. Cedrenus, *ἐξ ἧς ἔσχε τὸν Μελέαγρον, καὶ τὴν Δηιάνειραν, ἥντινα ἡρμόζετο Ἀχελῷος.*" Ch. *ibid.* *Ἀχελῷος* Ox. semper. 15. *στρατιᾶς* Cedrenus, *στρατειᾶς* Ox.

Oeneo, Aetolorum rege genus ducebat: qui uxorem habuit Eriboeam, Tydei matrem. Eriboea autem fatis defuncta, uxorem duxit alteram, nomine Althaeam: ex qua filium suscepit Meleagrum; filiamque Deianiram. Hanc juvenis quidam, Achelous, Posidonii filius, qui Tydei ex consiliariis fuit, desponsatam sibi habens, ante nuptias clanculum vitiavit: deinde vero Oeneo, patri ejus, dixit, filiam illius se non alia conditione ducturum, nisi et regni administrationem etiam sibi concederet. Oenoe vero renuente, Achelous, cum patre suo, bellum ei infert. Necessitate igitur adactus Oeneus, in auxilium sibi, ex Phthia regione, ducem strenuum, Herculem quendam, qui et Polyphemus dictus est, vocavit: cui etiam in uxorem dare Deianiram filiam promisit. Polyphemus itaque, cum exercitu veniens, in Posidonium filiumque ejus Acheloum, arma movit. In ipso autem congressu, Polyphemus Posidonium, Acheloi patrem, gladio peremit. Unde Poetae fabulantur, Herculem Acheloi cornu avulsisse; Paternum scilicet auxilium. Achelous autem, ubi patrem caesum vidit, fugam eques capessit, unde et eum Hippocentaurum fuisse fingunt. Fugientem autem Acheloum dum Polyphemus insequitur, conversus Ache-

αὐτὸν κατὰ τοῦ μαστοῦ· καὶ εὐθέως ὁ Ἡρακλῆς ἀντετόξευσε τὸν O 209 Ἀχελῷον, ὡς περᾷ τὸν ποταμὸν ὀνόματι Φορβάν. καὶ φιβλωθεὶς ὁ Ἀχελῷος κατηνέχθη ἀπὸ τοῦ ἵππου εἰς τὰ ῥεῖθρα τοῦ ποταμοῦ καὶ ἀπώλετο. καὶ μετεκλήθη ἔκτοτε ὁ αὐτὸς ποταμὸς ἀπὸ τῶν τῆς Αἰτωλίας χώρας Ἀχελῷος ἕως τῆς νῦν, καθὰ Κεφαλίων ὁ σοφὸς ἐξέθετο. ὁ δὲ Πολύφημος Ἡρακλῆς ἐκ τῆς πληγῆς τοῦ μαστοῦ μεθ' ἡμέρας τινὰς τελευτᾷ.

Μελέαγρος δὲ ὁ τοῦ Οἰνέως υἱός, ἀδελφὸς δὲ τοῦ Τυδέως καὶ Δηιανείρας, ἐποίησεν ἆθλον μέγαν ἐν τῇ Καλυδωνίᾳ χώρᾳ, φονεύσας κάπρον φοβερόν, τῆς Ἀταλάντης τῆς θυγατρὸς τοῦ Σχοινέως οὔσης μετ' αὐτοῦ· ἥτις προποιήσασα τοξεύει τὸν E σύαγρον· ἐλυμαίνετο γὰρ οὗτος ὁ θὴρ πᾶσαν τὴν χώραν ἐκείνην. καὶ μετὰ τὴν ἀναίρεσιν τοῦ θηρὸς τὸ δέρμα αὐτοῦ ἐχαρίσατο ὁ Μελέαγρος τῇ Ἀταλάντῃ, εἰς ἔρωτα αὐτῆς βληθείς. ἀπελθὼν δὲ ὁ Μελέαγρος πρὸς τὸν ἑαυτοῦ πατέρα Οἰνέα, ἀπῃτήθη O 210 παρ' αὐτοῦ τὰ νικητήρια τοῦ θηρός· καὶ μαθὼν ὅτι τῇ Ἀταλάντῃ τὸ δέρμα ἐχαρίσατο, ὀργισθεὶς κατὰ τοῦ ἰδίου υἱοῦ, ὃν εἶχε θαλλὸν ἐλαίας, φυλαττόμενον παρὰ τῇ Ἀλθαίᾳ τῇ ἑαυτοῦ V 70 μὲν γυναικί, μητρὶ δὲ τοῦ Μελεάγρου, ὅντινα θαλλὸν τῆς ἐλαίας ἡ Ἀλθαία ἔγκυος οὖσα ἐπιθυμήσασα ἔφαγε, καὶ καταπιοῦσα τὸ φύλλον τῆς ἐλαίας εὐθέως τεκοῦσα συνεγέννησε τὸ τῆς ἐλαίας φύλλον σὺν τῷ Μελεάγρῳ· περὶ οὗ χρησμὸς ἐδόθη τῷ πατρὶ αὐτοῦ τῷ Οἰνεῖ τοσοῦτον χρόνον ζῆν τὸν Μελέαγρον

9. *μέλαν* Ox. 13. *ἀναίρησιν* Ox. 18. 19. *θαλλὸν*] *θάλλον* Ox.

lous, sagitta in eum emissa, juxta mamillam vulnerat. Polyphemus autem Acheloum, dum Phorbam fluvium trajicit, sagitta vicissim petivit: quo confossus Achelous, ex equo in flumen deturbatus, ibidem periit. Flumen itaque istud Aetoli Acheloum ad hunc usque diem vocant: sicut auctor est sapiens Cephalion. Polyphemus etiam, paucos post dies, ex vulnere in mamilla accepto, interiit.

Meleager autem, Oenei filius, Tydei et Deianirae frater, egregium sane certamen obivit, aprum horrendum prosternens, in terra Calydonia. Sociam vero facinoris habuit Atalantam, Schoenei filiam: quae et ipsa aprum sagittis prius percusserat: regionem enim eam omnem vastabat fera ista. Meleager autem apri interfecti exuvium Atalantae, cujus amore captus erat, dono dedit. Meleagro vero ad Oeneum patrem reverso, occisi apri spolia sibi dari ab eo postulabat: ubi vero audisset, Atalantae illa filium dedisse; ira correptus, olivae frondem, quam uxor sua, Meleagri mater, apud se servaverat, in ignem projecit. Althaea enim uterum ferens, olivae frondem summopere expetivit: et fronde devorata, simul cum Meleagro, frondem olivae e vestigio enixa est. Oeneus vero, infantis pater, ab Oraculo accepit, filium tam diu in vivis futurum esse,

ὅσον χρόνον φυλάττεται τὸ φύλλον τῆς ἐλαίας τὸ μετ' αὐτοῦ γεννηθέν· ὅπερ φύλλον ὀργισθεὶς ὁ Οἰνεὺς εἰς πῦρ ἔβαλε, καὶ ἐκαύθη, ἀγανακτήσας κατὰ τοῦ ἰδίου υἱοῦ· καὶ παραχρῆμα ὁ Μελέαγρος ἐτελεύτησεν, ὡς ὁ σοφὸς Εὐριπίδης δρᾶμα περὶ τοῦ αὐτοῦ Μελεάγρου ἐξέθετο.

B Μετὰ δὲ τὴν βασιλείαν τοῦ Οἰνέως ἐβασίλευσε τῆς Αἰτωλίας ὁ ἄλλος υἱὸς αὐτοῦ ὁ Τυδεύς, ὁ πατὴρ τοῦ Διομήδους. ὁ δὲ Διομήδης μετὰ τὴν τελευτὴν τοῦ ἰδίου πατρὸς Τυδέως ἐβασίλευσε τῆς Ἀργείων χώρας, ἀγαγόμενος ἐκ τοῦ Ἄργους γυναῖκα ὀνόματι Αἰγιάλειαν. καὶ ἀπονοηθεὶς ὑπέταξε τὴν ἑαυτοῦ χώραν τὴν Αἰτωλίαν, πολεμήσας αὐτούς· καὶ καταλύσας τὸ βασίλειον αὐτῆς καὶ ποιήσας αὐτὴν ὑπὸ τὴν Ἀργείων βασιλείαν, τοῦτ' O 211 ἐστὶν ὑπὸ τὸ ἴδιον κράτος, καὶ εὐθέως μετὰ τῶν Ἀχαιῶν ἐξώρμησεν ἐπὶ τὸν Τρωικὸν πόλεμον. καὶ ἐπανελθὼν μετὰ τὴν νίκην τῆς Τροίας ἐπὶ τὸ ἴδιον αὐτοῦ βασίλειον οὐκ ἐδέχθη ὑπὸ τῆς ἰδίας πόλεως ἢ τῆς συγκλήτου αὐτοῦ, ἀλλ' ἀντέστησαν αὐτῷ ἐν C δυνάμει πολεμοῦντες. μαθὼν δὲ ὅτι ἡ γυνὴ αὐτοῦ ἡ Αἰγιάλεια κατασκευάζει αὐτῷ θάνατον, ὡς πορνευθεῖσα ὑπό τινος συγκλητικοῦ αὐτοῦ, ὅστις καὶ ἀνθίστατο αὐτῷ κραταιῶς, ὁμοίως δὲ ἀκούσας ὅτι ἐπορνεύθη ὑπὸ τοῦ Οἴακος, υἱοῦ τοῦ Ναυπλίου, οἵτινες διὰ τὸν πρὸς αὐτὴν ἔρωτα πολλῷ σθένει ἀντεμάχοντο αὐτῷ, καθὼς ὁ σοφὸς Δίδυμος ἐξέθετο, προσεσχηκὼς δὲ ὁ Διομήδης τοὺς ἡγεμόνας καὶ πᾶσαν τὴν Ἀργείων χώραν ἀνθισταμέ-

1. φυλάττεται Cedrenus, φυλάττετο Ox. 4. δρᾶμα Ch., δράμμα Ox. 20. Οἴακος Bentleius p. 75., Ὕακος Ox.

quam asservatam habuerit olivae frondem, eodem partu editam. Hanc autem pater, ira in filium concitatus, in ignem conjecit: qua ignibus absumpta, Meleager statim efflavit animam: uti in Dramate suo, de Meleagro isto, scriptum tradidit Euripides.

Oeneo successit in Aetolorum regno filius alter, Tydeus, pater Diomedis. Diomedes vero, patre defuncto, Argivorum regnum obtinuit; uxore Argiva ducta nomine Aegialia: caeterum insania concitus, contra Aetolos arma movens, propriam ditionem subegit: Aetoliaeque regno dissoluto, Argivorum eam, quo ipse potitus fuerat, imperio subjecit. Inde cum Achaeis, in bellum Trojanum, profectus est. Troja autem eversa, in regnum suum reversum, nec populus, nec Primores eum receperunt; sed et armis etiam eum depulerunt. Ubi antem didicisset, uxorem Aegialiam vitae suae insidias struxisse: (stuprata enim ea fuerat a quodam ex Nobilibus ejus; qui, una cum Hiace, Nauplii filio, ejusdem etiam criminis participe, ob Aegialiae amorem, summis viribus Diomedi obsistebat:) insuper etiam apud se recogitans, Argivorum Duces, totumque adeo po-

νην αὐτῷ, μὴ δυνάμενος δὲ ἀπελθεῖν μηδὲ ἐπὶ τὴν Αἰτωλίαν, τὴν ἰδίαν αὐτοῦ βασιλείαν, ὡς λύσας αὐτῆς τὸ βασίλειον, παραχωρήσας τὴν ἰδίαν αὐτοῦ βασιλείαν ἀνεχώρησεν, ἀποπλεύσας ἐπὶ τὴν Καλαβρίων χώραν· καὶ κτίζει πόλιν ἐκεῖ παραλίαν, ἣν ὠνόμασεν Ἀργυρίππην, ὡς προγέγραπται, τὴν μετακληθεῖσαν D Βενέβεντον νῦν. καὶ δεξάμενος τὸν Αἰνείαν ἐκριφέντα ἐν τῇ O 212 αὐτῇ πόλει κατέσχεν, ἐν πόλλῃ τιμῇ καὶ θεραπείᾳ ἔχων αὐτόν· καὶ συνδιῆξεν αὐτῷ ὁ Αἰνείας τὸν χειμῶνα.

Καὶ λέγει τῷ Διομήδει ὁ Αἰνείας, Ἔγνων ὅτι τὸ θεῖον Παλλάδιον τὸ ἐν τῇ Τροίῃ ἀποκείμενον ἐκομίσω, ὅπως ἐπιγραφῇ δίδοται τὸ Παλλάδιον τῷ Αἰνείᾳ. ὁ δὲ Διομήδης εἶπεν αὐτῷ ὅτι Ἐξ οὗ τοῦτο μετὰ τοῦ Ὀδυσσέως ἀφειλόμην οὐκ ἔλειψάν μοι συμφοραὶ οὔτε τῷ ἐμῷ στρατῷ· ὅθεν ἠναγκάσθην αἰτῆσαι τὴν Πυθίαν περὶ αὐτοῦ· καὶ ἐδόθη μοι χρησμὸς ἀποδοῦναι αὐτῷ τοῖς Τρωσί. καὶ εἶπεν ὁ Αἰνείας, Δός μοι αὐτό. καὶ εὐθέως ποιήσας θυσίαν ὁ Διομήδης παρέσχε τὸ Παλλάδιον τῷ Αἰνείᾳ. καὶ E λαβὼν αὐτὸ ὁ Αἰνείας, καταφθάσαντος τοῦ θέρους, ἐξώρμησεν ἐπὶ τὴν Ἰταλίαν πρὸς τὸν Λατῖνον· καὶ ἑαυτὸν συμμίξας αὐτῷ μεθ᾽ ἧς εἶχε βοηθείας ἐνόπλου στρατοῦ τῶν Φρυγῶν, ἐπολέμησαν τοῖς Ῥουστούλοις· καὶ εἰς αὐτὸν τὸν πόλεμον ὁ Λατῖνος ὁ τοῦ Τηλέφου υἱὸς ἐσφάγη, καὶ ἤνεγκαν οἱ Ῥουστοῦλοι τὰς ἐπάνω.

1. μηδὲ Cedrenus, μήτε Ox. 4. Καλαβρίων] Καλαβρίαν Cedrenus. 10. ὅπως ἐπιγραφῇ δίδοται] Haec vix sana.

pulum hostes se habere; neque integrum sibi esse, in patriam suam Aetoliam redire, cujus imperium ipse dissolverat: regno suo relicto, in Calabriam navigavit; ubi urbem condidit maritimam, quam Argyrippam, uti diximus, appellavit; Beneventum haec nunc vocatur: sicuti haec a sapiente Didymo narrantur. Ad hanc ipsam urbem ventis jactatum Aeneam Diomedes humaniter et honorifice excepit: cujus etiam hospitio usus est Aeneas per totam Hyemem.

Diomedem autem Aeneas affatus; Novi, inquit, divinum Palladium, Trojae olim religiose asservatum, et a Te exinde delatum, ex Inscriptione mihi Aeneae deberi. Ad haec Diomedes; ex quo, inquit, Palladium hoc ab Ulisse accepi, multas ego exercitusque meus calamitates experti sumus. Coactus itaque Oraculum de hac re consulere, responsum tuli; Palladium Trojanis reddendum esse. Mihi itaque reddas: inquit Aeneas. Diomedes igitur, sacris rite peractis, Palladium Aeneae tradidit. Aeneas autem, Palladio accepto, aestate tum ineunte, in Italiam, ad Latinum, profectus est: et societate cum eo inita, exercitum, quem ex Phrygis armatum habuit, contra Rutulos duxit. In hoc bello Latinus, Telephi filius, cecidit; victoriaque penes Rutulos erat.

Καὶ ἀπῆλθεν ὁ Αἰνείας πρὸς τὸν Εὔανδρον καὶ τὸν υἱὸν
V 71 αὐτοῦ Πάλλαντα, ἄνδρας πολεμικωτάτους· οἵτινες διῆγον εἰς τὴν Ἰταλίαν, οἰκοῦντες κώμην λεγομένην Βαλεντίαν, ἰθύνοντες
O 213 ἐπαρχίαν μίαν. ἐν ᾗ κώμῃ καὶ ἔκτισεν ὁ Πάλλας οἶκον μέγαν πάνυ, οἷον οὐκ εἶχεν ἡ περίχωρος ἐκείνη, ὅστις οἶκος ἐκλήθη τὸ Παλλάντιν, καὶ ἀπὸ τότε ἐκλήθη τὰ βασιλικὰ κατοικητήρια παλλάντιον ἐκ τοῦ Πάλλαντος. καὶ ᾔτησεν αὐτοὺς λαβεῖν παρ' αὐτῶν ὁ Αἰνείας βοήθειαν στρατοῦ· ᾧτινι παρέσχεν ὁ αὐτὸς Πάλλας καὶ ὁ αὐτοῦ πατὴρ Εὔανδρος γενναίους πολεμιστὰς ἄνδρας υ'. καὶ πάλιν ἀπελθὼν ὁ αὐτὸς Αἰνείας πρὸς ἄλλους τοπάρχας ἔλαβε πολλὴν βοήθειαν στρατοῦ, ἐπειδὴ πᾶσα ἡ χώρα ἐκείνη ἐναντιοῦτο τοῖς Ῥουστούλοις καὶ τῷ Τούρνῳ, βασιλεῖ αὐτῶν. καὶ
B συνέβαλεν αὐτοῖς ὁ Αἰνείας πόλεμον, καὶ ἐνικήθησαν τὸν πόλεμον οἱ Ῥουστοῦλοι ὑπὸ τοῦ Αἰνείου, σφαγέντος τοῦ Τούρνου· καὶ ἔλαβεν ὁ Αἰνείας μετὰ τὴν νίκην τὴν βασιλείαν καὶ τὴν θυγατέρα τοῦ Λατίνου Ἀλβανίαν. καὶ κτίζει ἐκεῖ πόλιν ὁ αὐτὸς Αἰνείας μεγάλην, ἥντινα ἐπωνόμασεν Ἀλβανίαν· καὶ ἀποτίθεται ὁ Αἰνείας ὃ ἔλαβε Παλλάδιον ἀπὸ τοῦ Διομήδους ἐν τῇ αὐτῇ πόλει Ἀλβανίᾳ. ἐβασίλευσε δὲ ὁ Αἰνείας μετὰ τὸν Λατῖνον ἔτη ιθ'.

O 214 Μετὰ δὲ τὸν Αἰνείαν ἐβασίλευσεν ἐκεῖ Ἀσκάνιος Ἰούλιος, ὁ υἱὸς τοῦ Αἰνείου ἀπὸ τῆς Κρεούσης τῆς Τρῳάδος, τῆς πρώτης γυναικὸς τοῦ αὐτοῦ Αἰνείου ἔτη κε'. καὶ ἔκτισε τὴν

9. ὁ] Addidi καί. 21. Ἀσκάνιος Ἰούλιος] „Cedrenus habet, Ἰοῦλος, rectius." Ch. 22. Τροάδος Ox. 23. κε'] λε' Cedrenus p. 136. A.

Aeneas autem deinde profectus est ad Evandrum et filium ejus Pallantem, viros bellicosos; qui provinciam Italicam tenentes, in vico quodam Valentia dicto sedes habuerunt: ubi aedes plane magnificas et in ea regione omnium splendidissimas extruxerat sibi Pallas; quas etiam *Pallantium* vocavit. Unde et Regiae domus deinceps, a Pallante, *Pallantia* dicta sunt. Aeneas autem ab Evandro, et filio Pallante exercitu cccc virorum fortium et bellicosorum, instructus; impetratis etiam ab aliis Italiae regulis, (qui Turno omnes Rutulisque inimicissimi fuerunt) auxiliarium virorum copiis ingentibus; Rutulus iterum aggressus est: Turnoque, rege eorum, occiso, in eos victoria potitus est. Aeneas autem exinde Latini regnum filiamque Albaniam uxorem consecutus, urbem magnam condidit, quam Albaniam nominavit, ubi etiam Palladium, a Diomede receptum, reposuit. Regnavit autem Aeneas, post Latinum, annos XIX.

Aeneam excepit Ascanius Julus, Aeneae filius, ex Creusa Trojana, uxore priore. Regnavit autem Ascanius per annos XXV, urbemque ipse

*Λαβινίαν πόλιν, καὶ τὸ βασίλειον τοῖς Λαβινησίοις ἐπέθηκε,
μεταγαγὼν ὁ αὐτὸς Ἀσκάνιος ἐκ τῆς Ἀλβανίας πόλεως τὸ Παλ-* C
λάδιον εἰς τὴν αὐτοῦ κτισθεῖσαν πόλιν Λαβινίαν.

Ἐν τῷ καιρῷ δὲ τῷ αὐτῷ ἀρχιερεύς τις ἦν τῆς Ἱερουσαλὴμ μετὰ τὴν ἐπάνοδον τὴν ἐκ Βαβυλῶνος τῶν δύο ἡμίσεος σκήπτρων τῶν ἀνελθόντων ἐν τῇ Ἱερουσαλὴμ Ἐλιακεὶμ ὁ υἱὸς Ἰησοῦ.

*Ἐν δὲ τοῖς αὐτοῖς χρόνοις ἦν Ἱππάσιος, φιλόσοφος Πυθα-
γορικός· ὅστις τὴν σφαῖραν τοῦ οὐρανοῦ πρῶτος ἐξήνεγκεν ἐκ
τῶν δεκαδύο ζωδίων, καὶ κατὰ θάλασσαν ναυαγήσας ἐτελεύτα.
ἦν δὲ καὶ Ἰσοκράτης τότε καὶ Περικλῆς καὶ Θουκυδίδης ὁ συγ-
γραψάμενος τὸν πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων. ἐν
δὲ τοῖς χρόνοις Θουκυδίδου ἦν καὶ Φειδίας ὁ ἀγαλματοποιὸς καὶ
Στησίχορος καὶ Βακχυλίδης, οἳ ἦσαν ὀρχήσεως εὑρεταὶ καὶ ποιη-* D
ταί, μετὰ τοὺς προειρημένους φιλοσόφους ἄνδρας· μετὰ δὲ χρό- O 215
*νον οἱ προῤῥηθέντες τῶν Ἑλλήνων ἦσαν παιδευταί. ἀναφαίνε-
ται δὲ μετὰ ταῦτα καὶ Δημοσθένης καὶ Ἀριστοφάνης ὁ κω-
μῳδός.*

Μετὰ δὲ τὴν βασιλείαν Δαρείου τοῦ νεωτέρου ἐβασίλευσε Περσῶν Ἀρταξέρξης ὁ Μνήμων καλούμενος ἔτη λθ'.

Ἀλβανῶν δὲ ἐβασίλευσεν Ἄλβας ὁ υἱὸς τοῦ Ἀσκανίου ἔτη λϛ'. καὶ κτίζει τὴν Σίλπιν πόλιν· ἀπὸ τότε οἱ βασιλεῖς Σίλβιοι

1. 3. *Λαβινίαν* Cedrenus, *Ἀλβανίαν* Ox. Eadem *Λαβηνισίοις*. 4. *αὐτοῦ*] Scribe *παρ' αὐτοῦ*. *ὑπ' αὐτοῦ* Cedrenus. 7. *Ἱππάσιος*] *Ἵππασος* Ch.

condidit, nomine Laviniam, ubi et sedem regni posuit; Palladiumque, ab Albanis delatum, in urbe illa, a se condita, collocavit.

Eo tempore Pontifex maximus Hierosolymis fuit, post reditum a Babylone tribuum duarum cum dimidia, Eliachimus, Jesu filius.

Iisdem temporibus floruit Hippasius, philosophus Pythagoricus; qui Coelestem sphaeram primus composuit, ex duodecim signis: in mari autem deinde naufragus periit. Eodem tempore etiam claruerunt Isocrates, Pericles, et Thucydides, belli Attici et Peloponnesiaci scriptor. Aequales huic fuerunt Phidias statuarius, Stesichorus, et Bacchylides, Poetae et Saltatoriae artis inventores. Caeterum hi, praedictorum Philosophorum temporibus aliquanto posteriores, doctores deinde inter Graecos emerserunt. Posthaec floruerunt etiam Demosthenes et Aristophanes Comicus.

Dario autem juniori successit in regno Persarum Artaxerxes, qui et Mnemon vocatus est: et regnavit per annos XXXIX.

Albanis vero regnavit Albas, Ascanii filius, annos XXXVI, qui et urbem Silviam condidit: unde et reges eorum deinceps Silvii vocati sunt:

ἐκαλοῦντο· μεταγαγὼν ἐν τῇ αὐτῇ Σίλβει πόλει καὶ τὸ Παλλάδιον ὁ αὐτὸς Ἄλβας βασιλεύς. καὶ ἐβασίλευσαν λοιπὸν οἱ ἐκ τοῦ γένους τοῦ Αἰνείου, οἱ λεγόμενοι Αἰνειάδες, ἔτη τλα'.

3. *Αἰνείου* Ch., *Αἰανείου* Ox. *ibid.* *Αἰνειάδες*] *Αἰνειάδαι* Cedrenus.

Palladium vero et is quoque in Silviam transtulit. Regnarunt autem Aeneae posteri, qui et Aeneadae vocabantur, per annos CCCXXXI.

ΛΟΓΟΣ ΕΒΔΟΜΟΣ O 216 V 72

ΠΕΡΙ ΚΤΙΣΕΩΣ ΡΩΜΗΣ.

Καὶ λοιπὸν ἐβασίλευσε Ῥῶμος ὁ κτίστης τῆς Ῥώμης καὶ Ῥῆ- A μος ὁ ἀδελφὸς αὐτοῦ· ὅθεν μετεκλήθησαν Ῥωμαῖοι. οἵτινες καὶ τὰ ὅπλα τοῦ Ἡρακλέος τοῦ ἐκ τοῦ γένους τοῦ Πίκου Διὸς εὑρηκότες, ἀπέθεντο ἐν τῇ παρ' αὐτῶν κτισθείσῃ πόλει Ῥώμῃ τῇ πρῴην λεγομένῃ κώμῃ Βαλεντίᾳ ἐν τῷ Βοαρίῳ φόρῳ εἰς τὸν ναὸν τοῦ Πίκου Διός, ἀποκλείσαντες αὐτὰ ἐκεῖ ἕως ἄρτι. οἱ δὲ αὐτοὶ ἀδελφοὶ ἀνενέωσαν τὸ λεγόμενον Παλάντιον, τὸν βασιλικὸν οἶκον τὸν τοῦ Πάλλαντος, καὶ ναὸν μέγαν τῷ Διὶ κτίσαντες ἐκάλεσαν αὐτὸν Καπετώλιον ῥωμαϊστί, ὅ ἐστιν ἡ κεφαλὴ τῆς πόλεως· ἀγαγόντες δὲ τὸ Παλλάδιον τὸ ξόανον ἀπὸ πόλεως Σίλβης ἀπέθεντο αὐτὸ ἐν τῇ Ῥώμῃ. οἵτινες ἀδελφοὶ ἐν τῷ O 217 B βασιλεύειν εἰς ἔχθραν ἦλθον πρὸς ἀλλήλους· καὶ ἐφονεύθη ὁ Ῥῆμος ὑπὸ τοῦ Ῥώμου, καὶ ἐβασίλευσε μόνος ὁ Ῥῶμος.

10. δὲ Chron. Pasch. p. 109. D, καὶ Ox.

LIBER SEPTIMUS

DE ROMA CONDITA.

Regnavit posthaec Romulus, Romae conditor, cum Remo fratre: unde et Romani nomen acceperunt. Hi arma Herculis, a Jove Pico oriundi, inventa, Romae urbis, a se conditae, (quae prius Valentia dicebatur,) in Templo Pici Jovis, ad forum Boarium, ubi adhuc visuntur, reposuerunt. Porro fratres isti Palatium, regiam nempe domum a Pallante conditam, instaurarunt: Jovi etiam Templum ingens excitantes, quod Romana lingua, *Capitolium*, vocabant, (quasi diceres, *Caput urbis:*) Simulachrum etiam, quod Palladium dicebatur, ex urbe Silvia, in Romam suam transtulerunt. Fratres autem communiter regnantes, mutuis laborarunt odiis: Remoque adeo a fratre interfecto, Romulus regnavit solus.

Ἐξότε δὲ ἀπέκτεινε τὸν ἴδιον αὐτοῦ ἀδελφόν, ἐσείετο ἡ πόλις πᾶσα Ῥώμη καὶ ἐγίνοντο πόλεμοι ἐμφύλιοι ἐπὶ τῆς αὐτοῦ βασιλείας. καὶ ἀπελθὼν ὁ αὐτὸς Ῥῶμος εἰς τὸ μαντεῖον ἐπηρώτησε, Διὰ τί γίνεται ἐπὶ τῆς ἐμῆς μόνης βασιλείας ταῦτα; καὶ ἐῤῥέθη αὐτῷ ἐκ τῆς Πυθίας ὅτι Εἰ μὴ συγκαθεσθῇ σοι ὁ σὸς ἀδελφὸς ἐν τῷ βασιλικῷ θρόνῳ, οὐ μὴ σταθῇ ἡ πόλις σου Ῥώμη οὔτε ἡσυχάσει ὁ δῆμος οὔτε ὁ πόλεμος. καὶ ποιήσας ἐκ τῆς εἰκόνος τοῦ αὐτοῦ ἀδελφοῦ ἐκτύπωμα τοῦ προσώπου, ἤτοι χαρα- C κτῆρος, αὐτοῦ, χρυσοῦν στηθάριον, στήλην ἔθηκεν ἐν τῷ θρόνῳ αὐτοῦ, ἔνθα ἐκάθητο. καὶ οὕτως ἐβασίλευσε τὸν ὑπόλοιπον χρόνον, συγκαθημένου αὐτῷ τοῦ ὁλοχρύσου ἐκτυπώματος τοῦ αὐτοῦ ἀδελφοῦ Ῥήμου· καὶ ἐπαύσατο ὁ σεισμὸς τῆς πόλεως καὶ ἡσύχασεν ἡ δημοτικὴ ταραχή. καὶ εἴτι δὲ ἂν ἐκέλευε θεσπίζων, O 218 ἔλεγεν ὡς ἀφ' ἑαυτοῦ καὶ τοῦ ἀδελφοῦ αὐτοῦ, λέγων Ἐκελεύσαμεν καὶ ἐθεσπίσαμεν· ὅπερ ἔθος κατέσχεν ἐξ ἐκείνου παρὰ τοῖς βασιλεῦσιν ἕως τοῦ παρόντος, τὸ λέγειν Ἐκελεύσαμεν καὶ ἐθεσπίσαμεν. ἐκτότε καὶ εἰς τὰς πόλεις τὰς ὑπὸ Ῥωμαίους ἔπεμψε στηθάρια ὁλόχρυσα αὐτοῦ καὶ τοῦ ἀδελφοῦ αὐτοῦ, ὥστε τίθεσθαι πλησία τῶν ἀρχόντων.

D Ὁ δὲ αὐτὸς Ῥῶμος βασιλεὺς μετὰ τὸ πληρῶσαι τὰ τείχη καὶ κοσμῆσαι τὴν πόλιν ἔκτισε καὶ τῷ Ἄρηι ναόν· καὶ ἐν αὐτῷ τῷ μηνὶ ἐποίησεν ἑορτὴν μεγάλην θυσίας τῷ Ἄρηι, καλέσας καὶ τὸν μῆνα αὐτὸν μάρτιον, τὸν πρῴην λεγόμενον πρῖμον, ὅπερ ἑρμη-

3. ἐπηρώτησε] ἐπερώτησε Ox. 13. ἐκέλευε Chron., ἐκέλευσε Ox. 17. Ῥωμαίους Chron., Ῥωμαίων Ox.

Exinde autem post caedem fratris, tota motibus agitata est urbs Roma; regnumque ejus intestinis seditionibus tumultuabatur. Ad Oraculum itaque profectus, rogavit: Undenam (inquiens,) cum ego nunc solus regno, fiunt ista? „Respondit Pythia: Nisi tu fratrem in regio solio tibi assessorem constituas, urbs Roma a motibus liberari non poterit, neque populi tumultuum, nec bellorum finis erit.“ Statuam itaque, quae fratris formam et vultum exprimeret, ex auro fabricari jussit: quam eodem, quo sedebat ipse, throno collocavit. Deinceps igitur regnanti illi assidebat fratris ex auro solido statua: atque ita conquieverunt urbis motus, et seditiones populi consopitae sunt. Rex autem, si quid ediceret, tanquam suo, fratrisque nomine id faceret, hac formula utebatur, *Jussimus* et *Sancivimus*. Unde mos iste dimanavit, qui apud Reges etiamnum obtinuit, Edicta proponendi sub hac formula; *Jussimus* et *Sancivimus*. Exinde vero ad civitates Romanae ditionis singulas, sui fratrisque, ex auro solido, statuas transmisit; ut juxta urbis magistratus collocarentur.

Idem rex Romulus, urbe moenibus cincta et ornata, Marti quoque Aedem erexit: mensemque eum, qui antea, Primus, vocabatur, a Marte, Martium nominavit. Festum etiam solenne eodem mense instituit, in

νεύεται Ἄρεως. ἥνπερ ἑορτὴν κατ' ἔθος οἱ Ῥωμαῖοι πάντες ἐπι-
τελοῦσιν ἕως τῆς νῦν, καλοῦντες τὴν ἡμέραν τῆς πανηγύρεως
Μάρτις ἐν κάμπῳ. καὶ εὐθέως πάλιν ἀρξάμενος ἔκτισε τὸ V 73
ἱππικὸν ἐν τῇ Ῥώμῃ, θέλων διασκεδάσαι τὸ πλῆθος τοῦ δήμου
τῶν Ῥωμαίων, ὅτι ἐστασίαζον καὶ ἐπήρχοντο αὐτῷ διὰ τὸν
ἀδελφὸν αὐτοῦ. καὶ ἐπετέλεσε πρῶτος ἱπποδρόμιον ἐν τῇ χώρᾳ
τῆς Ῥώμης εἰς ἑορτὴν τοῦ Ἡλίου, φησί, καὶ εἰς τιμὴν τῶν ὑπ'
αὐτὸν τεσσάρων στοιχείων, τοῦτ' ἐστὶ τῆς γῆς καὶ τῆς θαλάσ-
σης καὶ τοῦ πυρὸς καὶ τοῦ ἀέρος, λογισάμενος καὶ τοῦτο, ὅτι
εὐτυχῶς φέρονται οἱ τῶν Περσῶν βασιλεῖς εἰς τοὺς πολέμους, ὡς
τιμῶντες τὰ αὐτὰ τέσσαρα στοιχεῖα. ὁ δὲ τῆς Πισαίων χώρας
βασιλεὺς Οἰνόμαος ἀγῶνα ἐπετέλει ἐπὶ τὰ Εὐρώπεια μέρη μηνὶ O 219
δύστρῳ τῷ καὶ μαρτίῳ κε' τῷ Ἡλίῳ Τιτᾶνι ὡς ὑψουμένῳ
ἀγωνιζομένης, φησί, τῆς γῆς καὶ τῆς θαλάσσης, ὅ ἐστι Δημή- B
τρας καὶ Ποσειδῶνος, τῶν ὑποκειμένων στοιχείων τῷ Ἡλίῳ. καὶ
ἐβάλλετο κλῆρος μεταξὺ τοῦ αὐτοῦ Οἰνομάου βασιλέως καὶ τοῦ
ἐρχομένου ἀπὸ οἱασδήποτε χώρας καταγωνίσασθαι αὐτόν· καὶ
ὅτε μὲν ὁ κλῆρος ἐκάλει τὸν Οἰνόμαον ἀγωνίσασθαι ὑπὲρ τοῦ
Ποσειδῶνος, ἐφόρει σχῆμα ἱματίων κυανῶν, ὅ ἐστι τῶν ὑδά-
των, καὶ ὁ ἀνταγωνιζόμενος κατ' αὐτοῦ ἐφόρει τὸ χλοῶδες σχῆ-
μα, ὅ ἐστι τῆς γῆς. καὶ πάλιν εἰ ἤνεγκεν ὁ κλῆρος τῷ Οἰνομάῳ
φορῆσαι τὸ τῆς Δημήτρας σχῆμα, ἐφόρει τὸ χλοῶδες σχῆμα, καὶ O 220

3. *Μάρτις* Chron., *Μάρτιος* Ox. 4. *διασκεδάσαι* Chron., *διασχεδάσαι* Ox. 8. *αὐτὸν*] *αὐτοῦ* Ox., *αὐτῶν* Chron. 11. *δὲ* Chron., *γὰρ* Ox. *ibid.* *Πεσαίων* Ox. 12. *ἐπετέλει — Εὐρώπεια* Chron., *ἐπιτελεῖ — Εὐρώπια* Ox. 19. *ἱματίων κυανῶν*] *ἱμάτιον κυανόν* Chron.

quo sacra Marti peragebantur: quod et Romani, ritu anniversario usque adhuc celebrant; vocantes diem illum, *Festum solennitatis in Campo Martio.* Necdiu ab incoepto desistens, Circum in urbe extruxit; uti tumultuantis populi motus dissiparet: adhuc enim, ob caesum fratrem, seditiones in eum identidem moliebantur. Primus itaque Romulus, in ditione Romana, Circensia instituit, in honorem solis, (ut dixit,) et quatuor illi subjectorum Elementorum; Terrae nimirum, Maris, Ignis, et Aeris. Quippe existimavit, Persarum regibus expeditiones bellicas foeliciter ideo semper cessisse; quod quatuor ista Elementa in Veneratione habuissent. Oenomaus enim, Pisarum rex, certamen Europaeis in regionibus instituit, Dystri, sive Martii xxv celebrandum, solis Titanis in honorem, tanquam jam exaltati certantibus (inquit) inter se, Terra Marique, id est, Cybele et Neptuno, soli subjectis Elementis. Sors vero mittebatur inter Oenomaum et alterum, a quacunque ille orbis parte venisset, qui cum eo certaturus erat. Et si sorte data Oenomaus pro Neptuno certaturus erat; habitum sumebat coeruleum, aquis respondentem: Antagonista autem ejus viridi ornatu utebatur; ut qui Terram repraesentaret. Sin autem Cybelis habitum sumere Oenomaum sors voluisset; tum viridi habitu

ὁ ἀνταγωνιστὴς αὐτοῦ ἐφόρει τὸ σχῆμα τοῦ Ποσειδῶνος, ὅ ἐστι
τῶν ὑδάτων, τὸ κυανόν· καὶ ὁ ἡττώμενος ἐφονεύετο. καὶ πλῆ-
C θος ἄπειρον ἤρχετο θεωρῆσαι τὸν ἐτήσιον βασιλικὸν ἀγῶνα ἀπὸ
ἑκάστης χώρας καὶ πόλεως· καὶ οἱ μὲν τὰς παραλίους πόλεις οἰ-
κοῦντες καὶ τὰς νήσους πολῖται καὶ τὰς κώμας τὰς παραλίους
καὶ ναῦται ηὔχοντο νικῆσαι τὸν φοροῦντα τὸ κυανὸν σχῆμα,
τοῦτ' ἐστὶ τὸ τοῦ Ποσειδῶνος, οἰωνιζόμενοι ὅτι ἐὰν ἡττηθῇ ὁ
ὑπὲρ τοῦ Ποσειδῶνος ἀγωνιζόμενος, ἔκλειψις ἰχθύων γίνεται παν-
τοίων καὶ ναυάγια θαλάσσης καὶ ἀνέμων βιαίων ἀνάγκαι. οἱ
δὲ τὰς μεσογείους οἰκοῦντες πολῖται καὶ ἐπιχώριοι ἄγροικοι καὶ
πάντες οἱ ἐν τῇ γεωργίᾳ κάμνοντες ηὔχοντο νικῆσαι τὸν φοροῦν-
τα τὸ χλοῶδες σχῆμα, οἰωνιζόμενοι ὅτι εἰ ἡττηθῇ ὁ ὑπὲρ τῆς
Δημήτρας ἀγωνιζόμενος, ὅ ἐστιν ὑπὲρ τῆς γῆς, λιμὸς σίτου
D καὶ σπάνις οἴνου καὶ ἐλαίου καὶ τῶν ἄλλων καρπῶν γίνεται.
καὶ ἐνίκησε πολλοὺς ὁ Οἰνόμαος ἀνταγωνιστὰς καὶ ἐπὶ πολλὰ ἔτη·
εἶχε γὰρ καὶ τὸν Ἄψυρτον διδάσκοντα αὐτὸν τὴν ἡνιοχικὴν τέχνην.
ὅστις Οἰνόμαος ἡττηθεὶς ὑπὸ Πέλοπος τοῦ Λυδοῦ ἐφονεύθη.

Τὸν δὲ ἱππικὸν ἀγῶνα τοῦτον ἐπενόησε πρῶτος Ἐνυάλιός τις
ὀνόματι, υἱὸς Ποσειδῶνος, ἀγαγόμενος τὴν Λιβύην, θυγατέρα
τῆς Ἰοῦς καὶ τοῦ Πίκου Διός, ὃς κρατήσας τὰ μεσημβρινὰ μέρη
O 221 ἐκάλεσε τὴν αὐτὴν χώραν ἐν ᾗ ἐβασίλευσε Λιβύην εἰς ὄνομα
τῆς αὐτοῦ γυναικός. τὸν δὲ αὐτὸν ἱππικὸν ἀγῶνα ὁ Ἐνυάλιος

6. καὶ ναῦται] ναῦται Chron. 19. ἀγαγόμενος Chron., τοῦ ἀγα-γομένου Ox. Conf. supra p. 12. A.

ipse usus est; et qui contra certabat, Neptuni, coeruleo, juxta speciem Aquarum. Victus autem neci dabatur. Ad hoc regium et anniversarium Certamen infinita hominum multitudo, ex regionibus atque urbibus omnibus confluebat: Et maritimi quidem ac insulani, qui vicos litorales incolebant, nautaeque, vovebant illi victoriam, qui coeruleum, sive Neptuni habitum ferebat: quod existimarent, magnam, si vinceretur is, futuram piscium omnifariorum caritatem, maris naufragia et ventorum adversorum necessitates. Contra, qui continentem habitabant, mediterranei cives et agricolae, tota etiam agrestium turba, illum vincere optabant, qui viridem gerebat habitum: rati, magnam annonae caritatem ac famem, vinique et olei frugumque omnium inopiam secuturam, si vinceretur is, qui pro Cybele, id est, Terra decertabat. Superior omnibus in hoc certamine, per multos annos, Oenomaus evasit: ut qui aurigandi artem ab Apsyrto edoctus esset. Tandem vero ipse, a Pelope Lydo victus, morte multatus est.

Equestris autem Certaminis auctor primus erat Enyalius quidam filius Neptuni illius, qui Libyam, Jovis Pici ex Jo filiam, in uxorem duxit; quique regiones ad meridiem vergentes in potestatem suam redactas, ab uxoris nomine, Libyam appellavit. Equestre autem hoc certamen Bigis

ἅρμασι διπώλοις ἐφεῦρε, καθὼς ταῦτα συνεγράψατο Καλλίμαχος ὁ σοφὸς ἐν τοῖς Ἐτησίοις αὐτοῦ.

Καὶ λοιπὸν μετ' αὐτὸν ὁ Ἐριχθόνιος ἐπετέλεσε τὸν αὐτὸν E ἀγῶνα ἅρμασι τετραπώλοις· διὸ καὶ περιβόητος ἐγένετο, καθὰ ἐν ταῖς Χάρακος ἐμφέρεται ἱστορίαις· ὃς συνεγράψατο καὶ ταῦτα, ὅτι τοῦ ἱπποδρομίου τὸ κτίσμα εἰς τὴν τοῦ κόσμου διοίκησιν ᾠκοδομήθη, τοῦτ' ἐστὶ τοῦ οὐρανοῦ καὶ τῆς γῆς καὶ τῆς θαλάσσης· τὰς δὲ δεκαδύο θύρας τοὺς δώδεκα οἴκους ἱστόρησε τοῦ ζωδιακοῦ τοῦ διοικοῦντος τὴν γῆν καὶ τὴν θάλασσαν καὶ τῶν ἀν- V 74 θρώπων τὸν παροδικὸν τοῦ βίου δρόμον. τὸ δὲ πέλμα τοῦ ἱππικοῦ τὴν γῆν πᾶσαν εἶναι, τὸν δὲ εὔριπον τὴν θάλασσαν ὑπὸ τῆς γῆς μεσαζομένην, τὸν δὲ ἐπὶ τὰς θύρας καμπτὸν τὴν ἀνατολήν, τὸν δὲ ἐπὶ τὴν σφενδόνην τὴν δύσιν, τὰ δὲ ἑπτὰ σπάτια τὸν δρόμον καὶ τὴν κίνησιν τῆς ἀστρονομίας τῶν ἑπτὰ ἀστέρων τῆς μεγάλης ἄρκτου.

Ὁ δὲ Ῥῶμος βασιλεὺς πρὸς τιμὴν καὶ αὐτὸς τοῦ Ἡλίου καὶ O 222 τῶν ὑπ' αὐτὸν τεσσάρων στοιχείων τὸν ἀγῶνα ἐν τῇ Ῥώμῃ πρῶτος ἐφεῦρε, καὶ ἐπετέλεσεν ἐν τῇ χώρᾳ τῆς δύσεως, ἤτοι τῆς Ἰταλίας, ἅρμασι τετραπώλοις, τοῦτ' ἐστὶ τῇ γῇ καὶ τῇ θαλάσσῃ καὶ τῷ πυρὶ καὶ τῷ ἀέρι. καὶ ἐπέθηκεν ὁ Ῥῶμος τοῖς αὐ- B τοῖς τέτρασι στοιχείοις τὰ ὀνόματα, τῇ γῇ τὸ Πράσινον μέρος, ὅ ἐστι τὸ χλοῶδες, τῇ δὲ θαλάσσῃ, ὅ ἐστι τοῖς ὕδασιν, τὸ Βένετον μέρος, ὡς κυανόν, τῷ δὲ πυρὶ τὸ Ῥούσιον μέρος, ὡς ἐρυ-

2. Ἐτησίοις] Αἴτια dici vidit Ch. 13. σπάτια Ch. cum Cedreno p. 147. C et Ducangius Gloss. v. σπάτιον, σπαθία Ox.

primum celebravit Enyalius: uti memoriae prodidit, in Anniversariis suis, sapiens Callimachus.

Hunc secutus est Ericthonius, qui certamen hoc Equestre Quadrigis peregit: unde magnum sibi nomen comparavit: sicuti scriptum reliquit Charax, in Historiis: Qui praeterea addit, extructum fuisse Hippodromum ad formam Universi; nempe ut Coelum, terram, et Mare repraesentaret. Ostia enim duodena ad Zodiaci domus duodecim retulit, qui terras et maria gubernat, vitamque Mortalium transitoriam: Area Hippodromi terram; Euripus Mare, a terra media interceptum, referebat: flexus qui ad ostia, Orientem, qui ad fundam, occasum designavit: septem denique spatia Septentrionum motus et cursum Atronomicum indicarunt.

Romulus porro et ipse, ad cultum solis, et, quae illi subjecta sunt, Elementorum quatuor, Certamen hoc in Romam primus introduxit: primus etiam in Occidente, id est, in Italia, Quadrigis illud peregit, Terrae, Mari, Igni, atque Aeri, respondentibus. Indidit etiam Romulus quatuor istis Elementis nomina, a Terra Prasinam Factionem appellavit, propter colorem viridem: a Mari Venetam, ob aquarum colorem coeruleum: ab Igne Russeam, ob colorem rubentem: ab Aere vero Albam,

θρόν, τῷ δὲ ἀέρι τὸ Ἄλβον μέρος, ὡς λευκόν· κἀκεῖθεν ἐπενοήθη τὰ τέσσαρα μέρη ἐν Ῥώμῃ. ἐκάλεσε δὲ τὸ Πράσινον μέρος, ὅ ἐστι ῥωμαϊστὶ τὸ ἐμπαράμονον, πραισεντεύειν γὰρ λέγεται τὸ παραμένειν, διότι ἡ χλοώδης γῆ διὰ παντὸς ἵσταται σὺν τοῖς ἄλσεσι. τὸ δὲ Βένετον ἐκάλεσεν ἐκ τοῦ εἶναι ὑπὸ τὴν Ῥώμην ἐπαρχίαν μεγάλην χώραν λεγομένην Βενετζίαν, ἧστινος μητρό-
O 223 C πολίς ἐστιν Ἀκυληία, κἀκεῖθεν ἐξέρχεται τὰ κυανά, τοῦτ' ἐστὶ τὰ Βενέτζια βάμματα τῶν ἱματίων. καὶ προσεκόλλησε τῷ Πρασίνῳ μέρει, ὅ ἐστι τῇ γῇ, τὸ λευκόν, φησί, τὸν ἀέρα, καθότι καὶ βρέχει καὶ ὑπουργεῖ καὶ ἁρμόττει τῇ γῇ· καὶ τῷ Βενέτῳ μέρει, ὅ ἐστι τοῖς ὕδασι, προσεκόλλησε συμμίξας τὸ Ῥούσιον μέρος, ὅ ἐστι τὸ πῦρ, καθότι σβέννυσι τὸ ὕδωρ τὸ πῦρ, ὡς ὑποτεταγμένον αὐτῷ. καὶ λοιπὸν οἱ τὴν Ῥώμην οἰκοῦντες διεμερίσθησαν εἰς τὰ μέρη, καὶ οὐκέτι ὡμονόησαν πρὸς ἀλλήλους διὰ τὸ ἐρᾶν λοιπὸν τῆς ἰδίας νίκης καὶ ἀντιποιεῖσθαι τοῦ ἰδίου μέρους, ὥσπερ θρησκείας τινός. καὶ ἐγένετο μέγα σχίσμα ἐν τῇ Ῥώμῃ,
D καὶ μεγάλην ἔχθραν εἶχον πρὸς ἀλλήλους ἐν τῇ Ῥώμῃ τὰ μέρη, ἀφότε ἐπενόησεν αὐτοῖς τὴν τοῦ ἱππικοῦ θέαν ὁ Ῥῶμος. καὶ ὅτε ἐν οἱῳδήποτε μέρει εἶδεν ὁ Ῥῶμος φιλοῦντας τοὺς λελυπημένους καὶ ἀνθισταμένους αὐτῷ δήμους ἢ συγκλητικοὺς διὰ τὸν θάνατον τοῦ ἀδελφοῦ αὐτοῦ ἢ δι' ἄλλην αἰτίαν οἱανδήποτε, ἐδό-

3. ἐμπαράμονον Chron., ἐμπαράμενον Ox. 4. χλοώδης Ch., Chron., χλοῶδες Ox. 5. ἄλσεσι Ox. 8. τῷ Ch., Chron., τὸ Ox. 9. φησι post καθότι ponit Chron. 14. ἐρᾶν Chron., ὁρᾶν Ox. 15. λοιπὸν] ἕκαστον Chron. 18. ἀφότε Ch., ἀπότε Ox.

propter coloris albedinem. Inde quatuor illae in Roma Factiones. Prasinam autem factionem ideo vocavit, quia terra virens cum nemoribus suis firma stat semper. Prasinum enim Latinis Permanens est. Venetam autem factionem appellavit, quod ex Veneta provincia, Romae subjecta, cujus Metropolis est Aquileia, panni Veneti, id est, coeruleo colore tincti, afferuntur. Prasinae autem Factioni, sive Terrae Albam, sive Aerem conjunxit; ex eo quod Aer Terrae sit accommodatus, eam irrigans, eique subserviens. Factioni autem Venetae, sive aquis, Russeam, id est, Ignem assignavit; eo quod Aqua ignem, tanquam sibi subjectum, extinguat. Caeterum Romani hoc modo in Factiones distracti, propter studia Partium; dum quisque eam cupivit superiorem esse, cui ipse maxime favebat; non amplius inter se concordes fuerunt. Quisque enim pro Factione sua tanquam pro Religione propugnavit: inde odia intestina gravissimaque dissidia inter factiones in urbe extiterunt, ex quo tempore Romulus primum Equestris illius certaminis spectaculum exhibuit. Romulus etiam, si quando advertisset ex populo, vel senatoribus quoscunque, hujus, vel illius factionis, in partes eorum euntes, qui odio ipsum habuerunt atque adversabantur ei, vel ob fratris caedem, vel aliam ob causam quamcun-

κει ἀντέχεσθαι τοῦ ἄλλου μέρους, καὶ εἶχεν αὐτοὺς εὐμενεῖς καὶ
ἐναντιουμένους τῷ σκοπῷ τῶν ἐναντίων αὐτοῦ. ἐξ ἐκείνου καὶ
οἱ μετ' αὐτὸν βασιλεῖς τῆς Ῥώμης τῷ αὐτῷ κανόνι ἐχρήσαντο.

Ἐν δὲ τῇ βασιλείᾳ τοῦ αὐτοῦ Ῥώμου ὁ στρατὸς αὐτοῦ ἐγέ- O 224
νετο πολὺς ἐπείσακτος, καὶ πλῆθος ἦν ἐν τῇ Ῥώμῃ τῶν ἀγρίων
ἀνθρώπων, καὶ οὐκ ἦσαν πρὸς τὰ πλήθη τῶν ἀνδρῶν γυναῖκες. E
καὶ ἐπεθύμουν τῆς τοῦ βίου ἡδονῆς τὰ τῶν νεανιῶν στρατεύμα-
τα· καὶ ἐπήρχοντο κατὰ τὴν ἀγορὰν ταῖς γυναιξί, καὶ ἐγένετο
ταραχὴ καὶ ἐμφύλιος πόλεμος. καὶ ἠθύμει ὁ Ῥῶμος, ἀμηχανῶν
τί πράξει· οὐδεμία γὰρ ἠνείχετο τῶν γυναικῶν καταμῖξαι τοῖς
στρατιώταις, ὡς ἀγρίοις καὶ βαρβάροις. καὶ ἐξεφώνησε νόμον
ὥστε λαμβάνειν τοὺς στρατιώτας πρὸς γάμον παρθένους, ἃς ἐκά-
λεσε Βρυτίδας· καὶ οὐδεὶς εἵλετο δοῦναι αὐτοῖς τὴν ἰδίαν θυγα-
τέρα, ἀλλ' ἔλεγον ὅτι οὐκ ἔστιν αὐτοῖς καθ' ἑκάστην ἐλπὶς ζωῆς
διὰ τοὺς πολέμους, ἀλλὰ πάντες τοῖς τῆς πόλεως ἐζεύγνυον τὰς V 75
ἑαυτῶν θυγατέρας. καὶ ἀθυμῶν ὁ Ῥῶμος ἀπῆλθεν εἰς τὸ μαν-
τεῖον· καὶ ἐδόθη αὐτῷ χρησμὸς ὥστε ἐπιτελέσαι ταῖς γυναιξὶ
θέαν ἱππικοῦ, ἵνα ἀγάγηται ἑαυτῷ ὁ στρατὸς γυναῖκας. καὶ O 225
συνάξας τὸ πλῆθος τοῦ στρατοῦ ἐν τῷ παλατίῳ ἐπετέλεσεν ἱπ-
πικόν, κελεύσας μόνον γυναῖκας θεωρῆσαι τὸ ἱπποδρόμιον. καὶ
ὡς παραξένου τινὸς θέας μελλούσης γίνεσθαι, ἀπὸ πάσης τῆς
περιχώρου καὶ τῶν πόῤῥωθεν πόλεων καὶ κωμῶν ἦλθον ἐν τῇ πό-

10. οὐδεμία Ch., οὐδεὶς Ox. et Chron. 21. παραξένου Ch., Chron., παρὰ ξένου Ox.

que; statim contrariae factionis hominibus adhaerere visus est; unde illos conciliavit sibi effecitque, ut adversantibus sibi et ipsi forent adversarii. Exinde, qui eum secuti sunt, reges Romani eodem usi sunt artificio.

Romulo autem regnante, crevit admodum exercitus ejus, undequaque confluens; eratque in urbe ingens agrestium militum copia, quibus pro tanto numero deerant uxores. Cumque libidinis pruritu correptae essent juvenum cohortes, passim in foro mulieres contrectabant: inde seditio orta est et civile bellum. Cumque Romulus inops consilii quid ageret, animi penderet; (dedignabantur enim foeminae cum rurestribus et barbaris militibus rem habere:) edixit tandem, ut miles virgines illas quas Brutidas vocavit, in uxores duceret. Nemo autem erat, qui militibus filiam suam tradere dignatus est: quisque enim dicebat, eos in diem tantum vivere, quibuscunque belli casibus obnoxios. Itaque Romanis civibus filias suas locabant omnes. Conturbatus ad hoc Romulus, Oraculum consuluit: responsumque tulit, Equestris Certaminis spectaculum foeminis exhiberet; quo exercitus uxores sibi utcunque compararent. Romulus igitur coacto in Palatium exercitu, certamen equestre celebravit: jussitque, foeminas solum ad spectaculum admitti. Itaque numerosa foeminarum turba, veluti ad inusitatum quoddam spectaculum, ex omni in circuitu vicinia

λει Ῥώμη πλήθη γυναικῶν, καὶ ἀνεπλήρωσαν τὸ ἱππικὸν γυναῖκες ὕπανδροι καὶ νεώτεραι παρθένοι· ἦλθον δὲ καὶ αἱ θυγατέρες τῶν λεγομένων Σαβίνων, χώρας πλησίον τῆς Ῥώμης οὔσης, γυ-
B ναῖκες εὐπρεπεῖς. καὶ δοὺς ὁ Ῥῶμος μανδᾶτα λάθρᾳ γυναῖκα ὕπανδρον οὖσαν Ῥωμαίαν πολίτιδα μὴ θεωρῆσαι, κελεύσας καὶ ἰδίῳ στρατῷ ὥστε ὑπάνδρου γυναικὸς μὴ τολμῆσαι ἅψασθαι, ἀλλὰ τὰς παρθένους ἁρπάσαι καὶ τὰς μὴ ἐχούσας ἄνδρας καὶ μόνας, ἀνελθὼν ἐν τῷ ἱππικῷ ὁ Ῥῶμος ἐθεώρει. καὶ ἐν τῷ ἐπιτελεῖσθαι τὸ ἱπποδρόμιον ἀπολυθεὶς ὁ στρατὸς ἐκ τοῦ παλατίου ὥρμησαν ἐν τῷ ἱππικῷ, καὶ ἐκ τῶν βάθρων ἀνέσπασαν τὰς παρθένους γυναῖκας καὶ τὰς μὴ ἐχούσας ἄνδρας· καὶ ἔλαβον ἑαυτοῖς γυναῖκας. τοῦτο δὲ πρὸς ἅπαξ ἐποίησεν ὁ Ῥῶμος γενέσθαι·
O 226 καθὼς ὁ σοφώτατος Βεργίλλιος ἐξέθετο· ὡσαύτως δὲ καὶ Πλί-
C νιος ὁ Ῥωμαίων ἱστοριογράφος συνεγράψατο, ὁμοίως δὲ καὶ Λίβιος. ἕτεροι δὲ ἱστορικοὶ συνεγράψαντο πρῶτον ἱπποδρόμιον ἐπιτελέσαι αὐτοῖς τὸν Ῥῶμον εἰς βούρδωνας.

Τὸν δὲ Ῥῶμον καὶ τὸν Ῥῆμον τοὺς ἀδελφοὺς ἱστοροῦσιν ὑπὸ Λυκαίνης γαλακτοτροφέντας, ὅτι βασιλεὺς ὁ Ἀμούλιος, ὁ αὐτῶν πάππος, ἐκέλευσεν αὐτοὺς ῥιφῆναι εἰς τὰς ὕλας, ὡς πορνογεννήτους, ἐπειδὴ ἡ Ἰλία ἡ μήτηρ αὐτῶν, ἱέρεια οὖσα τοῦ Ἄρεως, ἐφθάρη, πορνευθεῖσα ὑπό τινος στρατιώτου, περὶ οὗ λέγουσι μυθολογοῦντες τὸν Ἄρεα ἐγγαστρῶσαι αὐτήν, καὶ

8. μόνας] μόνος Ox. sequentibus haec iungens. 13. Βεργίλιος Ch., Βελγίλλιος Ox. 18. γαλακτοτροφέντας] γαλακτοτροφηθῆναι Chron. V. ad p. 37. D. *ibid.* ὅτε Ox., διότι Chron. 21. Ἀρέως — Ἀρέα Ox.

urbibusque et viculis etiam longe remotis ad urbem Romam concursitabat; Circumque implebant matronae virginesque innuptae: inter quas et Sabinorum forma praecellentes adfuerunt filiae; quorum regio ab urbe propius aberat. Dederat porro Romulus clam in mandatis, ne cujusquam civis Romani uxor in spectaculo adesset: Militique itidem suo edixit, ut Matronam nullam contingerent; solas raperent virgines, et quae viris omnino carerent. Solus autem in Circum Romulus venit, ut certamina spectaret. Interim autem dum ferverent aurigationes, emissus ex Palatio miles, in Circum erumpit, virginesque, et quae viris carerent foeminas, ex gradibus raptas, in uxores sibi duxit. Hoc autem semel duntaxat fieri voluit Romulus: uti sapientissimus Virgilius testatus est: cui accinit quoque Plinius Romanus Historiographus, uti et Livius etiam. Caeteri vero tradiderunt, primos ludos Equestres burdonibus a Romulo celebratos.

Romulum vero et Remum fratres a Lupa lactatos fuisse, fama est: cum rex Amulius, avus eorum, tanquam nothos, eos in silvas exponi jusserat. Mater enim illorum Ilia Martis sacerdos, a milite quodam compressa fuerat, unde eam a Marte gravidam fuisse factam, fabulantur. Gemellos autem edidit: quos, propterea ab avo in silvis expositos, repe-

ἐγέννησεν αὐτοὺς διδύμους, καὶ διὰ τοῦτο ὁ πάππος αὐτῶν ἔῤ-
ῥιψεν αὐτοὺς εἰς τὰς ὕλας. καὶ εὗρε τοὺς αὐτοὺς παῖδας χωρική
τις, βόσκουσα πρόβατα· καὶ σπλαγχνισθεῖσα, ὅτι ἦσαν εὔμορφα, D
λαβοῦσα ἔθρεψεν αὐτοὺς τῷ ἰδίῳ γάλακτι. εἰς δὲ τὴν χώραν
ἐκείνην λυκαίνας καλοῦσιν ἕως ἄρτι τὰς χωρικὰς τὰς βοσκούσας
πρόβατα, ὡς ἀεὶ τὸν βίον καὶ τὴν διαγωγὴν ἐχούσας μετὰ λύ-
κων. τούτου οὖν ἕνεκεν ὁ Ῥῶμος ἐπενόησε τὰ λεγόμενα Βρουμά- O 227
λια, εἰρηκώς, φησίν, ἀναγκαῖον εἶναι τὸ τρέφειν τὸν κατὰ και-
ρὸν βασιλέα τὴν ἑαυτοῦ σύγκλητον πᾶσαν καὶ τοὺς ἐν ἀξίᾳ καὶ
πάσας τὰς ἔνδον τοῦ παλατίου οὔσας στρατιάς, ὡς ἐντίμους, ἐν
τῷ καιρῷ τοῦ χειμῶνος, ὅτε τὰ πολεμικὰ ἔνδοσιν ἔχει. καὶ ἤρ-
ξατο πρώτους καλεῖν καὶ τρέφειν τοὺς ἀπὸ τοῦ ἄλφα ἔχοντας τὸ
ὄνομα, καὶ λοιπὸν ἀκολούθως ἕως τοῦ τελευταίου γράμματος,
κελεύσας καὶ τὴν ἑαυτοῦ σύγκλητον θρέψαι τῷ αὐτῷ σχήματι.
καὶ ἔθρεψαν καὶ αὐτοὶ τὸν στρατὸν ἅπαντα καὶ οὓς ἐβούλοντο. E
οἱ οὖν ἑκάστου ἀριθμοῦ πανδοῦροι ἀπὸ ἑσπέρας ἀπιόντες εἰς τοὺς
οἴκους τῶν καλεσάντων αὐτοὺς ἐπ' ἀρίστῳ εἰς τὴν ἑξῆς ηὔλουν
πρὸς τὸ γνῶναι ἐκεῖνον ὅτι παρ' αὐτῷ τρέφονται αὔριον. καὶ
κατέσχε τὸ ἔθος τῶν Βρουμαλίων ἐν τῇ Ῥωμαίων πολιτείᾳ ἕως O 228
τῆς νῦν. τοῦτο δὲ ἐποίησεν ὁ αὐτὸς Ῥῶμος, θέλων ἐξαλεῖψαι
τὴν ἑαυτοῦ ὕβριν, ὅτι οἱ Ῥωμαῖοι ἐχθροὶ αὐτοῦ ὄντες καὶ μι- V 76
σοῦντες αὐτὸν καὶ λοιδοροῦντες ἔλεγον ὅτι οὐκ ἐχρῆν αὐτὸν βα-
σιλεῦσαι ἐνυβρισμένον ὄντα, διότι ἐξ ἀλλοτρίων ἐτράφησαν οἱ

3. εὔμορφα] Fort. εὔμορφοι. 10. στρατιὰς Chron., στρατείας Ox. 12. πρώτους Chron., πρῶτος Ox.

rit mulier quaedam agrestis, quae greges ovium pascebat: haec vero miserata puerulos elegantes, eos lacte suo enutrivit. In ea autem regione usque adhuc etiam rurestres illas ovium custodes, Lupas, vocitant: ut quae inter lupos vitam suam transigunt. Brumalia autem quae dicuntur instituit Romulus, hanc ob causam: eo quod necessarium duxit, ut hyberno tempore, cum bellorum induciae sunt, Rex pro tempore, quicunque fuerit, senatum omnem Proceresque, Palatinos item milites, honoris causa, conviviis exciperet. Primos itaque ad convivium vocavit, qui nomina sua ab Alpha exordiebantur; et sic deinceps, suo quosque ordine, usque ad ultimam Alphabeti literam. Jussit etiam, ut Senatus populum eodem modo invitaret. Itaque vocabant etiam hi exercitum omnem, et quoscunque praeterea volebant. Singularum vero turmarum Panduristae, pridie ad vesperam ibant ad convivatorum aedes, ibidemque canebant, usque ad sequentem diem, uti scirent apud quem essent postridie epulaturi: quae quidem Brumalia in Repub. Romana celebrantur ad hunc usque diem. Hoc autem eo animo fecit Romulus, ut maculam deleret, quam Romani, qui ei infensi erant oderantque, contra eum contumeliae causa objectabant, indignum scilicet eum esse qui regnaret, affirmantes; eo quod infamis esset nominis: ut qui, cum fratre, aliena quadra vixisset;

δύο ἀδελφοί, ἕως οὗ τελείας ἡλικίας ἐγένοντο καὶ ἐβασίλευσαν, σημαίνοντες ὅτι ὑπὸ τοῦ Φαύστου τοῦ γεωργοῦ καὶ τῆς γυναικὸς αὐτοῦ Λυκαίνης ἐτράφησαν ἐκ τῶν ἀλλοτρίων ἐσθίοντες, ὡς προγέγραπται. ὄνειδος γὰρ ὑπῆρχε παρὰ Ῥωμαίοις καὶ πᾶσι τοῖς ἀρχαίοις ποτὲ τὸ ἐκ τῶν ἀλλοτρίων τρέφεσθαί τινα· ὅθεν καὶ ἐν τοῖς συμποσίοις τοῖς λεγομένοις φιλικοῖς ἕκαστος τῶν συνερχομένων εἰς τὸ συμπόσιον τὸ ἴδιον αὐτοῦ βρῶμα καὶ πόμα μεθ' ἑαυτοῦ κομίζει, καὶ εἰς τὸ κοινὸν πάντα παρατίθεται, καὶ B ἐσθίουσι κρατήσαντες τὸ ἀρχαῖον ἔθος ἕως τῆς νῦν, τὸ μὴ ἀκούειν ἀλλοτριοφάγοι. τούτου χάριν ἐπενόησε τοῦτο ὁ αὐτὸς O 229 Ῥῶμος, πρὸς τὸ ἐξιλεώσασθαι τὴν ὕβριν ἑαυτοῦ, καλέσας καὶ τὸ ὄνομα τοῦ ἀρίστου ῥωμαϊστὶ βρουμάλιουμ, καθὼς ὁ σοφώτατος Λικίννιος ὁ Ῥωμαίων χρονογράφος ἐξέθετο.

Μετὰ δὲ Ῥῶμον καὶ Ῥῆμον τοὺς ἀδελφοὺς ἐβασίλευσαν ἄλλοι ἐξ τῆς Ῥώμης ἕως τοῦ Ταρκυνίου Σουπέρβου τοῦ ἀδίκου. ἕβδομος γὰρ βασιλεὺς τῆς Ῥώμης μετὰ τὸ κτισθῆναι αὐτὴν ἐγένετο· καὶ ἐπήρθη τὸ βασίλειον παρ' αὐτοῦ.

Ἐπὶ δὲ τῶν χρόνων τῆς βασιλείας αὐτοῦ ἦν Σίβυλλα ἡ Κυμαία μάντις.

C Ἔσχε δὲ ὁ αὐτὸς Ταρκύνιος υἱὸν ὀνόματι Ἄῤῥουνς, δι' ὃν ἐξεβλήθη τῆς βασιλείας, ὅτι βιασάμενος τὴν Λουκρητίαν συγκλητικὴν ἐμοίχευσεν ὁ υἱὸς τοῦ Ταρκυνίου ὁ Ἄῤῥουνς· κἀκείνη ἔσφαξεν ἑαυτήν, ὡς σώφρων. καὶ ἐγένετο ἐμφύλιος πόλε-

1. **ἐβασίλευσαν Chron., βασίλευσαν Ox.**

et ab incunabulis, ad perfectam usque aetatem, quoad regnare coepisset, aliorum victu enutritus fuisset: nempe innuentes, eum apud Faustum colonum, et Lupam uxorem ejus, ex alieno enutritum fuisse: uti antea dictum est. Apud Romanos enim; veteres etiam omnes, vitio vertebatur, si quis alieno pane vesceretur. Unde et in Symposiis, quae *Amicalia* dicta sunt, singuli ex convivis cibum potumque suum proferentes, in commune conferunt; morem antiquum usque adhuc servantes, ne forte *Alienivori* audirent. Ob hanc igitur causam, nempe ad contumeliam illam a se amovendam, genus hoc convivii Romulus instituit; et Latina lingua *Brumalium* vocavit: uti haec tradidit sapientissimus Licinius, Romanorum Chronographus.

Post Romulum et Remum fratres, reges VI alii Romae regnarunt; ad injustum usque illum Tarquinium superbum. Ab urbe enim condita Romanorum rex septimus fuit iste: a quo etiam ablatum est regium imperium.

Hujus sub regno floruit Cumaea Sibylla, vaticinatrix.

Tarquinius iste filium habuit, qui Aruns dictus est: qui in causa fuit, quod Tarquinius pater regno deturbatus fuerit; eo quod Lucretiae, matronae nobili vim intulerat: illa vero, ut castam se argueret, mortem sibi

μος μέγας ἐν τῇ Ῥώμῃ ἐπὶ χρόνων, καὶ πολλοὶ ἐσφάγησαν. ταῦ-
τα δὲ συνεγράψατο ὁ σοφὸς Σέρβιος ὁ Ῥωμαίων συγγραφεύς.
Ὁ δὲ Ταρκύνιος ἐξεβλήθη τῆς βασιλείας τῷ τρόπῳ τούτῳ.
πολέμου κινηθέντος ἐν τῇ Ῥώμῃ ἐκ τοῦ ἔθνους τῶν λεγομένων
Ἀρδηνῶν, λαβὼν βοήθειαν ὁ Ταρκύνιος βασιλεὺς ἦλθε πολε- O 230
μῶν τὴν Ἀρδηνῶν χώραν. καὶ εὑρόντες καιρὸν οἱ ἐχθροὶ αὐτοῦ
οἱ συγκλητικοὶ Βροῦτος ὁ θεῖος τῆς Λουκρητίας καὶ Κολλατῖνος D
ὁ ἀνὴρ αὐτῆς, κατεσκεύασαν αὐτῷ, συμποιησαμένων αὐτοῖς καὶ
τῶν ἄλλων συγκλητικῶν καὶ τῶν τῆς πόλεως πάντων εἰς τὸ αὐ-
τὸν ἐκβληθῆναι τῆς βασιλείας, πείσαντες συμμαχεῖν αὐτοῖς εἰς
τὸ μὴ δέξασθαι τοῦ λοιποῦ τὸν Ταρκύνιον βασιλέα εἰς τὴν Ῥώ-
μην ὑποστρέφοντα τὸν στρατὸν τὸν φυλάττοντα τὸ παλάτιον
καὶ τὴν πόλιν Ῥώμην τῶν λεγομένων Κελεριανῶν, ἀνδρῶν μαχι-
μωτάτων ἐν πολέμοις. καὶ γνόντος τοῦ Ταρκυνίου τὸ τρακτευ-
θὲν κατ' αὐτοῦ παρὰ τῆς συγκλήτου καὶ τοῦ στρατοῦ καὶ τοῦ δή-
μου, πέμψας αὐτὸς ὑπενόθευσε καὶ αὐτὸν τὸν υἱὸν τοῦ Βρούτου,
τὸν φίλον ὄντα καὶ συννεώτερον τοῦ υἱοῦ αὐτοῦ Ἄῤῥουνς. καὶ
πεισθεὶς συνετάξατο ἐρχομένου τοῦ αὐτοῦ Ταρκυνίου κατὰ τῆς E
Ῥώμης προδοῦναι τὴν πόλιν καὶ τὸν ἴδιον πατέρα φονεύειν τὸν
Βροῦτον. τοῦτο δὲ γνοὺς ὁ δοῦλος τοῦ Βρούτου Βινδίκιος, ὁ
συνδιάγων τῷ υἱῷ αὐτοῦ, ἀνήγγειλε λάθρᾳ τῷ ἰδίῳ δεσπότῃ O 231
Βρούτῳ τὴν μέλλουσαν γίνεσθαι κατ' αὐτοῦ ἐπιβουλὴν παρὰ τοῦ
υἱοῦ αὐτοῦ. καὶ εὐθέως ἀκούσας ὁ Βροῦτος συνέσχε τὸν ἴδιον

1. χρόνων] Malim χρόνον. 7. Κολλαντῖνος Ox. hic et p. seq. v. 9. Κολλατῖνος est infra p. 79. D.

conscivit. Inde bellum civile ingens Romae coortum est: in quo plurimi ceciderunt. Haec autem Servius, sapiens Romanorum scriptor, memoriae mandavit.

Ejectus autem fuit e regno suo Tarquinius, hoc modo. Bellum Romanis intulerunt Ardeani: Tarquinius igitur rex, copiis collectis, regionem eorum invasit. Tempus itaque nacti opportunum, qui ei infensi erant, Brutus, Lucretiae avunculus, et Collatinus ejusdem maritus, Senatorii ordinis viri; una cum senatoribus reliquis, populoque adeo omni, consilium inierunt, quomodo Tarquinium e regno deturbarent. Conjurationis etiam socios habuerunt Flexumines illos, qui *Celeriani* vocabantur; bellicosos viros, Palatii, atque urbis custodes; a quibus obtinuerunt, ne Tarquinium regem deinceps in urbem admitterent. Tarquinius autem certior factus de his, quae contra se senatus, exercitus, omnisque adeo populus, machinabantur: Bruti filium, Aruntis filii sui amicum, et a pueris sodalem, in partes suas corrupit; ipsumque paciscentem habuit, uti venienti Tarquinio contra Romam, urbem ipse proderet; Brutum etiam, patrem suum, neci daret. Haec vero ubi intellexisset Bruti servus, qui filium assectabatur, nomine Vindicius; conspirationem totam, quam in eum filius machinatus est, Domino aperuit. Brutus, his auditis, statim

αὐτοῦ υἱόν, καὶ ἐν τῷ φόρῳ Ῥώμης ἐπὶ πάντων ἐξετάσας αὐτόν,
V 77 *ἠνάγκαζεν αὐτὸν ἐξειπεῖν τὰ αὐτῷ καὶ τῷ Ταρκυνίῳ βεβουλευμέ-*
να. ὁ δὲ ὡμολόγησε τῷ ἰδίῳ πατρὶ τὴν γενομένην παρ' αὐτοῦ
σύνταξιν τῆς προδοσίας πρὸς τὸν Ταρκύνιον· καὶ εὐθέως ἐφό-
νευσε τὸν ἴδιον υἱόν. καὶ λοιπὸν συναθροισθεῖσα ἡ σύγκλητος
Ῥώμης πᾶσα ἀπεκήρυξε τὸν Ταρκύνιον τῆς βασιλείας, ἐγγράφως
τὴν καθαίρεσιν αὐτοῦ ποιήσαντες, ψηφισάμενοι ἐν πρώτοις καὶ
δισιγνιτεύσαντες ὑπάτους δύο, τὸν Βροῦτον τὸν μέγαν καὶ τὸν
Κολλατῖνον τὸν ἄνδρα τῆς Λουκρητίας, διοικεῖν τὴν πολιτείαν
Ῥωμαίων προβαλλομένους κατὰ ἰδίαν δοκιμασίαν ἄρχοντας, καὶ
μὴ εἶναι τοῦ λοιποῦ βασιλέα ἐν τῇ Ῥώμῃ, γράψαντες καὶ τῷ
στρατῷ τῷ ὄντι μετ' αὐτοῦ Ταρκυνίου ἀπολιπεῖν αὐτόν· καὶ ἀπέ-
B *στησαν εὐθέως. ἢ μόνον δὲ προῆλθεν ὕπατος ὁ Βροῦτος, εὐ-*
θέως ἐπὶ τῆς συγκλήτου καὶ τοῦ δήμου ἀγαγὼν τὸν ἴδιον δοῦλον
τὸν Βινδίκιον ὑπὲρ εὐχαριστίας, ὅτι πιστὰ ἐφύλαξε τῷ ἰδίῳ δε-
σπότῃ, καὶ ἐπιτελέσας ἑορτὴν πανηγυρικὴν τῇ Δίκῃ καὶ καθίσας
O 232 *ἐν τῷ ὑψηλῷ βήματι ἀνήγαγε τὸν Βινδίκιον ἐν ὕψει ἄντικρυς αὐ-*
τοῦ, καὶ ἐκτείνας τὴν δεξιὰν αὐτοῦ χεῖρα, καὶ τῇ παλάμῃ αὐτοῦ
πληγὰς τρεῖς ἐπὶ τὴν αὐτοῦ παρειὰν ἐπαγαγὼν μετὰ κραυγῆς ἔφη
ταῦτα, Ἀποτιναξάμενος τὴν τῆς σῆς δουλείας τύχην, ὦ Βινδίκιε,
καὶ τὴν ταύτης ἐκδυσάμενος ζυγὸν ἔνδυσαι Ῥωμαϊκῆς ἐλευθερίας
θώρακα τὸν ἅπαντα τῆς ζωῆς σου χρόνον. καὶ ἀφελόμενος ἐκ
C *τῆς ἰδίας χειρὸς δακτύλιον χρυσοῦν ἐπέβαλεν εἰς τὴν δεξιὰν αὐ-*
τοῦ χεῖρα, δεδωκὼς αὐτῷ καὶ ἀξίαν κόμητος καὶ μέρος τῆς αὐτοῦ

comprehendit filium suum; eumque in foro, coram omnibus, examini subjecit; totumque Tarquinii consilium detegere cogit. Filius itaque patri conjurationis omnem seriem indicavit: pater inde illico filium neci tradidit. Senatus deinde Romanus omnis in unum congregatus, Tarquinium regno abdicavit, ejectione ejus in Acta publica etiam relata; cum prius Consules duos constituissent Brutum magnum et Collatinum, Lucretiae conjugem. His itaque communi consensu Reipublicae administratoribus designatis; cautum deinde erat, ne unquam Potestas Regia in Romam denuo admitteretur. Exercitum etiam, quem secum habuit Tarquinius, per literas hortati sunt, uti regem desererent: quod et factum est. Brutus vero Consul factus, servum suum Vindicium Senatus et populi in conspectum adduxit, ob fidem ejus Domino praestitam, beneficium ei repensaturus. Festivitatem itaque solennem *Justitiae* indixit: et conscenso throno excelso, servum suum Vindicium loco etiam sublimiore sibi e regione collocavit: deinde manum dextram protendens, tres ei alapas palma impegit super faciem, elata hac voce locutus. „Excusso, Vindicie, servitutis tuae jugo, servilem conditionem tuam exuas; et Romanae libertatis thorace deinceps indutus, quamdiu vixeris incedas.“ Anulum deinde aureum suo digito detractum, dexterae ejus imposuit: et concessa etiam ei facultatum suarum portione aliqua, Comitem fecit. Diem autem Celebri-

περιουσίας, καλέσας τὴν αὐτὴν ἡμέραν τῆς ἑορτῆς Κονσίλια, ἅπερ ἑρμηνεύεται παροχῆς ἡμέρα, προστάξας καὶ τοῖς παρ' αὐτοῦ προβληθεῖσιν ὑπατικοῖς ἄρχουσι τῶν ἐπαρχιῶν τῇ αὐτῇ ἡμέρᾳ κατ' ἔτος ἱερὰν παννυχίδα καὶ ἑορτὴν τῇ Δίκῃ ἐπιτελεῖν εἰς μνημόσυνον τῆς κατὰ τοῦ Ταρκυνίου νίκης καὶ τῆς κατ' ἀξίαν ἐλευθερίας τοῦ Βινδικίου εἰς τὸ προτρέψασθαι τοὺς λοιποὺς τοὺς πανταχοῦ οἰκέτας εὐγνωμονεῖν τοῖς ἰδίοις δεσπόταις καὶ τοιαύτης ἐλευθερίας ἀξιοῦσθαι καὶ τιμῆς. ἅτινα Κονσίλια οἱ O 233
ὑπατικοὶ ἄρχοντες τῶν ἐπαρχιῶν ἕως τῆς νῦν ἐπιτελοῦσι πανηγυρίζοντες. περὶ ὧν καὶ Λίβιος ὁ σοφὸς καὶ ἕτεροι πολλοὶ συνε- D
γράψαντο.

Μετὰ δὲ χρόνους πολλοὺς τυραννήσαντες οἱ Γάλλοι ἐκίνησαν πόλεμον Ῥωμαίοις· καὶ τοῦτο γνοῦσα ἡ σύγκλητος Ῥώμης προεχειρίσατο κατ' αὐτῶν στρατηγὸν δυνατὸν ὀνόματι Μαλλίωνα Καπιτωλῖνον. ὅστις ὁπλισάμενος καὶ λαβὼν στρατὸν πολεμικώτατον, ὥρμησεν εἰς τοὺς Γάλλους· καὶ συμβαλὼν πόλεμον ἐνίκησε κατὰ κράτος. καὶ ὑποστρέψας ἐθριάμβευσε τὴν νίκην ἐν τῇ Ῥώμῃ, καὶ εἰσῆλθεν ἀπονενοημένος κατὰ τῆς συγκλήτου καὶ τοῦ στρατοῦ καὶ τοῦ δήμου· καὶ διὰ τοῦτο ἐλυπήθη ἡ σύγκλητος καὶ πάντες. φθονηθεὶς δὲ ὑπό τινος ἐχθροῦ αὐτοῦ συγκλητικοῦ, ὄντος ἐν δυνάμει, ὀνόματι Φεβρουαρίου, καταγομένου ἐκ γένους τῶν Γάλλων, κατεσκευάσθη. ἐν κομβεντίῳ γὰρ O 234 E

1. *Κονσίλια*] *Consualia* in mente habuisse videtur. 2. *παροχῆς*] Conf. inscr. p. 121. 6. *τοὺς λοιποὺς*] Fort. *τοῦ λοιποῦ*. 14. *Μαλλίωνα*] *Μαλλίων* Ox. 16. *Γάλλους*] *Γαλλίους* Ox.

tatis hujus vocavit *Consilia:* ac si diceres, *Diem Largitionis.* Insuper etiam Proconsulibus omnibus Provinciarum Praefectis imperavit, uti eodem die sacrum pervigilium et Festum anniversarium *Justitiae* celebrarent; in memoriam ejecti Tarquinii et Libertatis pro meritis Vindicio concessae: ut hinc nimirum servi omnes documenta sibi sumerent, debitam Dominis fidem praestandi; libertatem, et honores tantos pro meritis reportaturi. Itaque etiam Proconsules ubique Provinciarum Solennitates illas usque adhuc pompa maxima celebrant. De his autem sapiens Livius, aliique plurimi scripserunt.

Longo autem post tempore, Galli in Romanos insurgentes, bellum eis intulerunt: quod ubi intellexisset Senatus Romanus, missus est contra eos Manlius Capitolinus, dux fortissimus. Paravit hic sibi exercitum bellicosissimum; et in Galliam profectus, commissoque cum Gallis praelio, eos profligavit. Romam deinde reversus, triumphum de illis egit. Urbem vero ingressus, senatum, exercitum, populumque fastidire animo visus est: quod senatus quidem, caeterique omnes aegre tulerunt. In eum etiam machinatus est Februarius quidam, adversarius potens, Senatorii ordinis vir et ex Gallis oriundus. Convocato enim Consilio, cum Comi-

εἰσελθόντος τοῦ Μαλλίωνος Καπιτωλίνου, καὶ τοῦ κοινοῦ τῆς
συγκλήτου καθεζομένου, ἐξαναστὰς ὁ Φεβρουάριος συγκλητικὸς
λέγει τῷ Μαλλίωνι, Τοῦ στρατοῦ Ῥωμαίων νικήσαντος τοὺς Γάλ-
λους σὺ τί ὑπεραίρῃ, ὡς μονομαχήσας; ἡ τύχη Ῥωμαίων ἀεὶ
νικᾷ τοὺς πολεμίους· οὐ διέλαθε δὲ ἡμᾶς καὶ τοῦτο, ὅτι διὰ τοῦ-
το ἐν ἀπονοίᾳ τοσαύτῃ ὑπάρχεις, ὡς βουλόμενος καὶ σὺ τυραν-
V 78 νῆσαι τοὺς Ῥωμαίους· ὅπερ οὐκ ἐγγίνεταί σοι. καὶ ἀκούσασα
ταῦτα ἡ σύγκλητος καὶ ὁ στρατὸς καὶ ὁ δῆμος, ἐπῆλθε τῷ
Μαλλίωνι Καπιτωλίνῳ. ὁ δὲ δῆμος ἐπαναστὰς κατὰ γνώμην
τῆς συγκλήτου ἐβόησαν ἐκβληθῆναι ἀπὸ τῆς πόλεως Ῥώμης τὸν
αὐτὸν Μαλλίωνα Καπιτωλῖνον· ὅστις εὐλαβηθεὶς τὸν στρατὸν
καὶ τὸν δῆμον ἐξῆλθεν ἐν τοῖς ἰδίοις κτήμασι, πλησίον τῆς λε-
γομένης Ἀπουληίας χώρας, κἀκεῖ διῆγεν ἡσυχάζων. ἐκείνου δὲ
φυγόντος ἐπῆλθεν ὁ δῆμος Ῥωμαίων τῷ οἴκῳ αὐτοῦ, καὶ πάντα
τὰ διαφέροντα αὐτῷ διήρπασαν.

Οἱ δὲ Γάλλοι προχειρισάμενοι αὐτοῖς ῥῆγα δυνατὸν ἐν πολέ-
O 235 μοις ὀνόματι Βρῆνον, ἐπεστράτευσαν εὐθέως ἐπὶ τῆς Ῥώμης,
B ἀκούσαντες καὶ διὰ τὸν Μαλλίωνα ὅτι ἐξεβλήθη ἀπὸ τῆς Ῥώ-
μης. καὶ ὁρμήσας ὁ Βρῆνος ῥὴξ ἐξαίφνης εἰσῆλθεν ἐν τῇ Ῥώ-
μῃ, καὶ παρέλαβεν αὐτὴν νυκτὸς ἐν χειμῶνι, τῇ πεντεκαιδεκάτῃ
τοῦ ἐξτιλλίου μηνός, προπέμψας λάθρᾳ τοὺς ὀφείλοντας φο-
νεῦσαι τοὺς πορταρίους καὶ ἀνοῖξαι αὐτῷ τὴν πόρταν. καὶ
τούτων φονευομένων ἐγένετο πτῦρμα· καὶ γνόντες οἱ συγκλητι-
κοὶ τὴν παράληψιν τῆς πόλεως, ἔφυγον πάντες, καὶ φανεροὶ τῶν
τῆς πόλεως λαμπροὶ σὺν γυναιξὶ καὶ τέκνοις εἰσῆλθον ἐν τῷ

tium intraret Manlius Capitolinus, Februarius exurgens, reliquis senatoribus assidentibus, ita eum allocutus est. „Quorsum tu, Manli, tam te superbe geris; quasi, tua sola virtute, parta esset haec in Gallos victoria? Nos Romanam Fortunam ubique victricem agnoscimus. Sed neque nos latet hujus tui fastus causa: nempe affectati regni spes tua. Sed frustra eris. Haec ubi audissent senatus, exercitus, et populus, insurgebant una omnes in Manlium Capitolinum: et populus quidem, senatu etiam assentiente, elatis vocibus, eum ex urbe ejici postulabat. Manlius itaque cavens sibi ab exercitu populoque, secessit in praedia sua, non procul ab Apulia sita; ubi deinde latitavit. Fuga autem ejus Romae nota, domum ejus populus invasit, bonaque ejus omnia diripuit.

Galli interim, ubi audissent Manlium ex urbe pulsum esse, bellum contra Romanos instaurant, Ducem constituentes sibi strenuum, Brennum nomine. Hic itaque, missis inprimis qui Janitores urbis clanculo interficerent, portasque sibi aperirent; Romam repente ingressus, urbem nocte tempestuosa cepit, mensis sextilis die xv. Custodibus autem interfectis, ingens consternatio facta est: Senatores vero certiores facti urbem captam esse, fuga rebus suis consuluerunt: ex urbis autem primariis pluri-

*Καπετωλίῳ εἰς τὸ ἱερὸν τοῦ Διὸς μετὰ τῶν ἰδίων χρημάτων. πα-
ραλαβὼν δὲ ὁ Βρῆνος ῥὴξ τὴν πόλιν Ῥώμην, κατασφάζει πολλοὺς
πολίτας καί τινας τῶν στρατιωτῶν καὶ αἰχμαλωτίζει· καὶ ἔμενε
πολιορκῶν τὸ Καπετώλιον διὰ τοὺς ὄντας ἐν αὐτῷ συγκλητι-* C
*κοὺς καὶ διὰ τὰ χρήματα αὐτῶν. δυνηθέντες δὲ οἱ συγκλητι-
κοὶ ἔγραψαν, δεόμενοι τοῦ Μαλλίωνος Καπιτωλίνου συνάξαι τὸν
κατὰ πόλιν καὶ χώραν Ῥωμαίων ὄντα ἐγκάθετον στρατόν, καὶ* O 236
*ἐλθεῖν εἰς ἐκδίκησιν τῆς Ῥώμης καὶ εἰς βοήθειαν αὐτῶν. καὶ
δεξάμενος τὰ τῆς συγκλήτου γράμματα ὁ Μαλλίων Καπιτωλῖ-
νος, γνοὺς ὅτι ἐλήφθη ἡ Ῥώμη καὶ τὸ Καπετώλιον φρουρεῖ-
ται ὑπὸ τοῦ Βρήνου, ῥηγὸς τῶν Γάλλων, ἐταράχθη· καὶ συνα-
γαγὼν εὐθέως πάντοθεν πλῆθος στρατοῦ, καὶ ὁρμήσας, ἦλθε
κατὰ τοῦ Βρήνου ῥηγὸς ἐξαίφνης ἀπροσδοκήτως εἰς τὴν Ῥώμην·
καὶ αὐτὸς νυκτὸς κατάξας τὸν ἴδιον στρατὸν ἐν ταῖς ῥύμαις τῆς
πόλεως, καὶ μεσάσας τὸν Βρῆνον ῥῆγα καὶ τοὺς αὐτοῦ πάν-
τας, ὡς ξένους, ἀνεῖλε. καὶ περιγενόμενος συνελάβετο τὸν αὐ-* D
*τὸν Βρῆνον ῥῆγα· καὶ εὐθέως ἀπεκεφάλισεν αὐτόν, καὶ ἔπηξεν
ἐν κοντῷ τὴν κεφαλὴν αὐτοῦ. καὶ τὰ πλήθη δὲ αὐτοῦ καὶ τοὺς
κόμητας αὐτοῦ κατακόψας, ἐῤῥύσατο πάντας οὓς συνελάβετο
Ῥωμαίους αἰχμαλώτους, ἀφελόμενος καὶ πάντα τὰ παρ' αὐτῶν
πραιδευθέντα. καὶ ἐξελθοῦσα ἡ σύγκλητος Ῥωμαίων ἐκ τοῦ Κα-
πετωλίου μετὰ τὴν νίκην τοῦ Μαλλίωνος Καπιτωλίνου εὐθέως
ἐψηφίσατο αὐτὸν ἅμα τῷ στρατῷ καὶ τῷ δήμῳ τῷ περιλει-
φθέντι αὐτῷ αὐτὸν μόνον διοικεῖν τὰ Ῥωμαίων πράγματα.*

18. *κόντῳ* Ox.

mi, cum uxoribus et liberis bonisque suis omnibus in templum Jovis Capitolini se receperunt. Urbe autem a Brenno capta, multi ex civibus, ex militibus etiam nonnulli gladio perierunt, captivique abducti sunt. Capitolium etiam obsidione cingebat; ut Senatores illic congregatos, una cum divitiis ipsorum occuparet. Senatores vero qui opportunitatem habuerunt hoc faciendi, Manlium per literas imploraruut, uti copiis, quae per urbes regionesque Romanas distributae erant, in unum collectis, in auxilium sibi veniret. Manlius, acceptis senatus literis, atque inde Romam captam, Capitoliumque obsessum esse a Brenno Gallorum duce edoctus, animo turbatus est. Sine mora itaque copiis undequaque collectis, in Brennum proficiscitur ipsumque ex improviso aggressus, exercitumque suum noctu ducens per urbis plateas, Brennum, exercitumque ejus, medius inter eos, adoritur. Galli autem ignari locorum, gladio ceciderunt: Brennoque ipsi comprehenso Manlius caput amputavit contoque affixit. Exercitu itaque ducibusque etiam ejus omnibus excisis, captivos Romanos liberavit omnes; bonis etiam, quae diripuerant Galli, recuperatis omnibus. Senatus autem Romanus, post victoriam a Manlio Capitolino adeptam, ex Capitolio descendens, Romanae Reipublicae administrationem totam uni Manlio concesserunt; exercitu etiam populoque residuo

καὶ κρατήσας πάλιν τῆς Ῥώμης ὁ Μαλλίων Καπιτωλῖνος εὐθέως
O 237 ἐλυπήθη διὰ τὴν παράληψιν τῆς πόλεως Ῥώμης καὶ τὴν ὕβριν
E καὶ τὴν ἧτταν Ῥωμαίων. ἐν δὲ τῷ λεγομένῳ μηνὶ ἑξτιλλίῳ
τοῦ αὐτοῦ μηνὸς τὰς ἡμέρας ἐκολόβωσεν, ὡς δυσοιωνίστου γε-
νομένου τῇ πόλει Ῥώμῃ, ἀποχαράξας καὶ τὸ ὄνομα αὐτοῦ, μη-
κέτι καλεῖσθαι οὕτως. συσχὼν δὲ καὶ τὸν συγκλητικὸν τὸν
ἐχθρὸν αὐτοῦ, τὸν κατασκευάσαντα αὐτῷ, ὀνόματι Φεβρουά-
ριον, τὸν καὶ ποιήσαντα αὐτὸν ἐκβληθῆναι ἔξω τῆς πόλεως Ῥώ-
μης, καὶ πάντα τὰ αὐτοῦ ἀφελόμενος, εὐθέως ἐπ' ὄψεσιν αὐτοῦ
ἐῤῥόγευσε τῷ ἐλθόντι στρατῷ μετ' αὐτοῦ εἰς ἐκδίκησιν τῆς πό-
V 79 λεως Ῥώμης, προσφωνήσας τῇ συγκλήτῳ καὶ τῷ στρατῷ ὅτι
οὗτος ἐκ γένους ἐστὶ τῶν Γάλλων, ὡς καὶ ὑμεῖς ἐπίστασθε, κἀ-
κείνους ἐκδικῶν κατεσκεύασέ μοι. ἔχει δὲ καὶ ἐνυβρισμένον
βίον· ἔστι γὰρ κίναιδος, καὶ οὐκ ἐχρῆν αὐτὸν οἰκεῖν ἐν τῇ Ῥώ-
μῃ, ἀλλὰ χρὴ ἐκβληθῆναι αὐτὸν ἀτίμως καὶ ἐν τῇ αὐτοῦ ζωῇ
ἀφαιρεθῆναι τὸ ὄνομα αὐτοῦ καὶ δοθῆναι αὐτὸν εἰς θυσίαν
τοῖς καταχθονίοις θεοῖς. καὶ συνήνεσεν ἡ σύγκλητος καὶ ὁ στρα-
τός· καὶ εὐθέως ἀφελόμενος αὐτοῦ ἀξίαν ἀπέδυσεν αὐτὸν γυ-
μνόν, καὶ περιειλήσας αὐτὸν ψίαθον καὶ περιζώσας αὐτὸν σχοῖ-
O 238 νον μάσσινον, ἐπιθεὶς τὸ ὄνομα τοῦ αὐτοῦ συγκλητικοῦ δι' ἐγ-
γράφου προστάξεως αὐτοῦ τῷ μηνὶ τῷ ἑξτιλλίῳ, ποιήσας λέ-
B γεσθαι τὸν αὐτὸν μῆνα ἐξ ἐκείνου Φεβρουάριον, ὡς ἀξίου ὄντος
τοῦ ὀνόματος τοῦ μηνὸς δυσοιωνίστου καὶ ἀτίμου, κελεύσας τοῖς
βερνάκλοις, τοῦτ' ἐστὶ περιπόλοις, βαλισσήνοις βάκλοις τύπτειν

suffragantibus. Manlius igitur Capitolinus Roma sua iterum potitus, ob urbis protinus direptiones Romanorumque victorum ignominiam, indignatione commotus est. Mensis vero Sextilis nomen immutari voluit; et tanquam Rebus Romanis infausti, dierum ejus numerum decurtavit. Comprehenso deinde Februario senatore, inimico suo, qui machinationibus suis auctor fuit, ut ex urbe ejiceretur Manlius; bona ejus omnia diripit, ipsiusque in conspectu, militibus suis, qui urbis Romae ultionem secum advenerant, distribuit. Senatum porro exercitumque his affatus; „Februarius, inquit, iste a Gallis oriundus est, uti vos probe nostis: quorum etiam in vindictam ista in me machinatus est. Sed et vitam agit ignominiosam: est enim Cinaedus; nec in urbe Roma degere jure potest. Quin potius ejiciatur inglorius, nomenque ejus, etiam vivente ipso, deleatur. Vos vero ipsum Diis Manibus devovete.“ Annuente senatu, cum exercitu, Februarius statim insignibus omnibus exutus est, nudusque factus. Tum vero storea indutum funiculoque praecinctum, vernaculis eum, sive Excubitoribus tradiderunt, uti virgis caedentes, clamarent: *Exi Februari:* quod Graecis idem est, ac si diceres, ἔκβα περίττιε. Atque hunc in modum senator iste Februarius, ejectus ex urbe, periit, Diis Manibus Sacratus. Cavebat etiam Edicto Manlius, ut Mensis Sexti-

αὐτὸν καὶ κράζειν, Ἔξιθι, φεβρουᾶρι, ὅπερ ἐστὶ τῇ Ἑλληνίδι γλώσσῃ Ἔκβα, περίτιε. καὶ οὕτως ἐκβληθεὶς ἀπὸ τῆς πόλεως Ῥώμης ὁ αὐτὸς συγκλητικὸς ἐτελεύτα, θυσιασθεὶς τοῖς καταχθονίοις θεοῖς. καὶ ἐπιτρέψας τοῖς ἱερεῦσιν ὁ αὐτὸς Μαλλίων ποιεῖν θυσίαν ἐν τῷ αὐτῷ μηνὶ φεβρουαρίῳ, κελεύσας ἐν ἑκάστῃ πόλει Ῥωμαίων τὸ αὐτὸ σχῆμα τοῦ φορέματος τοῦ ψιαθίου γίνεσθαι καὶ τὰ λοιπὰ κατ' ἔτος, καὶ διώκεσθαι τὸν φεβρουάριον τὸν καὶ περίτιον μῆνα πρὸ τῆς πόλεως τυπτόμενον, τὴν κατὰ τοῦ Βρήνου καὶ τῶν Γάλλων σημαίνων νίκην C καὶ τὴν τοῦ ἐχθροῦ τοῦ Μαλλίωνος ἐκδίκησιν, ὅπερ γίνεται ἕως τῆς νῦν εἰς ἑκάστην πόλιν Ῥωμαίων. ἥντινα ἔκθεσιν ηὗρον ἐν Θεσσαλονίκῃ πόλει· καὶ ἀναγνοὺς ηὗρον ἐπιγεγραμμένην τὴν O 239 βίβλον Ἔκθεσις Βρουνιχίου Ῥωμαίου χρονογράφου.

Μετὰ δὲ τοῦ διοικῆσαι τοὺς ὑπάτους ἔτη πολλὰ πάλιν ἐβασίλευσε πρῶτος Ὀκταβιανὸς Αὔγουστος. ὃς ἐπεμέμφετο τῷ Μαλλίωνι Καπιτωλίνῳ, ὡς τάξαντι τὸν κακοιώνιστον φεβρουάριον μῆνα μέσον, καὶ μεταγαγὼν εὐθέως ὁ αὐτὸς Αὔγουστος διὰ θείας αὐτοῦ κελεύσεως τὸ ὄνομα τοῦ φεβρουαρίου μηνὸς ὕστερον πάντων τῶν μηνῶν ἔταξε, καὶ ἀντ' αὐτοῦ τὸ ἴδιον ἑαυτοῦ ὄνομα αὔγουστον τὸν ἕκτον ἀπὸ τοῦ πρίμου καὶ τὸν πρὸ τοῦ αὐγούστου μηνὸς ἐκάλεσεν εἰς τὸ ὄνομα τοῦ θείου αὐ- D τοῦ Ἰουλίου Καίσαρος.

1. Ἔξιθι] Immo Ἔξι. Tum Περίττιε Ox. Sic et v. 8. 14. τοῦ] τὸ Ch. V. vol. II. p. 24. B, 34. D. 15. τῷ] τοῦ Ox. 20. ἀπὸ] τὸν ἀπὸ Ox.

lis in posterum Februarius a Senatore isto diceretur: uti mensis infaustus nomen etiam inauspicatum et inhonorandum haberet. Sacerdotibus etiam Sacrificia indixit Manlius, eodem mense peragenda. Quinetiam urbibus Romanae ditionis universis imperavit; uti, anniversario ritu, simulachrum quoddam, storea funiculoque circumcinctum, eodem quo Februarius modo, virgis extra urbem caederetur: nempe hoc facientes, in odium mensis Februarii; in memoriam vero Brenni, cum Gallis suis profligati, Manliique in adversarium vindictae. Durat autem mos iste, singulis Romanorum urbibus observatus, in hunc usque diem. Ista autem desumpta sunt ex codice quodam, quem in urbe Thessalonica inveni; cujus iste fuit Titulus: *Brunichii, Chronographi Romani, Historia.*

Postea vero quam Consules Romanam Rempub. plures per annos administrassent, regium rursus imperium primus introduxit Octavianus Augustus: qui Manlium Capitolinum culpavit, quod inauspicatum mensem Februarium inter menses medium posuisset. Itaque divino suo Edicto cavit, uti in posterum Februarius in serie mensium ultimus esset: ejus autem in loco, mensem a primo sextum, suo nomine, *Augustum* vocari jussit: antecedentem vero mensem, a Caesaris avunculi nomine *Julium* vocari voluit.

Μετὰ δὲ τὸ ἐκβληθῆναι τὸν Ταρκύνιον τῆς βασιλείας διῴκουν τὴν πόλιν οἱ προειρημένοι ὕπατοι δύο, Βροῦτος ὁ μέγας καὶ ὁ Κολλατῖνος ὁ ἀνὴρ τῆς Λουκρητίας, καὶ ἄλλοι ὕπατοι πολλοὶ ἕως Καίσαρος Ἰουλίου ἐπὶ ἔτη υξδ'.

Ἐν δὲ τοῖς προειρημένοις χρόνοις μετὰ Ἰωακεὶμ Ἄδδοῦς,
O 240 ὅστις ἱερεὺς ἦν τῶν Ἰουδαίων, τῶν δὲ Ἑλλήνων φιλόσοφος παιδευτὴς Πλάτων· ὅστις γράφων πρὸς Τίμαιον περὶ θεοῦ εἶπεν ὅτι τὸ θεῖον ἐν τρισὶν ὀνόμασι, μία δὲ δύναμις καὶ θεότης, εἰπὼν εἶναι πρῶτον αἴτιον τὸ ἀγαθὸν τὸ οἰκτεῖρον τὰ πάντα, δεύ-
E τερον αἴτιον νοῦς ὁ δημιουργήσας τὰ πάντα, τρίτον αἴτιον ἡ ζωοποιὸς ψυχή, ἥτις ἐζωογόνησε τὰ πάντα. τὰς οὖν τρεῖς δυνάμεις μίαν ὑπάρχειν θεότητα ὡμολόγησε. ταῦτα Κύριλλος ὁ ὁσιώτατος ἐπίσκοπος Ἀλεξανδρείας ἐν τοῖς συγγράμμασιν αὐτοῦ ἐνέταξε τοῖς κατὰ Ἰουλιανοῦ τοῦ βασιλέως τοῦ παραβάτου, λέγων ὅτι τὴν ἁγίαν τριάδα εἰς μονάδα θεότητος πάντας προειπεῖν ἀγνοοῦντας τὸ μέλλον.

V 80 Ἐν δὲ τοῖς χρόνοις τοῦ αὐτοῦ Πλάτωνος ἦσαν καὶ ἄλλοι φιλόσοφοι Ἑλλήνων παιδευταί, Ξενοφῶν καὶ Αἰσχίνης καὶ Ἀριστοτέλης. οἵτινες πλάνην μετεμψυχώσεως παρεισήγαγον τοῖς ἀνθρώποις· καὶ τὴν μὲν Καλλίστην, θυγατέρα τοῦ Λυκάονος, με-

vit Sceptrum Ebeninum, pedibusque sandalia alba. Diebus autem hisce sub dio dormivit, in Hypaethro Caesario Basilicae, a Julio Caesare Dictatore extructo: ubi etiam stetit ejus statua, extra concham Basilicae collocata. Caesareum vero illud Martis fani e regione situm erat; quo loco nunc stat Macellum, sic dictum a porcinis carnibus, quae ibi solae venales caeduntur, nec procul a Martis fano situm.

Scriba quoque tum primum a senatu populoque designatus est Pompejanus Quaestor, a Senatoribus Romanis oriundus: qui et ipse stolam quoque candidam gestabat, et coronam ex auro solido, in Laureae effigiem fabrefactam. Hunc vero tanquam Apollinem habuerunt.

Senatus insuper populusque Amphithalem designarunt, nomine Casium Illustrem; qui stola similiter candida, holoserica, indutus incedebat, coronam gestans, ex lauri foliis contextam, cujus in medio sigillum erat Jovis aureum. *Amphithali* autem huic, ceu Mercurio, divinos deferebant honores: sicuti haec omnia sapiens Domninus Chronographus literis prodidit.

Ad sacra vero haec Ludorum Olympicorum certamina undique conveniebat, quicquid erat Juventutis nobilioris; qui in partes sese distrahentes, inter se invicem certamina inierunt. Et hi quidem, (inter quos etiam virgines fuerunt plurimae;) summa sane temperantia et modera-

B σίαν ἕκαστος κατὰ τὸν ἴδιον πλοῦτον· οἱ δὲ πολλοὶ ἐξ αὐτῶν καὶ
παρθένοι ὑπῆρχον· ἦσαν δὲ ἐπιφερόμενοι καὶ πολὺν χρυσὸν ἐκ τῆς
ἰδίας πατρίδος· ἀλλ' εὐχῆς χάριν καὶ τάγματος ἠγωνίζοντο καὶ διὰ
τὸ ἔχειν δόξας εἰς τὴν ἰδίαν πατρίδα. πολὺν οὖν εἶχον ἀγῶνα καὶ
φόβον ἐρχόμενοι· καὶ οἱ μὲν ἐπάλαιον, οἱ δὲ ἔτρεχον, οἱ δὲ ἐσάλπιζον,
οἱ δὲ ἐπαγκρατίαζον, ἕτεροι δὲ ἐπύκτευον πυξίνοις δακτύλοις πυκτι-
O 379 κὰς συμβολάς, ἄλλοι δὲ ἡνιόχουν ἵπποις πρωτοβόλοις, οἱ δὲ ἐφω-
νάσκουν τραγικὰ μέλη. ἦσαν δὲ καὶ παρθένοι κόραι φιλοσοφοῦ-
σαι καὶ κατὰ τάγμα σωφροσύνης ἐρχόμεναι καὶ ἀγωνιζόμεναι καὶ
παλαίουσαι μετὰ βομβωναρίων καὶ τρέχουσαι καὶ τραγῳδοῦσαι
C καὶ λέγουσαι ὕμνους τινὰς Ἑλληνικούς· αἵτινες γυναῖκες μετὰ
γυναικῶν ἐμάχοντο ἀγωνιζόμεναι πικρῶς καὶ περὶ τὰ παλαίσματα
καὶ περὶ τοὺς δρόμους καὶ τὸ φώνημα. καὶ εἴ τις ἐξ αὐτῶν εἴτε
γυνὴ εἴτε νέος τοῦ ἱεροῦ, φησί, δήμου κράζοντος ἐστέφθη, ὁ στε-
φανούμενος ὡς νικητὴς σώφρων ἔμενεν ἕως τῆς τελευτῆς αὐ-
τοῦ· ἐσφραγίζετο γὰρ εὐθέως μετὰ τὸν ἀγῶνα καὶ ἐγίνετο ἱερεύς.
ὡσαύτως δὲ καὶ παρθένοι φιλόσοφοι αἱ στεφανούμεναι ἐγίνοντο
μετὰ τὸν ἀγῶνα ἱέρειαι. κἀκεῖθεν ἀπεστρέφοντο πάντες. οἱ δὲ
O 380 ἔχοντες κτήσεις χωρίων οὐ συνετέλουν ἀλλὰ ἀσυντελεῖς ἔμενον
ἀφ' οὗ ἐστέφθησαν ἡ κτῆσις αὐτοῦ τὸν χρόνον καὶ μόνον τῆς

17. ἐγίνοντο] ἐγένοντο Ox. 20. ἡ κτίσις αὐτοῦ etc.] „Scr. κτῆσις· Enallagen vero hic numeri habemus sermoni soluto inusitatam: forte legendum, *αἱ κτήσεις αὐτῶν, τ. χ. κ. μ. τῆς ζωῆς τῶν στεφθέντων.*" Ch.

tione ibi degebant; nulla ex parte aliorum indigi, ut qui ipsi copiosi essent, atque auri vim magnam ex patria quisque sua attulerant: quin unusquisque etiam eorum, pro facultate, famulitio suo stipatus incedebat; nec, nisi rogati, aut ex pacto, certabant, et ut honores inde in patria sua consequerentur. Itaque certaminibus hi strenue se exercuerunt, et venerationi etiam omnibus fuerunt; hi quidem palaestra, illi cursu, alii instrumentis musicis, alii Pancratio, pugillatu alii, digitis buxo armatis, certantes: nonnulli equis injugibus aurigabantur; alii Tragicis Modulationibus certabant. Quinetiam et Virgines quoque, Philosophiae Candidatae, ex voto quodam castitatis, eo conveniebant; et hae quidem certabant aliae colluctantes, (cum bombonariis) aliae currentes, aliae Tragoedias, et Graecas quasdam cantilenas modulantes. Cum mulieribus autem non nisi mulieres decertabant; et hae, sive lucta, sive cursu, sive voce contendentes, acria quoque inter se certamina commiserunt. Si quis autem alterutrius sexus, sacro populo acclamante, tanquam certamine superior, coronatus fuerit; hic, finito certamine, statim in sacerdotem obsignatus, adusque mortem castus remansit. Virgines quoque, Philosophiae candidatae, coronam victricis adeptae, sacerdotio addicebantur. Tum vero inde discedentes, sedes quisque suas repetierunt. Si quis autem ex coronatis fundi fuit dominus, vectigalia deinceps pendebat nulla; nempe,

ζωῆς τοῦ στεφθέντος. εἰ δὲ καὶ ἐργαστηρίων τινῶν ἐδέσποζεν,
ἀλειτούργητα ἔμενε τὸν χρόνον τῆς ζωῆς αὐτοῦ μόνου ἃ εἶχεν ἐρ- D
γαστήρια ὁ ἀγωνισάμενος. τοσοῦτοι δὲ ἦσαν οἱ ἐρχόμενοι ἀγω-
νίσασθαι ὅτι οὐχ ὑπερεβάλλοντο ἀριθμῷ, ἀλλ' ὅσους συνέβη ἐλ-
θεῖν κατὰ τάγμα καὶ εἴτε νέους εἴτε παρθένους κόρας πάντας
ἐθεώρουν. καὶ ποτὲ μὲν πλῆθος ἤρχετο πολύ, ποτὲ οὐκ ἤρχετο,
πρὸς τοὺς χρόνους καὶ τοὺς ἀνέμους τῆς θαλάσσης.

Ἐπὶ δὲ τῆς τοῦ αὐτοῦ Κομμόδου βασιλείας ἔπαθεν ὑπὸ θεο-
μηνίας Νικομήδεια, μητρόπολις τῆς Βιθυνίας, τὸ τρίτον αὐτῆς
πάθος ἕως τῆς Μουδουπόλεως καὶ τοῦ ποταμοῦ τοῦ Σαγάρεως τὰ
πέριξ μηνὶ μαΐῳ τῷ καὶ ἀρτεμισίῳ γ' εἰς τὸ αὖγος. καὶ πολ- O 381
λὰ ἐχαρίσατο ὁ βασιλεὺς τῇ αὐτῇ πόλει καὶ ἀνήγειρεν αὐτήν. E

Ἐπὶ δὲ τοῦ αὐτοῦ Κομμόδου κτήτωρ τις καὶ πολιτευόμενος
Ἀντιοχείας τῆς μεγάλης ὀνόματι Ἀρταβάνης, ἀλυτάρχης, μετὰ τὸ
πληρῶσαι τὸ στεφάνιον τῶν Ὀλυμπίων ἐν Δάφνῃ ἐφιλοτιμήσατο
ῥίψας ἐν τῇ ἱερᾷ Δάφνῃ τῷ δήμῳ καλαμίων συντόμια πολλὰ V 124
ἄρτων διαιωνιζόντων, καλέσας τοὺς αὐτοὺς ἄρτους πολιτικοὺς διὰ
τὸ τῇ ἰδίᾳ αὐτοῦ πόλει τούτους χαρίσασθαι, ἀφορίσας ἐκ τῶν
ἰδίων χωρίων πρόσοδον ἀναλογουμένην εἰς λόγον τῶν αὐτῶν ἄρ-

2. ἔμενε] ἔμεινε Ox. *ibid.* μόνου] Malim μόνον. 4. ὅτι] ὥστε? *ibid.* ὑπερεβ. Ch., ὑπερβ. Ox. 14. ἀλυτάρχης Ox., ad quod Ch. „Imo *Συριάρχης*. Ita enim supra libri hujus initio eum vocat: *καὶ εὐθέως τότε ὠνομάσθη Συριάρχης πρῶτος Ἀρταβάνιος, πολιτευόμενος*, etc. Alytarcha enim eodem tempore designatus est Aphronius, uti ex loco citato videre est. Artabani vero hujus nominis scriptione magnam varietatem observare licet: Nostro enim *Ἀρταβάνιος* et *Ἀρταβάνης*, Chr. Alex. Auctori *Ἀρτάβανος* etiam dictus est.“ 16. *καλαμίων*] *καλάμια* Chron. Pasch. p. 263. A. Conf. vol. II. p. 5. E. 19. *ἀνηλογουμένην*] „Lego, *ἀναλογουμένην*. Chr. Alex. legit, *ἀναλογοῦσαν*.“ Ch.

dum ipse viveret. Si quibus etiam Opificum sodalitiis praefuit Agonista, ab omni servitio immunia, durante ejus vita et ipsa erant futura. Athletarum vero frequentia, tanta quanta fuerit, impedimento non erat, quo minus illis omnibus utriusque sexus, qui ex pacto eo convenerant, daretur certandi locus. Et erat quidem, cum plures venerunt; erat etiam, ubi pauciores; pro tempestate nimirum, et ventorum ad navigationem accommodatorum opportunitate.

Ejusdem Commodi sub imperio, divinam iram tertium passa est Nicomedia, Bithyniae Metropolis; grassante etiam ulterius terrae motu, Mydopolim usque et Sangarim fluvium, locaque vicina, Maii III, sub ortum solis. Multa autem Imperator, in urbis instaurationem largitus est.

Eodem Imperante Commodo, Artabanes quidam ex Civibus et Magistratibus Antiochiae magnae, Syriarcha, post Coronationem Olympicam in Daphne finitam, magnificentiam suam populo praestiturus, sparsit in eum, ad sacram Daphnem, tesseras quamplurimas Panis Perpetui; destinatis etiam ex praediis suis, ad Congiarii hujus sumptus faciendos, reditibus annuis proportionalibus. Panes vero istos, *Civicos*, vocavit, quod Civita-

τῶν. καὶ ἀνήγειραν αὐτῷ οἱ Ἀντιοχεῖς στήλην ἐν Δάφνῃ μαρμαρίνην, ἐπιγράψαντες, Ἀρταβάνης αἰωνία μνήμη.

Ὁ δὲ αὐτὸς Κόμμοδος βασιλεὺς ἀπελθὼν εἰς τὸν οἶκον Φαυστίνου, συγγενοῦς αὐτοῦ, ἀπὸ αἱματικοῦ χυμοῦ ἀθρόως ἐτελεύτησε.

O 382 Μετὰ δὲ τὴν βασιλείαν Κομμόδου ἐβασίλευσε Περτίναξ ὁ
B καὶ Λούκιος Αὔγουστος μῆνας β' καὶ ἡμέρας ιη'. ἦν δὲ μακρός, εὐθώραξ, ἐπίρινος, ἁπλόθριξ, μεγαλόφθαλμος, γέρων, ὁλοπόλιος. τελευτᾷ δὲ σφαγεὶς ὑπὸ τῶν στρατιωτῶν, ὡς ἐξήρχετο ἐκ τοῦ παλατίου εἰς τὸν Μάρτιον, ὢν ἐτῶν ο'.

Μετὰ δὲ τὴν βασιλείαν Περτίνακος ἐβασίλευσε Δίδιος Ἰουλιανὸς ὁ καὶ Σίλβιος μῆνας ζ'. ἦν δὲ μακρός, μιξοπόλιος, οὐλόθριξ, σύνοφρυς, ὑπόστραβος, λεπτοχαράκτηρος, μελίχρους.

Ἔκτισε δὲ ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ τὸ λεγόμενον Πλεθρίν, ἐπειδὴ εἰς τὸ θέατρον ἐπετέλουν τὰς πάλας ἐν τοῖς Ὀλυμπίοις. καὶ διὰ μηνύσεως τῶν τῆς πόλεως Ἀντιοχείας κτητόρων δεηθέντων παρέσχεν αὐτοῖς χρήματα εἰς τὸ κτίσαι τὸ αὐτὸ Πλεθρίν·
C
O 383 καὶ ἔκτισαν αὐτὸ πλησίον τοῦ Καισαρίου, ἀγοράσαντες τὴν οἰκίαν Ἀσαβίνου πολιτευομένου, Ἰουδαίου τὴν θρησκείαν, πλησίον τοῦ Ξυστοῦ καὶ τοῦ Κομμοδίου δημοσίου. ἐσφάγη δὲ ὁ αὐτὸς Ἰουλιανὸς Δίδιος ὑπὸ κουβικουλαρίου εἰς τὴν πηγὴν τοῦ παλατίου

2. Ἀρταβάνης αἰωνία μνήμη] „Forte legendum, Ἀρταβάνους. Chr. Alex. habet: Ἀρταβάνει ἡ μνήμη αἰωνία.“ Ch. Fort. Ἀρταβάνῃ. Vid. ad p. 115. E. 16. δεηθέντων Ch., θεηθέντων Ox.

tem suam eis donasset. Huic itaque Antiochenses statuam Marmoream ad Daphnem posuerunt cum hac Inscriptione: *Artabanis memoria sempiterna.*

Commodus autem Imperator, dum apud Faustinum, consanguineum suum, commorabatur, sanguinis fluxu subito correptus, interiit.

Defuncto Commodo, imperium obtinuit Lucius Pertinax Augustus, menses II et dies XVIII. Erat autem procerus, pectore firmo, naso adunco, capillitio plano, oculis grandibus, senex, totusque canus. A militibus autem occisus est, dum ex palatio in Campum Martium procedit, aetatis suae anno LXX.

Post hunc, imperavit Didius Julianus, qui et Silvius, menses VII. Erat autem procerus, subcanus, capillitio crispo, junctis superciliis, substrabus, facie tenui, colore flavo.

Extruxit hic Antiochiae Magnae *Plethrum* quod vocant. Cum enim antea, quae in Ludis Olympicis fieri solebant, Palaestrae in Theatro agitatae fuissent; Didius, rogatu civium urbis Antiochiae, pecunias populo largitus est, ad *Plethrum* conficiendum. Quod et factum est, non procul a Caesario; Pretio comparatis in id aedibus Asabini, Judaei professione, qui etiam ex urbis Magistratibus fuit, prope Xystum et Balneum Commodianum sitis. Didius autem Julianus, dum ad fontem intra

Ῥώμης ἔσω, ὡς προσέχει τοῖς ἰχθύσι, κατὰ συσκευὴν τοῦ μετ' αὐτόν. ἦν δὲ ἐνιαυτῶν ξ'.

Μετὰ δὲ τὴν βασιλείαν Διδίου Ἰουλιανοῦ ἐβασίλευσεν ὁ θειότατος Σέβηρος ὁ καὶ Σεπτίμιος, ὑπὸ τῆς συγκλήτου Ῥώμης ψηφισθείς, ἐπὶ τῆς ὑπατείας Φλάκωνος καὶ Κλάρου. ἐβασίλευσε δὲ ἔτη ιζ' καὶ μῆνας θ'. ἦν δὲ διμοιριαῖος τῇ ἡλικίᾳ, λεπτός, εὔστηθος, μακρόρινος, εὐόφθαλμος, μελάγχροος, οὐλόθριξ, ὁλοπόλιος, [D] μεγαλοπώγων, τοὺς πόδας στυφόμενος, μεγαλόψυχος, ὀργίλος.

Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας ἐτυράννησεν Ἀλβῖνος ὁ συγκλητικός· [O 384] ὅντινα ὁ στρατός, ὡς πολεμεῖ τοῖς Γήπεσι πεμφθεὶς παρὰ τοῦ πρὸ αὐτοῦ βασιλέως Διδίου, ἀνηγόρευσε βασιλέα αὐθεντήσας τὴν σύγκλητον. καὶ κατεδίωξεν αὐτὸν ὁ Σέβηρος ἐν τῇ Θρᾴκῃ, καὶ παραλαβὼν αὐτὸν ἐφόνευσεν.

Ἐλθὼν δὲ ὁ Σέβηρος ἐπὶ τὸ Βυζάντιον, καὶ ἑωρακὼς τὴν τοποθεσίαν τῆς πόλεως καλήν, ἀνήγειρε τὴν Βυζούπολιν, καὶ ἔκτισε δημόσιον λουτρὸν τὸ λεγόμενον Ζεύξιππον διότι ἐκεῖ ἵστατο ἐν μέσῳ τοῦ τετραστῴου στήλη χαλκῆ τοῦ Ἡλίου, καὶ ὑποκάτω αὐτῆς ἔγραψε τὸ μυστικὸν ὄνομα τοῦ ἡλίου, Ζευξίππῳ θεῷ· οἱ [E] γὰρ Θρᾷκες οὕτως ἔλεγον τὸν ἥλιον. [O 385] οἱ δὲ τῆς πόλεως Βύζης οὕτως ὠνόμαζον τὸ αὐτὸ δημόσιον Ζεύξιππον κατὰ τὸ ὄνομα ὅπερ

5. *Φλάκωνος καὶ Κλάρου*] „Chr. Alex. legit, *Φλάκκου καὶ Κλάρου*. Eusebius ad an. Severi I. Coss. ponit Falconem et Clarum: uti et Fasti Capitolini, pro *Φλάκωνος*. Itaque apud nostrum, legendum *Φάλκωνος*, facili literarum transpositione.“ Ch. 11. *Γήπεσι* Ch., *Γίπεσι* Ox. Conf. vol. II. p. 22. C, 64. C.

palatium piscibus intendit, a cubiculario suo, a successore ad id subornato, occisus est, annum agens LX.

Didium Julianum excepit divinissimus Severus, qui et Septimius, a Senatu Romano Imperator salutatus, Flaccone et Claro Coss.: et regnavit annos XVII et menses novem. Erat vero statura mediocrem superante, gracilis, pectore firmo, nasutus, oculis venustis, niger, crispus, canus, barbatus, aeger pedibus, magnanimus et ad iram pronus.

Hujus sub imperio novis rebus studebat Albinus, Senator; quem cum Gepidibus (in quos a Didio missus fuerat) bella gerentem, exercitus, spreta Senatus autoritate, Imperatorem salutaverat. Hunc autem insecutus Severus, in Thracia comprehensum, neci dedit.

Severus autem Byzantium veniens, cum situm ejus amoenum observasset, urbem instauravit; Balneo etiam Publico ibidem extructo, cui *Zeuxippus* nomen; ex eo, quod ibi olim steterat, in Tetrastoi meditullio, aerea Solis statua; cujus ad Basim Solis nomen Mysticum inscribebatur, his verbis: *Deo Zeuxippo.* vocabulo enim hoc Thraces Solem indigetant. Balneum itaque hoc Byzantini, non ut Imperator id vocari voluit, *Severianum*, sed a loci nomine antiquo *Zeuxippum* vocitabant. Im-

εἶχε τὸ πρότερον ὁ τόπος, καὶ οὐκέτι, ὡς εἶπεν ὁ βασιλεύς, εἰς τὸ ἴδιον αὐτοῦ ὄνομα ἐκάλουν αὐτὸ Σεβήριον. ὁ δὲ βασιλεὺς Σέβηρος τὸ Τετράστῳον, οὗπερ ἐν μέσῳ ἵστατο ἡ στήλη τοῦ ἡλίου, προσέθηκε τὸ δημόσιον ὃ ἔκτισεν αὐτός, ἀντ' αὐτοῦ κτίσας ἐν τῇ
V 125 ἀκροπόλει τῆς αὐτῆς Βυζουπόλεως ναόν, ἤτοι ἱερόν, τῷ Ἡλίῳ, πλησίον τῶν ὄντων ἐκεῖ ἄλλων δύο ἱερῶν τῶν κτισθέντων πρῴην ὑπὸ μὲν Βύζου τῇ Ἀρτέμιδι σὺν τῇ ἐλάφῳ, ὑπὸ δὲ Φιδαλίας Ἀφροδίτῃ· καὶ ἀναγαγὼν ἐκ τοῦ Τετραστῴου ὁ Σέβηρος τὸ ἄγαλμα τοῦ Ἡλίου ἔστησεν ἄνωθεν τοῦ ἱεροῦ, καὶ κτίσας ὁ αὐτὸς βασιλεὺς καὶ κατέναντι τοῦ ἱεροῦ τῆς Ἀρτέμιδος κυνήγιον μέγα πάνυ, καὶ κατέναντι τοῦ ἱεροῦ τῆς Ἀφροδίτης θέατρον. τὸ δὲ
O 386 Ἱππικὸν ἔστησεν εἰς τὸ αὐτὸ Βυζάντιον ὁ αὐτὸς θειότατος Σέβηρος ἀγοράσας οἰκήματα, καὶ τὸν κῆπον τὸν ὄντα ἐκδενδρώσας ἐποίησε τὸ Ἱππικὸν τοῖς Βυζαντίοις· ὅπερ οὐκ ἔφθασε πληρῶσαι. καὶ τὸ δὲ λεγόμενον Στρατήγιον ἀνενέωσεν ὁ αὐτὸς Σέβηρος·
B πρῴην γὰρ ἦν κτισθὲν ὑπὸ Ἀλεξάνδρου τοῦ Μακεδόνος, ὅτε κατὰ Δαρείου ἐπεστράτευσεν, ὃς καὶ ἐκάλεσε τὸν τόπον Στρατήγιον· ἐκεῖ γὰρ στρατηγήσας τὰ τοῦ πολέμου ὥρμησεν εἰς τὸ πέραν κατὰ Περσῶν.

Ἐπὶ δὲ τῆς βασιλείας τοῦ αὐτοῦ Σεβήρου ἐτυράννησε καὶ ἄλλος συγκλητικὸς Νίγερ τις ὀνόματι, κατελθὼν κατὰ Περσῶν· καὶ μετὰ τὸ ποιῆσαι πάκτα εἰρήνης πρὸς Πέρσας ἀκούσας ὁ στρατὸς

3. οὗπερ Ch., ὅπερ Ox., ὅπου Chron. Pasch. p. 265. C. Conferendus cum his et sequentibus Suidas v. Σεβῆρος. 5. ἀκροπόλει Chron., ἀκροπόλεως Ox. 7. Φιδαλίας] Scribendum Φιδαλείας. Conf. epigramma apud Hesychium Illustrem p. 70. Or. Φειδαλείας scriptum apud Cedrenum p. 323. C.

perator autem Severus Tetrastoum hoc, cujus in medio sita fuerat Solis statua, Balneo publico a se extructo adjecit: cujus in locum, in ipsa urbis summitate, templum quoque Soli erexit, (cujus in summo Solis statuam, ex Tetrastoo detractam collocavit:) in propinquo duobus illis, quae olim ibi erecta fuerant, hoc quidem a Byzo, *Dianae Cervinae* sacrum, illud a Phidalia, Veneris in honorem. E regione autem Dianae templo, Cynegium plane magnum, Veneris autem fani ex opposito Theatrum condidit. Idem divinissimus Severus, aedibus coemptis, hortoque adjacente arboribus denudato, Hippodromum ibi Byzantinis extruxit: quem tamen ad exitum non perduxit. Strategium quoque Severus instauravit, ab Alexandro Macedone olim, cum adversus Darium arma movit, extructum: hoc nomine eidem indito, eo quod exhinc, ubi in bellum Persicum sese parasset, trajecit exercitum.

Ejusdem Severi temporibus, imperium sibi arripuit Senator alius, nomine Niger, in Persas exercitum ducens: quibuscum pacis conditionibus initis, exercitus, audito eum a quibusdam ex Senatu Romano Imperato-

ὅτι τινὲς τῆς συγκλήτου Ῥώμης αὐτὸν ὠνόμασαν βασιλέα, ἀνηγόρευσαν τὸν αὐτὸν Νίγερτα βασιλέα. καὶ παρέλαβε πᾶσαν τὴν ἀνατολὴν ἕως τῆς Αἰγύπτου· ὅντινα οὐκ ἐδέξαντο οἱ Λαοδικεῖς Σύροι, ἀλλ' ἀντέστησαν αὐτῷ. καὶ φοσατεύσας παρέλαβε Λαοδίκειαν, καὶ ἔστρεψεν αὐτὴν καὶ κατέσφαξε πάντας. C

Καὶ ἐπεστράτευσε κατ' αὐτοῦ ὁ αὐτὸς Σέβηρος, καὶ καταδιώξας ἔφθασεν αὐτὸν ἐν Θηβαΐδι τῆς Αἰγύπτου· ὅντινα πολέμῳ O 387 συλλαμβανόμενος ἐφόνευσεν. καὶ ὑποστρέψας ἀπὸ τῆς Θηβαΐδος μετὰ τὴν νίκην ἠγανάκτει κατὰ τῶν Ἀλεξανδρέων, διότι ἐδέξαντο τὸν Νίγερτον τύραννον καὶ ἐπέγραψαν εἰς τὰς πόρτας αὐτῶν, Τοῦ κυροῦ Νίγερος ἡ πόλις. καὶ ἀπαντήσαντες τῷ αὐτῷ βασιλεῖ Σεβήρῳ οἱ δῆμοι τῆς αὐτῆς Ἀλεξανδρέων μεγάλης πόλεως ἔκραζον ταῦτα, Οἴδαμεν, εἰρήκαμεν, Τοῦ κυροῦ Νίγερος ἡ πόλις· σὺ ἦσθα ὁ κῦρις αὐτοῦ. καὶ δεξάμενος τὸ ἕτοιμον τῆς ἀπολογίας συνεχώρησεν αὐτοῖς τὸ πταῖσμα καὶ ἰνδουλγεντίας αὐτοῖς παρασχὼν ἐδέξατο αὐτούς. καὶ ἔκτισεν αὐτοῖς δημόσιον λουτρόν, D ὃ ἐπεκάλεσε Σεβήριον· ἔκτισε δὲ καὶ ἱερὸν τῆς Ῥέας. ἐν τῷ δὲ μέλλειν αὐτὸν ἐξιέναι συνέσχε Θερμόν τινα ὀνόματι, ὅστις ὑπῆρχε τῶν πρώτων ἀξιωματικῶν Ἀλεξανδρείας τῆς μεγάλης καὶ ἀγαπώμενος ἀπὸ τῶν πολιτῶν· ὅστις Θερμὸς ἦν κτίσας ἐν τῇ πόλει ἐκ τῶν ἰδίων δημόσιον λουτρόν, ὃ ἐπεκάλεσε Θέρμα εἰς ὄνομα ἑαυτοῦ. ὅντινα Θερμὸν ἐδήμευσεν Σέβηρος, ὡς φίλον τοῦ Νίγερος. ἀπὸ δὲ Ἀλεξανδρείας ἐξελθὼν ἦλθεν ἐν Λαοδικείᾳ τῆς Συρίας, καὶ

rem nominatum fuisse, Nigrum Imperatorem dicebat. Hic itaque Orientem omnem ad Aegyptum usque occupavit: quem tamen Laodicenses Syri nequaquam recipiebant, sed ei etiam resistebant. Laodiceam itaque obsidione cinxit; captamque funditus evertit, incolis etiam internecioni datis.

Hunc itaque bello petens Severus, in Thebaide Aegypti adoritur: tandemque bello captum interfecit. Victoria autem potitus Imperator, a Thebaide Alexandriam contendit. Alexandrinis autem infensus erat, quod Nigrum rebellantem admittentes, portis etiam suis inscripserant: *Domini Nigri est haec urbs.* Populus itaque Alexandrinus Severo Imperatori procedens obviam, alta voce exclamavit. *Fatemur dixisse nos urbis hujus Dominus Niger est: Tu autem Nigri dominus eras.* Imperator autem, subita hac Alexandrinorum apologia captus, condonavit hoc eis; datisque indulgentiis, in gratiam cum illis rediit. Extruxit etiam ibi Balneum publicum, cui nomen dedit Severianum. Magnae matri etiam aedem sacravit. Inde vero discessurus, Thermum quendam, quod Nigri studiosus fuerat, comprehendi jussit, bonaque ejus publicari. Erat hic Thermus ex primariis Alexandriae Optimatibus, et civibus suis summe charus; ut qui propriis sumptibus Balneum Publicum extruxerat, quod a nomine suo, *Therma*, vocavit. Inde autem discedens Imperator, Laodiceam Syriae

ἐπήνησε τοὺς ὑπολειφθέντας Λαοδικεῖς, καὶ πολλὰ αὐτοῖς ἐχα-
ρίσατο καὶ δίκαιον μητροπόλεως παρέσχε τῇ αὐτῇ πόλει τὸν χρό-
O 388 E νον τῆς βασιλείας αὐτοῦ καὶ μόνον, καὶ Σεπτιμίους ἐκέλευσεν αὐ-
τοὺς χρηματίζειν εἰς τὸ ἴδιον αὐτοῦ ἐπώνυμον, καὶ ἀξίας συγκλη-
τικῶν παρέσχε τοῖς περισωθεῖσιν ἀξιωματικοῖς τῆς αὐτῶν Λαοδι-
κέων πόλεως, διότι οὐκ ἐδέξαντο τὸν τύραννον Νίγερα, ἀλλ' ἐπολέ-
μησαν αὐτῷ. καὶ παρέσχεν αὐτοῖς καὶ σιτωνικὰ χρήματα πολλὰ
καὶ πολιτικὰ χρήματα πολλά, ἐτήσια θεσπίσας ἔχειν αὐτοὺς εἰς
ἐπανόρθωσιν τῆς πόλεως αὐτῶν, ὅτι ὅτε ἦν παραλαβὼν αὐτὴν ὁ
V 126 Νίγερ, ἔκαυσε καὶ ἔστρεψε καὶ πάντας κατέσφαξε τοὺς ἀντιστα-
θέντας καὶ πολεμήσαντας αὐτῷ. ἔκτισε δὲ τοῖς αὐτοῖς Λαοδι-
κεῦσιν ὁ Σέβηρος καὶ Ἱππικὸν καὶ Κυνήγιον καὶ δημόσιον λουτρὸν
πλησίον κάτω τοῦ λιμένος, εὑρηκὼς ἐκεῖ πηγήν. ἔκτισε δὲ ἐκεῖ καὶ
τὸ λεγόμενον Ἑξάστῳον.

Ἐλθὼν δὲ καὶ ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ πολλὰ καὶ αὐτοῖς ἐχα-
ρίσατο· κληδόνα γὰρ νίκης ἔδωκαν αὐτῷ κράζοντες, ἐξιόντι εἰς
Αἴγυπτον κατὰ Νίγερος. ἔκτισε δὲ τοῖς αὐτοῖς Ἀντιοχεῦσι δη-
μόσιον λουτρὸν μέγα παρὰ τὸ ὄρος, ὃ ἐπεκάλεσεν εἰς ὄνομα αὐτοῦ
Σεβηριανόν. ἐκέλευσε δὲ τοῖς αὐτόθι πολιτευομένοις ἐκ τῆς πε-
O 389 B ρισσείας τῶν ἀπομεινάντων ἐγκαυστικῶν χρημάτων ἐκ τῶν δημο-
σίων τῶν πεσόντων κτίσαι τῇ πόλει δημόσιον λουτρὸν ἄλλο· οἵ-
τινες πολιτευόμενοι ἀγοράσαντες τὴν οἰκίαν πᾶσαν τῆς Λιβίας
τῆς πολιτίσσης καὶ τὸ λουτρὸν αὐτῆς καὶ τὸν κῆπον ἔκτισαν ἐκεῖ

11. *Λαοδικεῦσιν* Ch., *Λαοδικεῖς* Ox. 19. *περισσείας* Ch., *περισείας* Ox.

venit; ubi laudatis qui supererant Laodicensibus, plurima eis largitus est; jure etiam Metropolitico urbi, dum Imperator ipse viveret, concesso. Sed et a nomine etiam suo Laodicenses *Septimios* appellari voluit; urbisque Laodicenae cives superstites Senatoria dignitate cohonestavit: nempe quod Nigrum rebellem rejicientes, etiam armis impetiverant. Pecunias etiam illis Frumentarias plena manu dedit; Civicas quoque, quas in urbis instaurationem annuatim solvendas Edicto decrevit. Niger enim urbem captam funditus evertit, incendioque vastavit; civibus etiam omnibus, se ei opponentibus, internecioni datis. Severus autem Hippodromum et Cynegium Laodicensibus condidit; fonteque inferius, prope urbis portam reperto, Balneum quoque Publicum extruxit. Hexastoon etiam, quod vocant, ibidem excitavit.

Antiochiam magnam deinde veniens, plurima etiam civibus dedit; ut qui exeunti ei adversus Nigrum in Aegyptum, elatis vocibus, victoriam ominati fuerant. Extruxit autem ibi ad montem Balneum Publicum, quod a nomine suo Severianum vocavit: Mandato etiam Magistratibus Antiochenis dato, uti ex materie Encaustica, ex Balneorum collapsorum ruinis residua, Balneum aliud Publicum extruerent. Domo itaque Liviae cujusdam, civis Antiochenae, Balneo item hortoque ejus, pretio coemptis,

δημόσιον λουτρὸν εἰς τὴν πεδιάδα τῆς πόλεως. ὅπερ δημόσιον πληρώσαντες ἐπωνόμασαν διαφθονούμενοι ἀλλήλοις Λιβιανὸν εἰς ὄνομα τῆς πωλησάσης τὸν τόπον. ὁ δὲ αὐτὸς Σέβηρος ἐξελθὼν εἰς ἄλλον πόλεμον ἐτελεύτησεν εἰς τὸ βαρβαρικὸν ἐπὶ τὴν δύσιν, ὢν ἐνιαυτῶν ξε'.

Μετὰ δὲ τὴν βασιλείαν Σεβήρου ἐβασίλευσεν Ἀντωνῖνος Γέτας ἔτος α'. ἦν δὲ κονδοειδής, πλάτοψις, σιμός, ὑποφάλακρος, μιξοπόλιος, προγάστωρ, μεγαλόστομος, λευκόχρους, μικρόφθαλμος. C ἀνεῖλεν δὲ αὐτὸν ὁ στρατός, καὶ τελευτᾷ ὢν ἐνιαυτῶν να'.

Μετὰ δὲ τὴν βασιλείαν Ἀντωνίνου Γέτα ἐβασίλευσεν Ἀντωνῖνος ὁ Καράκαλλος, υἱὸς Σεβήρου ἔτη ς' καὶ ἡμέρας κβ'. ἦν δὲ εὐμήκης καὶ εὐσθενής, εὔχροος, στρεβλόρινος, δασυπώγων, μιξοπόλιος, οὐλόθριξ. ἐφιλεῖτο δὲ ὑπὸ τοῦ δήμου Ῥώμης παντός· O 390 ἔχαιρε δὲ εἰς τὸ Πράσινον μέρος. ἐσφάγη δὲ ἐν τῷ παλατίῳ, ὡς ἐξήρχετο εἰς τὸ ἱερόν, ὢν ἐνιαυτῶν μζ'.

Μετὰ δὲ τὴν βασιλείαν Ἀντωνίνου Καρακάλλου ἐβασίλευσε Βαλεριανὸς ἔτη ς'. ἦν δὲ κονδοειδής, λεπτός, ἁπλόθριξ, πολιός, D ὑπόσιμος, δασυπώγων, μελάγκορος, μεγαλόφθαλμος, δειλός, σκνιφός. ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας εἷς τῶν πολιτευομένων Ἀντιοχείας τῆς μεγάλης ὀνόματι Μαριάδης, ἐκβληθεὶς ἐκ τῆς βουλῆς κατὰ συσκευὴν τοῦ παντὸς βουλευτηρίου καὶ τοῦ δήμου, ἐλείπετο γὰρ εἰς τὰ ἱππικά, εἰς οἷον δήποτε μέρος ἐστρατήγησε,

urbis in planitie Balneum aliud Publicum erexerunt iidem Magistratus. Quod ubi ad exitum perduxissent, nominis imponendi honorem sibi mutuo invidentibus, *Livianum*, a dominae prioris nomine, appellatum est. Severus autem, in gentes Barbaras Occidentales bello alio suscepto, ibidem mortuus est, annum agens LXV.

Post Severum imperavit Antoninus Geta annum unicum. Erat hic statura curta, vultu lato, simus, subcalvus, capillitio canescente, ventriosus, ore patulo, cute alba, oculis parvis. Ab exercitu autem sublatus periit, annos natus LI.

Hunc excepit Antoninus Caracalla, Severi filius; qui regnavit annos sex et dies XXII. Erat hic procerus, robustus, colore florido, naso obtorto, barba hirsuta, crine canescente crispoque. Populo hic Romano universo charus erat; Factioni autem Prasinae studebat. A Palatio autem ad Templum procedens, occisus est anno aetatis XLVII.

Post Antoninum Caracallam imperavit Valerianus annos VI. Statura erat curta, gracilis, crine lento, canus, subsimus, barba spissa, pupillis nigris, oculis magnis, timidus, parcus. Hujus sub Imperio Mariades quidam ex Magistratibus Antiochenis, communi Senatus populique suffragio, ex Concilio ejectus est. Cuicunque enim Factioni praefectus fuerat, is nun-

μὴ ἀγοράζων ἵππους, ἀλλὰ τὰ τοῦ ἱππικοῦ δημόσια ἀποκερδαίνων, ἀπῆλθεν εἰς τὴν Περσίδα καὶ ἐπηγγείλατο τῷ βασιλεῖ Περσῶν Σάπωρι προδίδειν αὐτῷ Ἀντιόχειαν τὴν μεγάλην, τὴν ἰδίαν αὐτοῦ πόλιν. καὶ ἦλθεν ὁ αὐτὸς Σαπώρης, βασιλεὺς Περσῶν, μετὰ δυνάμεως στρατοῦ πολλοῦ διὰ τοῦ λιμίτου Χαλκίδος, καὶ
O 391 E παραλαμβάνει τὴν Συρίαν πᾶσαν καὶ πραιδεύει αὐτήν. καὶ παραλαμβάνει Ἀντιόχειαν τὴν μεγάλην πόλιν ἐν ἑσπέρᾳ καὶ πραιδεύει αὐτήν, καὶ στρέφει καὶ καίει αὐτήν, χρηματιζούσης τότε τῆς μεγάλης Ἀντιοχείας τιδ'. ἀπεκεφάλισε δὲ καὶ τὸν πολιτευόμενον, ὡς προδότην ὄντα πατρίδος ἰδίας. παρέλαβε δὲ καὶ πάντα τὰ ἀνατολικὰ μέρη, καὶ στρέφει καὶ καίει καὶ πραιδεύει αὐτὰ καὶ ἐφόνευσε πάντας, ἕως πόλεως Ἐμίσης τῆς τοῦ Λιβάνου
V 127 Φοινίκης. καὶ ἐξελθὼν ὁ ἱερεὺς τῆς Ἀφροδίτης ὀνόματι Σαμψιγέραμος μετὰ βοηθείας ἀγροικικῆς καὶ σφενδοβόλων ὑπήντησεν αὐτῷ. καὶ προσεσχηκὼς ὁ Σαπώρης, βασιλεὺς Περσῶν, ἱερατικὸν σχῆμα, παρήγγειλε τῷ στρατῷ τῷ ἰδίῳ μὴ τοξεῦσαι κατ' αὐτῶν μήτε ἐπελθεῖν αὐτοῖς μήτε πολεμῆσαι αὐτοῖς, εἰς πρεσβείαν δεχόμενος τὸν ἱερέα· προεδήλωσε γὰρ αὐτῷ ὁ ἱερεὺς
O 392 δέξασθαι αὐτὸν πρεσβεύοντα ὑπὲρ τῆς ἰδίας χώρας. ἐν τῷ δὲ διαλέγεσθαι αὐτὸν τῷ ἱερεῖ, ἐν ὑψηλῷ βωμῷ καθημένου τοῦ αὐτοῦ βασιλέως Σαπώρη, ἔῤῥιψεν εἷς τῶν ἀγροίκων σφενδοβόλῳ λίθον, καὶ ἔδωκε τῷ αὐτῷ Σαπώρῃ βασιλεῖ κατὰ τοῦ μετώπου, καὶ εὐθέως ἀπέθανεν ἐπὶ τὸν τόπον. καὶ ταραχῆς γενομένης,

5. λιμιτοῦ Ox. 9. τιδ' Ch., δτι' Ox. Poterat etiam διτ'. 17. ἐπελθεῖν Ch., ἀπελθεῖν Ox.

quam equos coemit; nummo Publico, ad Circensia destinato, in loculos suos collecto. Hic itaque Persidem abiit; ubi Sapori, Persarum regi, ultro se obtulit urbis suae Antiochiae magnae proditorem. Sapores itaque Persarum rex, copiis ingentibus instructus, per Chalcidis limites ducit iter; totamque Syriam occupatam vastavit. Magnam quoque Antiochiam, vespere captam, diripuit; eversa etiam urbe et flammis absumpta. Annus tunc erat Aerae Antiochenae cccxiv. Mariadem vero Magistratum Antiochenum, tanquam patriae suae proditorem, capite multavit. Per omnem quoque Orientem grassatus, adusque Emisam, quae Phoeniciae Libanisiae urbs est, occisis ubique incolis, omnia cepit, vastavit, combussit. Egressus autem Sampsigeramus quidam, Veneris sacerdos, rustica fundatorum manu stipatus, Sapori procedebat obviam. Rex autem Sapores, observato habitu sacerdotali, imperavit suis, nequis sagittam emitteret, aut in turbam illam arma sua moveret: Sacerdotem etiam, pro patria sua se legatum advenire dicentem, accepit. Interim vero dum Sapores rex, altari excelso insidens, cum sacerdote sermones haberet, ex rusticis quidam, vibrato in regem lapide, fronte eum percussit; qui statim mortuus cecidit. Tumultu inde exorto, exercitus Regis ob mortem fa-

ἤκουσεν ὁ στρατὸς αὐτοῦ ὅτι ἀπέθανε· καὶ ὑπολαβόντες Ῥω- B
μαίους καταφθάσαι, ἔφυγον ἐπὶ τὸ λίμιτον πάντες, διωκόμενοι
ὑπὸ τῶν ἀγροίκων καὶ τοῦ ἱερέως Σαμψιγεράμου, ἐάσαντες τὰ
τῆς πραίδας πάντα, ἀφανεῖς ἐγένοντο. ὑπήντησε δὲ αὐτοῖς διὰ
τοῦ λιμίτου, ἀντιποιούμενος Ῥωμαίων, Ἔναθος, βασιλεὺς Σα-
ρακηνῶν βαρβάρων, ὁ κρατῶν τὴν Ἀραβίαν χώραν· ὅστις εἶχε
γυναῖκα Ζηνοβίαν ὀνόματι, Σαρακηνὴν βασίλισσαν. καὶ πάν-
τας τοὺς Πέρσας τοὺς τῆς βοηθείας Σαπώρη ἀνήλωσεν Ἔνα-
θος, βασιλεὺς Σαρακηνῶν, καθὼς Δομνῖνος ὁ σοφὸς χρονο- O 393
γράφος ἐξέθετο· ὁ δὲ σοφώτατος Φιλόστρατος ἄλλως συνεγρά-
ψατο τὰ περὶ Σάπωρος, βασιλέως Περσῶν, εἰπὼν ὅτι καὶ τὴν
Συρίαν παρέλαβε καὶ ἔκαυσε σὺν τῇ μεγάλῃ Ἀντιοχείᾳ καὶ ἄλ- C
λας πόλεις πολλάς, ὁμοίως δὲ καὶ τὴν Κιλικίαν παρέλαβε, καύ-
σας Ἀλεξάνδρειαν τὴν μικρὰν καὶ Ῥωσσὸν καὶ Ἀνάζαρβον καὶ
Αἰγὰς καὶ Νικόπολιν καὶ ἄλλας πολλὰς πόλεις τῆς Κιλικίας, καὶ
διὰ τῆς Καππαδοκίας κατῆλθεν ἐπὶ τὰ Περσικὰ μέρη, καὶ ὅτι
ἀπήντησεν αὐτῷ Ἔναθος, βασιλεὺς Σαρακηνῶν, εἰς συμμαχίαν
αὐτοῦ, φησίν, ἐλθών, καὶ ἐφόνευσεν αὐτόν. Δομνῖνος δὲ ἀλη-
θέστερον μᾶλλον ἐξέθετο, εἰρηκὼς ὅτι ἐπὶ τὴν Κιλικίαν Σπά-
την τὸν σατράπην αὐτοῦ ἐξέπεμψε μετὰ πλήθους.

Ὁ δὲ Βαλεριανὸς βασιλεὺς ἐξελθὼν ἀπὸ Ῥώμης ἦν ἀπελθὼν
εἰς πόλεμον εἰς Μιζουλανόν· καὶ ἐγνώσθη αὐτῷ διὰ τὴν ἀνατο-
λήν, καὶ ἤθελεν ὑποστρέψαι καὶ κατελθεῖν εἰς τὴν ἀνατολήν, D

3. ὑπὸ] Immo δὲ ὑπό. 15. Αἰγὰς] Αἶγας Ox.

ctum esse intellexerunt. Romanos itaque venisse existimantes, in fugam se conjiciunt omnes; praedaque tota relicta, fines suos repetunt; Sampsigeramo sacerdote interim, cum turba sua rustica, illos persequente. Per limites vero redeuntes eos adortus est Enathus, Romanorum socius, Rex Barbarorum Sarracenorum et Arabiae dominus: qui uxorem habuit Zenobiam, reginam Sarracenicam. Hic Saporis Persarum regis copias profligavit omnes; uti haec tradidit sapiens Domninus Chronographus. Aliter autem ista de Sapore, Persarum rege, scriptis suis tradidit sapientissmus Philostratus, affirmans Syriam nempe eum omnem, Antiochiam item magnam, aliasque urbes plurimas incendio devastasse. Cilicia etiam, ejusque urbibus, Alexandria minore, Rhoso, Anazarbo, Aegis, Nicopoli, aliisque plurimis ignibus absumptis, Persidem suam per Cappadociam repetenti, Enathum, Saracenorum regem, ceu belli socium, ei obviam processisse, tandemque interfecisse. Caeterum his veriora sunt, quae apud Domninum habentur; qui Spatem Satrapam a Sapore in Ciliciam cum exercitu missum fuisse testatur.

Imperator autem Valerianus, Roma profectus, in Mediolanum arma movit: ubi de motibus Orientalibus certior factus, ab incoepto opere de-

καὶ οὐκ ἠδυνήθη, ἀλλὰ μεσασθεὶς ἐσφάγη ἐκεῖ εἰς Μιζουλανόν, ὢν ἐνιαυτῶν ξα΄.

O 394 Μετὰ δὲ τὴν βασιλείαν Βαλεριανοῦ ἐβασίλευσε Γαλλιενὸς ὁ καὶ Λικινιανὸς ἔτη ιδ΄. ἦν δὲ τῇ ἡλικίᾳ τέλειος καὶ γενναῖος, μελάγχροος, οὐλόθριξ, δασυπώγων, εὔρινος, μεγαλόφθαλμος, μεγαλόψυχος· ἐφίλει δὲ τὸ Βένετον μέρος. καὶ ἢ μόνον ἐβασίλευσεν, ἐπεστράτευσε κατὰ Περσῶν καὶ κατῆλθεν εἰς ἐκδίκησιν Ῥωμαίων· καὶ πολλὰ παρέσχε τοῖς πραιδευθεῖσι καὶ ζήσασι, καὶ ἀνήγειρε τὰ καυθέντα καὶ ἐκούφισε τὰς συντελείας ἐπὶ ἔτη δ΄. ἔκτισε δὲ καὶ ἱερὸν ἐν Ἐμίσῃ μέγα. καὶ συμβαλὼν πόλεμον πρὸς τοὺς Πέρσας,
E καὶ πολλῶν πεσόντων ἐξ ἀμφοτέρων τῶν μερῶν, ἐποίησεν εἰρήνης πάκτα. κἀκεῖθεν ὑποστρέψας ἀπῆλθεν εἰς τὴν Ἀραβίαν, καὶ συνέβαλε πόλεμον τῷ Ἐνάθῳ, βασιλεῖ Σαρακηνῶν βαρβάρων, καὶ ἐφόνευσεν αὐτόν, καὶ παρέλαβε τὴν Ἀραβίαν· καὶ ὑπέστρεψεν ἐν Ῥώμῃ, καὶ νόσῳ βληθεὶς τελευτᾷ, ὢν ἐνιαυτῶν ν΄.

Μετὰ δὲ τὴν βασιλείαν Γαλλιενοῦ τοῦ καὶ Λικινιανοῦ ἐβα-
O 395 V 123 σίλευσε Κλαύδιος Ἀπολλιανὸς ἔτη θ΄. ἦν δὲ διμοιριαῖος, λευκός, προκοίλιος, ἁπλόθριξ, πλάτοψις, ὑπόσιμος, ὑπόγλαυκος, ὑπόξανθος, στρεβλόστομος, μικρὸν ὑπότραυλος, μεγαλόψυχος· ἔχαιρε δὲ τῷ Πρασίνῳ μέρει.

Ἐπὶ δὲ τῆς βασιλείας αὐτοῦ ἔπαθε Νικομήδεια, μητρόπολις

17. *Γαλλιένου* Ox.

sistere voluit, in Orientem profectus: Verum ab hostibus undique obsessus, per eos non potuit; sed Mediolani occisus interiit, annum agens LXI.

Valerianum excepit Gallienus, qui et Licinianus; qui imperavit annos XIV. Erat hic statura justa, strenuus, niger, crispus, barba hispida, naso eleganti, oculis grandibus, magnanimus: Venetae autem Factioni studebat. Hic, imperio suscepto, in Persas arma movit; injurias Romanis illatas ulturus. Urbibus autem ab eis spoliatis civibusque superstitibus plurima largitus est; quaeque ignibus absumpta fuerant, instauravit; tributis etiam in quadriennium allevatis. Templum quoque ingens Emessae extruxit. Praelio autem cum Persis commisso, plurimi utrinque ceciderunt, itaque datis invicem pacis conditionibus, Imperator inde in Arabiam ducit iter. Ubi cum Enatho, Barbarorum Saracenorum rege, praelio inito, ipsum interfecit, atque Arabiam occupavit. Romam autem reversus ex morbo interiit, annum agens L.

Post Gallienum Licinianum imperavit Claudius Apollianus annos IX. Erat autem statura justam superante, candidus, ventrosus, crine plano, vultu patulo, subsimus, subcaesius, subflavus, ore detorto, aliquantum balbus, magnanimusque: Prasinae autem Factioni favebat.

Hujus sub imperio Nicomedia, Bithyniae Metropolis, divinam iram

τῆς Βιθυνίας τὸ τέταρτον αὐτῆς πάθος ἀπὸ θεομηνίας ἕως ποταμῶν καὶ Δακιβίζης. καὶ ἐφιλοτιμήσατο τοῖς ζήσασι πολλὰ καὶ τῇ πόλει.

Ἐν αὐτῷ χρόνῳ Ζηνοβία ἡ Σαρακηνή, ἡ Ἐνάθου γυνή, ἐκδικοῦσα τὸν θάνατον τοῦ ἰδίου αὐτῆς ἀνδρός, λαβοῦσα τοὺς συγγενεῖς αὐτοῦ, παρέλαβε τὴν Ἀραβίαν, κατεχομένην τότε ὑπὸ Ῥωμαίων, φονεύσασα καὶ τὸν δοῦκα Ῥωμαίων Τρασσὸν καὶ πᾶ- B σαν τὴν σὺν αὐτῷ βοήθειαν ἐπὶ τῆς αὐτοῦ Ἀπουλλιανοῦ τοῦ καὶ Κλαυδίου βασιλείας. ὁ δὲ αὐτὸς βασιλεὺς Κλαύδιος ἐν τῷ Σιρμίῳ ἦν πολεμῶν, κἀκεῖσε τελευτᾷ, ὢν ἐτῶν νς'.

Μετὰ δὲ τὴν βασιλείαν Ἀπολλιανοῦ Κλαυδίου ἐβασίλευσε O 396 Κυντιλλιανὸς ἡμέρας ιζ'. ἦν δὲ διμοιριαῖος, λεπτός, μακρόψις, μακρόρινος, μελάγχροος, ἁπλόθριξ, εὐόφθαλμος, μιξοπόλιος τὴν κάραν καὶ τὸ γένειον. καὶ τελευτᾷ ἐν τῷ παλατίῳ, ἠῤῥώστει γάρ, ὅτε ἀνηγορεύθη βασιλεὺς δεινῇ ἀνάγκῃ, ὢν ἐνιαυτῶν μα'.

Μετὰ δὲ τὴν βασιλείαν Κυντιλλιανοῦ ἐβασίλευσεν ὁ θειό- C τατος Αὐρηλιανὸς ὁ πολεμικὸς ἔτη ς'. ἦν δὲ μακρός, λεπτός, ὑποφάλακρος, μικρόφθαλμος, ὁλοπόλιος, μεγαλόψυχος, εὔσκυλτος· ἐφόρει δὲ διάδημα ἔχον ἀστέρα. ᾗ μόνον δὲ ἐβασίλευσεν, ἤρξατο τὰ τείχη Ῥώμης κτίζειν γενναῖα· ἦν γὰρ τῷ χρόνῳ φθαρέντα. αὐτὸς δὲ ἐφέστηκε τῷ ἔργῳ, καὶ ἠνάγκαζε τὰ συνέργεια Ῥώμης ὑπουργεῖν τῷ κτίσματι, καὶ πληρώσας τὰ τείχη ἐν ὀλίγῳ

11. Κλαυδίου Ch., Κλαύδιος Ox. 23. πληρώσας Ch., πληρῶσαι Ox.

quarta vice experta est; terrae motibus adusque flumina et Dacibizem invalescentibus. Imperator autem urbi civibusque superstitibus plurima largitus est.

Eisdem temporibus Zenobia illa Saracenica, Enathi conjugis caedem ultura, adscitis sibi, qui sanguine illi conjuncti erant, Arabiam, quae tum Romanis paruit, occupavit, occiso Trasso, Romanorum Duce, copiisque ejus omnibus profligatis; Imperatore ipso Claudio Apolliano tum Sirmii bellum gerente: Ubi etiam diem suum obiit, annum agens LVI.

Post Claudium Apollianum imperavit Quintilianus dies XVII. Erat autem statura quae mediocrem excederet, gracilis, facie oblonga, nasutus, colore nigro, crine demisso, oculis pulchris, capite mentoque canescentibus. In palatio mortuus est, aetatis anno XLI, cum et quo tempore, pro summa rerum necessitate, Imperator factus esset, graviter aegrotaret.

Quintilianum excepit divinissimus Aurelianus ille bellicosus, qui imperavit annos VI. Erat hic procerus, gracilis, subcalvus, parvis oculis, canus, magnanimus, impatiens: Diadema vero stella adornatum gestavit. Hic quamprimum imperare coepit, moenia urbis Romae vetustate collapsa instauravit, munitissimaque fecit. Operi autem ipse institit; quaeque in Roma erant operariorum sodalitia, in structura hac operam suam navare

O 397 *πάνυ χρόνῳ, ἐποίησε θείαν αὐτοῦ κέλευσιν ἵνα ἐξ ἐκείνου τοῦ*
χρόνου οἱ τῆς πόλεως πάσης ἐργαστηριακοὶ Αὐρηλιανοὶ χρη-
D *ματίζουσι, τοῦ βασιλικοῦ ὀνόματος λαβόντες τὴν ἀξίαν ὑπὲρ*
τιμῆς καὶ κόπων. ὁ δὲ αὐτὸς Αὐρηλιανὸς δεξάμενος μήνυσιν,
ἐπεστράτευσε κατὰ Ζηνοβίας, βασιλίσσης Σαρακηνῶν, εἰς τὴν
ἀνατολὴν ἀπελθών. ἐμηνύθη γὰρ περὶ αὐτῆς ὅτι ἐπραίδευσε
καὶ ἔκαυσε τὰ ἀνατολικὰ μέρη ἕως τῶν ὁρίων Ἀντιοχείας τῆς
μεγάλης, πλησίον τοῦ Ὀρόντου ποταμοῦ κατασκηνώσασα. ἣ μό-
νον δὲ κατέφθασεν ὁ αὐτὸς βασιλεὺς Αὐρηλιανὸς Ἀντιόχειαν,
εὐθέως ὥρμησεν, ὡς ἔχει, κατ' αὐτῆς ἐξελθών· καὶ συγκρούσας
κατέκοψε τὰ πλήθη αὐτῆς πάντα. παραλαβὼν δὲ αὐτὴν Ζηνο-
βίαν, ἐκάθισεν εἰς δρομωναρίαν κάμηλον· καὶ πομπεύσας αὐτὴν
εἰς τὰς ἀνατολικὰς χώρας πάσας εἰσήγαγεν αὐτὴν καὶ εἰς Ἀντιό-
E *χειαν τὴν μεγάλην. καὶ θεωρήσας ἐκεῖ ἱπποδρόμιον εἰσήγαγεν*
αὐτὴν εἰς δρομωναρίαν κάμηλον. καὶ κτίσας ἐν αὐτῇ Ἀντιοχείᾳ
τόπον, ἔστησεν αὐτὴν ἄνω δεδεμένην ἐπὶ ἡμέρας τρεῖς· ὅντινα
τόπον κτίσας ἐκάλεσε θρίαμβον. κἀκεῖθεν κατενεγκὼν αὐτὴν
O 398 *ἀπήγαγεν ἐν τῇ Ῥώμῃ, ὡς βασίλισσαν βαρβάρων Σαρακηνῶν·*
καὶ θριαμβεύσας αὐτὴν ἐν τῇ Ῥώμῃ τῷ πρώην σχήματι ἀπε-
κεφάλισεν αὐτήν.

Ὁ δὲ αὐτὸς βασιλεὺς Αὐρηλιανὸς καὶ τὴν Ἀραβίαν, κατεχο-
V 129 *μένην ὑπὸ βαρβάρων Σαρακηνῶν, συγγενῶν Ἐνάθου Σαρακηνοῦ,*
φονεύσας πάντας ἐποίησεν αὐτὴν ὑπὸ Ῥωμαίους εἶναι ἐπαρχίαν.

2. *χρηματίζουσι*] *χρηματίζωσι* Ch. Conf. ad p. 121. B. 12. 15. *δρο-μοναρίαν* Ox.

coegit. Muro itaque exiguo temporis spatio ad exitum perducto, Edicto suo Imperatorio decrevit, ut quotquot Romae erant Operariorum in Mechanicis hisce sodalitiis, ab Imperatorio nomine *Aureliani* exinde vocarentur: nempe mercedem hanc, pro exantlatis laboribus, reportantes. Aurelianus vero per literas edoctus Zenobiam, Saracenorum reginam, partes orientales incendiis vastare, direptis omnibus, adusque Antiochiae magnae fines; et Orontem prope fluvium castra sua posuisse; in Orientem contra ipsam cum exercitu profectus est. Quamprimum autem Antiochiam appulsus fuerat, educto exercitu, sine mora reginam adortus est; praelioque commisso, et copiis ejus omnibus profligatis, ipsam quoque captivam habuit; et Camelo Dromadi superimpositam, per Orientem omnem in Triumpho diduxit. Antiochiam vero perductam, dum spectabat ipse Circensia, in Circum eam introduci jussit, dromadi insidentem. Pegmate quoque erecto, quod ob hoc *Triumphum* vocavit, in eo devinctam per triduum eam collocari jussit. Romam vero inde deportatam, ceu Reginam Barbarorum Saracenorum, ubi eadem qua Antiochiae pompa triumphandam ibi dedisset, caput ei amputavit.

Porro Imperator Aurelianus, illis Enathi cognatis interfectis, Arabiam, ab illis occupatam, Romano imperio rursus asseruit.

Ἐν δὲ τῷ μέλλειν αὐτὸν ἐξιέναι ἀπὸ Ἀντιοχείας τῆς μεγάλης ἐστασίασαν οἱ λεγόμενοι Μονητάριοι Ἀντιοχείας ἐπὶ αὐτοῦ, κράζοντες διὰ συνηθείας τινάς. καὶ ἀγανακτήσας κατ᾽ αὐτῶν ἐτιμωρήσατο αὐτούς.

Ὁ δὲ αὐτὸς Αὐρηλιανὸς καὶ Δακίαν ἐποίησεν ἐπαρχίαν τὴν παραποταμίαν, πλησίον οὖσαν τοῦ Δανουβίου ποταμοῦ. συνέβαλε δὲ ὁ αὐτὸς Αὐρηλιανὸς ἄλλον πόλεμον· καὶ ὑπὸ τοῦ ἰδίου O 399 *στρατοῦ ἐδολοφονήθη ἐν τόπῳ καλουμένῳ Καινῷ Φρουρίῳ, ὡς κακῶς στρατηγήσας τὸν στρατόν. καὶ τελευτᾷ ὢν ἐνιαυτῶν ξα΄.*

Μετὰ δὲ τὴν βασιλείαν Αὐρηλιανοῦ ἐβασίλευσε Τάκιτος B *Αὔγουστος μῆνας ζ΄. ἦν δὲ διμοιριαῖος, λεπτός, ὑποφάλακρος, ἐλλόγιμος, κονδόθριξ, ὁλοπόλιος, λεπτόρινος, φρόνιμος. ἐν δὲ τῇ αὐτοῦ βασιλείᾳ ἀνεφάνη Μανιχαῖός τις ὀνόματι Κέρδων, δογματίζων καὶ διδάσκων καὶ συνάγων ὄχλους. ἐπὶ δὲ τῆς βασιλείας τοῦ αὐτοῦ Τακίτου ἐγένετο πόλεμος ἐν τῇ Ποντικῇ· καὶ κατῆλθεν ὁ αὐτὸς βασιλεὺς πολεμῶν, καὶ ἐσφάγη ἐν Ζταννικῇ τῆς Πόντου ὢν ἐνιαυτῶν οε΄.*

Μετὰ δὲ τὴν βασιλείαν Τακίτου ἐβασίλευσε Φλωριανὸς Αὔγουστος μῆνας β΄. ἦν δὲ κονδοειδής, παχύς, ἀναφάλας, λευκός, οἰνοπαὴς τοὺς ὀφθαλμούς, ὑπόσιμος, μιξοπόλιος τὴν κάραν καὶ τὸ γένειον, πάνυ δὲ δριμύτατος. ἐπεστράτευσε δὲ κατὰ O 400 C

2. *Μονιτάριοι* Ox. 8. *Καινῷ* Ch., Eusebius p. 393., Syncellus p. 385. C, Cedrenus p. 259. B, *Κενῷ* Ox. 10. *Τακῖτος* Ox. 13. *Κερδῶν* Ox.

Imperatore autem ab Antiochia magna discessuro, *Monetarii* Antiochenses, qui dicuntur, tumultuantes, veteres quasdam consuetudines reposcebant sibi. His vero infensus Aurelianus, poenis eos compescuit.

Idem Aurelianus Daciam quoque Parapotamiam, Danubio fluvio adjacentem, in Provinciae formam redegit. Aurelianus etiam in aliud bellum exivit: ubi per insidias a suis interfectus, (in loco, quod *Castrum Novum* appellatur,) ob Ducis officium male praestitum; diem suum obiit, annos natus LXI.

Post Aurelianum imperavit Tacitus Augustus menses VII. Erat hic statura justam superante, corpore tenui, subcalvus, eloquens, crine curto, canus, naso tenuiore, prudens. Hujus sub imperio extitit Cerdo quidam nomine, Manichaeus; qui factis Conciliabulis, dogmata sua in vulgus disseminavit. Sub eodem Tacito, bellum in regione Pontica gestum est; in quod Imperator ipse profectus, occisus est in Ztannica Ponti, annum agens LXXV.

Hunc excepit Florianus Augustus; qui regnavit menses II. Erat autem statura curta, crassus, recalvaster, colore candido, lippus, subsimus, capillitio mentoque canescentibus, ingenii acutissimi. Persis hic bellum

Περσῶν, καὶ ὡς κατέρχεται ἐν Ταρσῷ, ἐσφάγη ὑπὸ τῶν ἰδίων, ὢν ἐνιαυτῶν ξε'.

Μετὰ δὲ τὴν βασιλείαν Φλωριανοῦ ἐβασίλευσεν Ἤλιος Πρόβος ἔτη γ' καὶ μῆνας γ'. ἦν δὲ διμοιριαῖος, προγάστωρ, ἁπλόθριξ, ἀσσόκουρος, δασυπώγων, μελάγχρους, πυῤῥακής, εὐόφθαλμος, σοφὸς πάνυ· ἐφίλει δὲ τὸ Πράσινον μέρος. ἐν δὲ τῇ αὐτοῦ βασιλείᾳ ἐπεκόσμησεν ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ τὸ λεγόμενον Μουσεῖον, καὶ τὸ ἐν αὐτῷ Νυμφαῖον τὸ σιγματοειδές, γράψας ἐν αὐτῷ διὰ μουσαρίου τὸν Ὠκεανόν. ὁ δὲ αὐτὸς βασιλεὺς καὶ τὰς σιτήσεις τῆς αὐτῆς πόλεως Ἀντιοχείας ἐκ τοῦ δημοσίου ἔταξεν,
D ἵνα δωρεὰν παιδεύωσι διὰ θείας αὐτοῦ προστάξεως θεσπίσας.

Ὁ δὲ αὐτὸς βασιλεὺς Πρόβος ἐπολέμησε τοῖς Γότθοις ἐν τῷ Σιρμίῳ· καὶ ἐν τῷ πολεμεῖν αὐτὸν ἐγένετο λιμὸς κοσμικὸς μέγας, καὶ μὴ εὑρεθέντων ἀναλωμάτων ἐστασίασεν ὁ στρατός· καὶ ἐπελθόντες ἔσφαξαν αὐτὸν ἐν τῷ Σιρμίῳ ὄντα ἐνιαυτῶν ν'.

O 401 Μετὰ δὲ τὴν βασιλείαν Πρόβου ἐβασίλευσεν ὁ θειότατος Κᾶρος ἔτη β'. ἦν δὲ κονδοειδής, εὔστηθος, λευκός, ἁπλόθριξ, μιξοπόλιος, ὑπόγλαυκος, πλάτοψις, εὔρινος, παχύχειλος, ὑπερήφανος. ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας ὑπέταξε χώραν, ἥντινα ἐκάλεσε Καρίαν, ποιήσας αὐτὴν ἐπαρχίαν. ἐπεστράτευσε δὲ
E κατὰ Περσῶν, καὶ εἰσελθὼν παρέλαβε τὰ Περσικὰ μέρη ἕως Κτησιφῶντος πόλεως, καὶ ὑπέστρεψεν. ἐτείχισε δὲ ἐν τῷ λιμίτῳ

8. *Μουσεῖον* Ch., *Μουσίον* Ox. *ibid.* *σιγματοειδής* Ox. 9. *αὐτὸ* Ox. 22. *λιμιτῷ* Ox.

intulit: per Tarsum vero iter faciens, a suis interficitur, annos natus LXV.

Post Florianum imperavit Aelius Probus annos III et menses III. Erat hic statura justam superante, ventricosus, crine plano detonsoque, barba hirsuta, cute nigra, rufus, oculis pulchris, summe prudens. Factioni autem Prasinae studebat. Hic Musaeum, quod vocant, Antiochiae Magnae, et Nymphaeum, sigmatis forma extructum, adornavit; caelato ibi Oceano, opere Musivo. Insuper etiam Edicto Imperatorio jussit, uti ex aerario Publico Antiochensi, stipendia annua, pro juventute urbis, literis gratis instituenda, exhiberentur.

Idem Imperator Probus bellum adversus Gothos in Sirmio habuit; quo tempore fames ingens per totum orbem grassata est. Annona autem deficiente, seditione in exercitu excitata, a militibus interfectus est, annos L. natus.

Post Probum imperavit divinissimus Carus annos II. Erat autem statura brevi, pectore firmo, candidus, crine plano, subcanus, oculis subcaesiis, vultu lato, naso decoro, labiosus, superbus. Imperator iste regionem quandam subjugavit, quam in Provinciae formam redactam *Cariam* vocavit. Contra Persas etiam arma movit; eorumque regiones ad Ctesiphontem usque urbem occupavit. Inde vero reversurus Castrum ibi in

κάστρον, ὅπερ ἐποίησε πόλιν, δοὺς αὐτῇ καὶ δίκαιον πόλεως, ὃ ἐκάλεσεν εἰς ἴδιον ὄνομα Κάρας. ὑποστρέψας δὲ ἐν Ῥώμῃ, ἐξῆλθεν ἐν ἄλλῳ πολέμῳ Οὔννους, καὶ ἐσφάγη ἐπὶ τῆς ὑπατείας Μαξίμου καὶ Ἰανουαρίου, ὢν ἐτῶν ξ′ ἥμισυ.

Μετὰ δὲ τὴν βασιλείαν Κάρου ἐβασίλευσε Νουμεριανὸς Αὔ- V 130
γουστος ἔτη δύο. ἦν δὲ μακρός, λεπτός, ἁπλόθριξ, μάκροψις, O 402
λεπτοχαράκτηρος, εὐπώγων, μιξοπόλιος, εὔρινος, εὐόφθαλμος, μελάγχροος. ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας διωγμὸς χριστιανῶν μέγας ἐγένετο· ἐν οἷς ἐμαρτύρησεν ὁ ἅγιος Γεώργιος ὁ Καππάδοξ καὶ ὁ ἅγιος Βαβυλᾶς· ἦν γὰρ ἐπίσκοπος Ἀντιοχείας τῆς μεγάλης. καὶ κατέφθασεν ὁ αὐτὸς βασιλεὺς Νουμεριανός, ἀπιὼν πολεμῆσαι κατὰ Περσῶν. καὶ θέλων κατασκοπῆσαι τῶν χριστιανῶν τὰ θεῖα μυστήρια, ἐβουλήθη εἰσελθεῖν ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ, ὅπου συνήγοντο οἱ χριστιανοί, εἰς τὸ θεάσασθαι τί ἐστιν ἃ ποιοῦσι μυστήρια, ἀκούσας ὅτι κρυπτόμενοι τελοῦσι τὰς λειτουργίας αὐ- B
τῶν οἱ αὐτοὶ Γαλιλαῖοι. καὶ ἐλθὼν πλησίον ἐξαίφνης ὑπηντήθη ὑπὸ τοῦ ἁγίου Βαβυλᾶ· καὶ ἐκώλυσεν αὐτόν, λέγων αὐτῷ ὅτι Μεμιαμμένος ὑπάρχεις ἐκ τῶν θυσιῶν τῶν εἰδώλων· καὶ οὐ συγχωρῶ σοι ἰδεῖν μυστήρια θεοῦ ζῶντος. καὶ ἀγανακτήσας ὁ βασιλεὺς Νουμεριανὸς ἐφόνευσεν αὐτὸν εὐθέως. καὶ ἐξῆλθεν ἀπὸ Ἀντιοχείας, καὶ ἐπεστράτευσε κατὰ Περσῶν· ἐν τῷ δὲ συγκροῦσαι αὐτὸν τὸν πόλεμον ἐπετέθησαν αὐτῷ οἱ Πέρσαι, καὶ O 403

4. καὶ om. Ox. Eadem Ἰαννουαρίου.

limitibus situm muro cinxit: datoque eidem Civitatis jure, a nomine suo *Caras* vocavit. Romam deinde reversus, belloque alio adversus Hunnos suscepto, interfectus est; Maximo et Januario Coss. annos LX. cum semisse natus.

Hunc excepit Numerianus Augustus, et regnavit annos II. Erat hic procerus, gracilis, crine lento, facie longa tenuique, barbatus, subcanus, naso decoro, oculis pulchris, colore nigro. Hujus sub Imperio, Christiani gravem Persecutionem perpessi sunt: quo tempore martyrium subierunt S. Georgius Cappadox et S. Babylas: erat enim hic Episcopus Antiochiae Magnae.

Numerianus enim Imperator, expeditione in Persas suscepta, [per Antiochiam] iter faciens, et Christianorum sacra Mysteria inspiciendi desiderio captus; Ecclesiam Sanctam, ubi Christiani congregati fuerunt, uti cujusmodi eorum essent Mysteria intelligeret, ingredi voluit: Audierat enim, Galilaeos in occulto, Litanias suas celebrare. Propius autem accedenti occurrebat S. Babylas, ingressum ejus prohibens, verbis hisce: „*At ego* non sinam te, Idolothytis conspurcatum, in Mysteria Dei viventis introspicere.“ Ad hoc indignatus Numerianus Imperator, eum absque mora neci tradidit. Antiochia deinde discedens adversus Persas proficiscitur. Persae autem, praelio cum eo commisso, graviter ei incubuerunt;

ἀνεῖλαν τὸ πολὺ πλῆθος τῆς βοηθείας αὐτοῦ, καὶ ἔφυγεν ἐν Κάραις τῇ πόλει· καὶ φοσσεύσαντες οἱ Πέρσαι παρέλαβον αὐτὸν αἰχμάλωτον, καὶ εὐθέως ἐφόνευσαν αὐτόν· καὶ ἐκδείραντες τὸ δέρμα αὐτοῦ ἐποίησαν ἀσκόν, καὶ σμυρνιάσαντες ἐφύλαξαν
C αὐτὸν εἰς ἰδίαν δόξαν· τὸ δὲ λοιπὸν πλῆθος αὐτοῦ κατέκοψαν. τελευτᾷ δὲ ὁ βασιλεὺς Νουμεριανὸς ὢν ἐνιαυτῶν λς΄.

Μετὰ δὲ τὴν βασιλείαν Νουμεριανοῦ ἐβασίλευσε Καρῖνος Αὔγουστος ὁ ἀδελφὸς αὐτοῦ ἔτη β΄. ἦν δὲ κονδοειδής, παχύς, πλάτοψις, λευκός, οὐλόθριξ, ἀναφάλας, σπανός, μεγαλόψυχος. ἐφίλει δὲ τὸ Πράσινον μέρος.

Ἢ μόνον δὲ ἐβασίλευσεν, ἐπεστράτευσε κατὰ Περσῶν εἰς ἐκδίκησιν τοῦ ἰδίου αὐτοῦ ἀδελφοῦ Νουμεριανοῦ· καὶ περιεγένετο αὐτῶν κατὰ κράτος. ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας ἐτελεύτησαν οἱ ἅγιοι Κοσμᾶς καὶ Δαμιανὸς τῷ τρόπῳ τούτῳ, φθο-
D νηθέντες ὑπὸ τοῦ ἰδίου αὐτῶν ἐπιστάτου. ἦσαν γὰρ ἰατροὶ τὴν ἐπιστήμην, ἠγαπῶντο δὲ ὑπὸ τοῦ βασιλέως Καρίνου, ὡς ποιοῦν-
O 404 τες ἰάσεις· συνέβη γὰρ τοῦτο γενέσθαι τῷ αὐτῷ Καρίνῳ βασιλεῖ. μετὰ τὸ συγκροῦσαι τοῖς Πέρσαις καὶ τὰς ἐπάνω ἐνέγκαι καὶ κόψαι ἐξ αὐτῶν ἄπειρον πλῆθος χειμῶνος βαρυτάτου γενομένου ᾔτησαν οἱ Πέρσαι μηνῶν τριῶν ἔνδοσιν γενέσθαι· καὶ διὰ τὸ ἐπαχθὲς τοῦ χειμῶνος φειδόμενος τοῦ ἰδίου στρατοῦ, ὡς κοπωθέντι, ἐνέδωκε τῶν τριῶν μηνῶν τὴν αἴτησιν τῆς εἰρήνης. καὶ λαβὼν τὸ ἴδιον πλῆθος ἦλθεν ἐπὶ τὴν λεγομένην χώραν τῶν Κυρηστικῶν,

23. *Κηρυστικῶν* Ox. Vid. Ch. annotationem.

maximaque exercitus Imperatorii parte excisa; ipse fuga in Caras evasit. Persae vero urbem obsidione cingentes, captivum eum habuerunt; necique statim traditum, excoriarunt: detractamque ei pellem in utrem efformarunt: unguentisque conditam gloriae causa asservarunt: Reliquum vero quod fuit exercitus ejus penitus delerunt. Numerianus autem Imperator e vivis excessit annos natus XXXVI.

Post Numerianum imperavit Carinus Augustus, frater ejus, annos II. Erat autem statura curta, crassus, vultu lato, candidus, crine crispo, recalvaster, parcus, magnanimus: Factioni autem Prasinae studebat.

Hic, suscepto Imperio, absque mora Persis bellum intulit, Numeriani fratris in Vindictam: eosque penitus profligavit. Eodem imperante, Sancti illi, Cosmas et Damianus, domino suo invisi, neci traditi sunt, hoc modo. Erant hi professione Medici; quos Imperator etiam, ob curationes ab eis effectas, magni habuit: cui etiam ipsi hujusmodi quid contigerat. Post Persas praelio devictos et infinitam eorum multitudinem excisam, Persae trium mensium inducias petierunt. Imperator itaque, ob hyemis intemperiem, exercitus etiam sui bellis attriti rationem habens, conditiones pacis in tres menses concessit. Ipse interim in Cyrrhesticam, quam vocant, regionem contendit, ob exercitum suum reficiendum et ut

βουλόμενος καὶ τὸν ἴδιον στρατὸν ἀναπαῦσαι καὶ τοὺς πληγάτους θεραπευθῆναι. ἐλθόντος δὲ αὐτοῦ ἐν τοῖς Κυρηστικοῖς ἐν τῷ χειμῶνι, κἀκεῖ αὐτοῦ διάγοντος καὶ τὰ τοῦ πολέμου τρακταΐζοντος, E *συνέβη ἐξαίφνης τὴν ὄψιν αὐτοῦ εἰς τὰ ὀπίσω στραφῆναι. καὶ πολλῶν ἰατρῶν ἀκολουθούντων τῷ αὐτῷ βασιλεῖ καὶ μηδὲν αὐτὸν ὠφελησάντων, ἐκελεύσθησαν οἱ τῆς χώρας ἰατροὶ εἰσελθεῖν πρὸς τὸν βασιλέα, ὡς εἰδότες τοὺς ἀέρας τῆς ἑαυτῶν χώρας. ἐν οἷς εἰσῆλθε καὶ ὁ ἐπιστάτης τῶν ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ πρὸς τὸν βασιλέα, καὶ συνεισῆλθαν ἅμα αὐτῷ οἱ ἅγιοι. καὶ μηδὲν* V 131 *δυνηθέντων τῶν ἰατρῶν ὠφελῆσαι τὸν βασιλέα Καρῖνον, οἱ ἅγιοι* O 405 *Κοσμᾶς καὶ Δαμιανὸς λαθραίως διελέχθησάν τισι τῶν μεγιστάνων τοῦ βασιλέως ἵνα ἰάσωνται αὐτόν. καὶ εἰσηνέχθησαν οἱ ἅγιοι τῷ βασιλεῖ ἐν νυκτὶ καὶ αὐτοὶ ἰάσαντο αὐτὸν διὰ τῆς ἰδίας προσευχῆς. καὶ ἐπίστευσεν αὐτοῖς, λέγων ὅτι Οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ θεοῦ τοῦ ὑψίστου εἰσί. καὶ ὑγιάνας καὶ ἀποκατασταθεὶς ὡς ἦν τὸ πρώην εἶχεν αὐτοὺς ἐν τιμῇ καὶ πάντες οἱ μεγιστᾶνες αὐτοῦ. παρακληθεὶς δὲ παρ᾽ αὐτῶν τῶν ἁγίων, ἐποίησεν εὐθέως θείαν αὐτοῦ διάταξιν εἰς πᾶσαν τὴν Ῥωμαϊκὴν πολιτείαν, ὥστε μηδένα τῶν λεγομένων χριστιανῶν ὑπομεῖναί τι κακόν, μήτε δὲ κωλύεσθαι θρησκεύειν ὡς βούλονται.*

Ὁ δὲ ἐπιστάτης αὐτῶν εἰσαχθεὶς ἀπὸ τῶν ἄλλων ἀξιωματι- B *κῶν ἰατρῶν τῶν ἀκολουθούντων τῷ αὐτῷ βασιλεῖ, καὶ ἑωρακὼς τὴν πρὸς τοὺς ἁγίους ἀγάπην, ἣν εἶχεν ὁ βασιλεὺς πρὸς αὐτούς,*

2. *Κηρυστικοῖς* Ox. Sic et p. seq. v. 2. 11. *λαθρέως* Ox.

vulnerati sanarentur. Ubi per hyemem commoranti, quaeque ad bellum spectabant, pertractanti, subito accidit faciem ejus in aversum detorqueri. Cumque ii, qui plurimi eum sequebantur, Medici nihil omnino proficerent, regionis illius Medici ad Imperatorem vocati sunt; ut qui regionis suae aëris vim penitus introspectam haberent. Quos inter ad Imperatorem accesserant cum domino suo Sancti illi, Cosmas et Damianus. Cumque in Imperatore sanando frustra fuissent Medici omnes; Sancti, Cosmas et Damianus, quosdam ex Primoribus Imperatoris clanculum alloquuti, rogabant, uti eum sanandi licentiam ipsi haberent. Per noctem itaque intromissi Sancti hi, precibus suis Imperatorem sanabant: qui fidem deinceps eis habens, dicebat; „Homines isti Servi sunt Dei altissimi.“ Imperator itaque, pristinae sanctitati restitutus, Sanctos hosce et ipse, et Optimates ejus, in honore habuerunt. Quin et rogatu eorum divino suo Edicto per totum Imperium Romanum protinus promulgato, cavebat; ne quis deinceps Christianos, quos vocant, violaret, aut a cultu suo prohiberet.

Caeterum eorum Dominus, ubi intellexerat quanto Sanctos hosce amore prosequebatur Imperator; a Primariis Medicis Imperatoris in id addu-

φθονῶν αὐτοῖς ἐκαρτέρησε. καὶ μετὰ τὸ ἐξελθεῖν τὸν αὐτὸν βασιλέα Καρῖνον ἐκ τῶν Κυρηστικῶν εἰς τὰ Περσικὰ δόλῳ ὁ ἐπιστάτης τῶν ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ λαβὼν αὐτοὺς μετὰ τῶν ἰδίων αὐτοῦ ἀνθρώπων ἐν τοῖς ὄρεσιν ἐκρήμνισεν αὐτούς, ὡς ὄντας ἐκ τοῦ δόγματος τῶν χριστιανῶν, καὶ οὕτως οἱ δίκαιοι ἐτελειώθησαν.

O 406 Ἐν δὲ τῷ μέσῳ χρόνῳ τοῦ πολέμου ὁ αὐτὸς Καρῖνος τελευτᾷ ἰδίῳ θανάτῳ, ὢν ἐνιαυτῶν λβʹ.

C Μετὰ δὲ τὴν βασιλείαν Καρίνου ἐβασίλευσε Διοκλητιανὸς ἔτη κʹ καὶ μῆνας θʹ. ἦν δὲ μακρός, λεπτός, ξηρόψις, ὁλοπόλιος τὴν κάραν καὶ τὸ γένειον, λευκὸς τῷ σώματι, γλαυκός, παχύρινος, ὑπόκυρτος, μεγαλόψυχος πάνυ καὶ φιλοκτίστης. ἀνηγορεύθη δὲ βασιλεὺς ἐπὶ τῆς ὑπατείας Βάσσου καὶ Κυντιανοῦ.

Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας ἐγένετο σκότος μέγα πᾶσαν τὴν ἡμέραν· μετὰ δὲ τρία ἔτη τῆς βασιλείας αὐτοῦ ἐποίησε Καίσαρα τὸν υἱὸν αὐτοῦ Μαξιμιανὸν τὸν καὶ Ἑρκουλλιανόν. τῶν δὲ Περσῶν κινησάντων ὁπλισάμενος ὁ Διοκλητιανὸς ἐπεστράτευσεν ἅμα τῷ Μαξιμιανῷ. καὶ φθασάντων τῶν αὐτῶν Ἀντιόχειαν τὴν μεγάλην, ἔπεμψεν ὁ αὐτὸς Διοκλητιανὸς Μαξιμιανὸν τὸν Καί-
D σαρα κατὰ Περσῶν καὶ ἔμεινεν ὁ αὐτὸς Διοκλητιανὸς ἐν Ἀντιοχείᾳ. καὶ ἔκτισεν ἐκεῖ παλάτιον μέγα, εὑρὼν θεμελίους τεθέντας πρῴην μὲν ὑπὸ Γαλλιηνοῦ τοῦ καὶ Λικιννιανοῦ. ἔκτισε δὲ ὁ αὐ-

2. δόλῳ Ch., δόλον Ox. 4. ἐκρήμνισεν Ch., ἐκρέμνισεν Ox. 16. τὸν καὶ Ἑρκουλλιανόν] „Ἑρκούλιος aliis omnibus, tam Graecis, quam Latinis, atque etiam Nostro infra dictus est.“ Ch. V. p. 133. C.

ctus summe eos invisos habuit: Quam primum vero Imperator ex Cyrrestica regione in Persidem discesserat, servis suis stipatus, per dolum Sanctos illos ad montes abductos, tanquam Christiani dogmatis sectatores, praecipites dedit. Talem itaque vitae exitum Justi hi habuerunt.

Imperator autem Carinus, medio belli tempore, naturae concessit, annos natus XXXII.

Carinum excepit Diocletianus; qui imperavit annos XX, et menses IX. Erat hic procerus, gracilis, facie macilenta, capite, barbaque canus, colore corporis pallente, oculis caesiis, naso crasso, subcurvus, summe magnanimus, aedificandique studiosissimus. Imperator vero designatus est, Basso et Quintiano Coss.

Hoc Imperante, tenebrae profundae per diem integrum orbi incubuerunt. Tertio autem imperii anno exacto, Maximianum filium, qui et Herculianus, Caesarem creavit. Persis autem arma sumentibus, Diocletianus, cum Maximiano, in eos profectus est. Per Antiochiam vero magnam facto itinere, Diocletianus, Maximiano contra Persas misso, ibidem commoratus est: ubi etiam Palatium ingens extruxit, inventis ibi jactis olim a Gallieno Licinniano fundamentis. Balneum etiam Publicum urbis in planicie extruxit, prope Circum veterem; quod Diocletianum vocavit.

τὸς Διοκλητιανὸς καὶ δημόσιον λουτρὸν εἰς τὴν πεδιάδα, πλησίον O 407 τοῦ παλαίου ἱππικοῦ, ὅπερ ἐκάλεσε τὸ Διοκλητιανόν. ἔκτισε δὲ καὶ ὡρεῖα λόγῳ ἀποθέτων σίτου· καὶ μέτρα δὲ σίτου πᾶσιν ἔδωκε καὶ τῶν πιπρασκομένων ἄλλων πάντων διὰ τὸ μὴ ἐπηρεάζεσθαί τινα τῶν ἀγοραίων ἀπὸ τῶν στρατιωτῶν· ἔκτισε δὲ καὶ τὸ στάδιον τὸ λεγόμενον ἐν Δάφνῃ διὰ τοὺς Ὀλυμπικοὺς καὶ τοὺς λοιποὺς ἀγωνιστάς, ὥστε μὴ ἀπιέναι ἐν κοτρίγαις καὶ στεφανοῦσθαι ἐν Ἀργυρῷ ποταμῷ, ἀλλὰ μετὰ τὸ ἀγωνίσασθαι πάντας ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ ἀνιέναι αὐτοὺς ἐν τῇ λεγομένῃ Δάφνῃ, καὶ E μὴ ἵνα τοσοῦτον διάστημα ὁδοῦ ἀπέρχωνται ἐν τῷ Ἀργυρῷ ποταμῷ ἐν κοτρίγαις τῆς Κιλικίας, καὶ οἱ Ὀλυμπικοὶ καὶ οἱ Ἀντιοχεῖς ἀπιόντες κατὰ τὸ Ὀλύμπια, καθὼς καὶ ἐν τῇ θείᾳ αὐτοῦ διατάξει ἐκέλευσεν ἐν Δάφνῃ δαφνοῦσθαι τοὺς ἀγωνιζομένους ἐν τῷ ἀγῶνι τῶν Ὀλυμπίων. ἔκτισε δὲ ἐν αὐτῷ τῷ σταδίῳ Δάφνης ἱερὸν Ὀλυμπίου Διός, καὶ ἐν τῇ σφενδόνῃ τοῦ αὐτοῦ σταδίου ἔκτισεν ἱερὸν τῇ Νεμέσει. ἀνενέωσε δὲ καὶ τὸ τοῦ Ἀπόλλωνος ἱε- V 132 ρόν, κοσμήσας διαφόροις μαρμάροις. ἔκτισε δὲ καὶ τῇ Ἑκάτῃ O 408 ἱερὸν καταχθόνιον βαθμῶν τξε'. ἔκτισε δὲ ἐν Δάφνῃ καὶ παλάτιον εἰς τὸ τοὺς ἀνιόντας βασιλεῖς ἐκεῖ καταμένειν, ἐπειδὴ πρῴην εἰς τὸ ἄλσος ἐποίουν παπυλεῶνας καὶ κατέμενον. ἔκτισε δὲ καὶ φαβρικὰς τρεῖς πρὸς τὸ κατασκευάζεσθαι ὅπλα τῷ στρατῷ. ἔκτισε δὲ καὶ ἐν Ἐδέσῃ φαβρικὰ διὰ τὸ τὰ ὅπλα ἐγγὺς χορηγεῖσθαι· ὡσαύτως δὲ καὶ ἐν Δαμασκῷ ἔκτισε φαβρικά, ἐννοήσας

3. ἀποθετῶν Ox. 10. μὴ ἵνα] ἵνα μή? 13. δαφνοῦσθαι] „Forte στεφανοῦσθαι." Ch. 16. Νεμέσει Ch., Νεμέσῃ Ox.

Horrea quoque, pro frumentis condendis, extruxit: mensuris etiam frumenti, aliorumque venalium omnium publice constitutis: ne, qui mercaturam exercerent, a milite damno aliquo afficerentur. Stadium quoque, quod vocant, in Daphne extruxit, propter Olympicos aliosque Agonistas; scilicet ne quadrigis vecti, ad Argyrum fluvium proficisci tenerentur, ad Coronationem: post certamina Antiochiae magnae finita, Daphnem peterent; neque in posterum tantum itineris intervallum emetirentur, ad Argyrum fluvium quadrigis devecti Cilicibus, Antiochenses, quique in Olympicis Agonistae fuissent. Post ludos itaque finitos, juxta Edictum Imperatorium, Daphnem deinceps petebant, uti ibi coronarentur. Condidit etiam, in hoc Daphnes stadio, fanum Jovis Olympii: et in ejusdem stadii funda, templum Nemesi erexit. Apollinis quoque fanum instauravit; variisque Marmoribus exornavit. Templum etiam subterraneum Hecate sacravit; in quod per gradus CCCLXV descendebatur. Palatium insuper in Daphne extruxit; ubi Imperatores, illuc adventantes commorarentur: cum antea tentoriis solum, ad Lucum defixis, uterentur. Quinetiam fabricas ibi erexit, in quibus arma, in exercitus usum, fabricarentur. Edessae etiam fabricas erexit, uti armamenta belli ad manum haberent. Similiter etiam in Damasco fabricas extruxit; ob frequentes Saracenorum incursiones.

τὰς ἐπιδρομὰς τῶν Σαρακηνῶν. ἔκτισε δὲ καὶ ἐν Ἀντιοχείᾳ Μόνηταν, ὥστε χαράσσεσθαι ἐκεῖ νομίσματα· ἦν γὰρ ἡ αὐτὴ Μό- B νητα ἀπὸ σεισμοῦ καταστραφεῖσα· καὶ ἀνενεώθη. ἔκτισε δὲ καὶ λουτρόν, ὅπερ ἐκάλεσε συγκλητικόν, ὁμοίως δὲ καὶ ἄλλα γ' λουτρά.

Ὁ δὲ Καῖσαρ Μαξιμιανὸς ἀπελθὼν κατὰ Περσῶν καὶ νικήσας αὐτοὺς κατὰ κράτος ἐπανῆλθεν ἐν Ἀντιοχείᾳ, λαβὼν αἰχμάλωτον τὴν τοῦ βασιλέως τῶν Περσῶν γυναῖκα, ἐκείνων φυγόντων μετὰ ὀλίγων ἀνδρῶν εἰς τὸ Ἰνδολίμιτον, τοῦ πλήθους αὐτῶν ἀναλωθέντος. ἡ δὲ βασίλισσα τῶν Περσῶν Ἀρσανὴ ᾤκησεν ἐν Δά- O 409 φνῃ φυλαττομένη κατὰ κέλευσιν τοῦ βασιλέως Ῥωμαίων Διοκλητιανοῦ μετὰ τιμῆς ἐπὶ χρόνων. καὶ μετὰ ταῦτα πάκτων εἰρήνης γενομένων ἀπεδόθη Πέρσαις τῷ ἰδίῳ αὐτῆς ἀνδρί, φυλαχθεῖσα μετὰ τιμῆς.

C Ἐν αὐτῷ δὲ τῷ χρόνῳ δωρεαὶ παρεσχέθησαν παρὰ τοῦ βασιλέως πάσῃ τῇ Ῥωμαίων πολιτείᾳ ὑπὲρ τῶν ἐπινικίων.

Ἔκτισε δὲ καὶ εἰς τὰ λίμιτα κάστρα ὁ αὐτὸς Διοκλητιανὸς ἀπὸ τῆς Αἰγύπτου ἕως τῶν Περσικῶν ὅρων, τάξας ἐν αὐτοῖς στρατιώτας λιμιτανέους, προχειρισάμενος καὶ δοῦκας κατὰ ἐπαρχίαν ἐνδοτέρω τῶν κάστρων καθέζεσθαι μετὰ πολλῆς βοηθείας πρὸς παραφυλακήν. καὶ ἀνήνεγκαν τῷ βασιλεῖ καὶ τῷ Καίσαρι στήλας ἐν τῷ λιμίτῳ τῆς Συρίας.

Ἐν αὐτῷ δὲ τῷ χρόνῳ ἐτυράννησαν οἱ Αἰγύπτιοι καὶ ἐφόνευσαν τοὺς ἄρχοντας αὐτῶν. καὶ ἐπεστράτευσε κατ' αὐτῶν ὁ αὐ-

9. Ἰνδολιμιτὸν Ox.

Antiochiae etiam Monetarum officinam, qua nummi cuderentur, terraemotibus collapsam, redintegravit. Balneum etiam, praeter alia tria a se condita, quartum quoque extruxit, quod Senatorium nominavit.

Maximianus interim Caesar, Persis penitus debellatis, Antiochiam revertitur; Captivam secum ducens Persici regis uxorem: quam paucis stipatam, (exercitu reliquo funditus deleto,) ad Indiae limites, una cum Rege Marito fugientem, assecutus fuerat. Regina autem Persarum, Arsane, Diocletiani Romani Imperatoris jussu, in Daphne annis aliquot, omni cum honore custodiebatur. Post vero, pacis conditionibus invicem initis, Regina, in Persidem missa, conjugi suo restituta est.

Eodem tempore Imperator, ob partam victoriam, ubique per imperium Romanum Largitiones distribuit.

Idem Diocletianus Castra passim per confinia extruxit, ab Aegypto usque ad fines Persicos; collocatis ibi Limitaneis militibus, Ducibus etiam per provincias constitutis, qui Castris hisce cum armata manu insidentes, loca custodirent. Imperatori itaque et Caesari stativas ubique per confinia Syriae posuerunt.

Sub hoc tempus Aegyptii in Praefectos suos insurgentes, eos interfecerunt. Imperator itaque in eos arma movit, Alexandriamque Magnam

τὸς Διοκλητιανός, καὶ ἐπολέμησεν ἐν Ἀλεξανδρείᾳ τῇ μεγάλῃ, πο-
λιορκήσας αὐτὴν καὶ ποιήσας φοσάτα, κόψας τὸν ἀγωγὸν καὶ D
στρέψας αὐτὸν ἀπὸ τοῦ λεγομένου Κανώπου καὶ παρέχοντα χρῆ-
σιν τῇ πόλει. παραλαβὼν δὲ Ἀλεξάνδρειαν ἐνέπρησεν αὐτήν·
εἰσῆλθε δὲ ἐν αὐτῇ ἔφιππος, τοῦ ἵππου αὐτοῦ περιπατοῦντος ἐπά-
νω τῶν λειψάνων. ἦν δὲ κελεύσας τῷ ἐξπεδίτῳ μὴ φείσασθαι
τοῦ φονεύειν, ἕως οὗ ἀνέλθῃ τὰ αἵματα τῶν σφαζομένων ἕως τὸ O 410
γόνυ τοῦ ἵππου οὗ ἐκάθητο. συνέβη δὲ κατὰ κέλευσιν θεοῦ πλη-
σίον τῆς πόρτας εἰσελθόντος αὐτοῦ τὸν ἵππον ἐν ᾧ ἐκάθητο ὁ
βασιλεὺς πατῆσαι λείψανον ἀνθρώπου καὶ κονδάψαντα εἰς αὐτὸ
γονατίσαι καὶ αἱματωθῆναι τὸ γόνυ τοῦ ἵππου· καὶ προσεσχηκὼς
ἔδωκεν ἰνδουλγεντίας, καὶ ἐπαύσαντο οἱ στρατιῶται κόπτοντες τοὺς
πολίτας Ἀλεξανδρείας. καὶ ἀνέστησαν οἱ αὐτοὶ Ἀλεξανδρεῖς στή- E
λην χαλκῆν τῷ ἵππῳ ὑπὲρ εὐχαριστίας· ὅστις τόπος οὕτως ὀνο-
μάζεται ἕως τῆς σήμερον ὁ ἵππος Διοκλητιανοῦ. καὶ ἔκτοτε ἐχρη-
μάτισεν ὀνομάζεσθαι πρῶτον ἔτος Ἀλεξανδρείας. ἔστιν οὖν ἐξ
ἐκείνου τοῦ χρόνου ὁ χρηματισμὸς τῆς πρὸς Αἴγυπτον Ἀλεξαν-
δρείας.

Ἐπὶ δὲ τῆς βασιλείας αὐτοῦ ἀνεφάνη τις Μανιχαῖος ἐν Ῥώμῃ
τῇ πόλει ὀνόματι Βοῦνδος· ὅστις ἀπέσχισεν ἐκ τοῦ δόγματος τῶν V 133
Μανιχαίων, παρεισαγαγὼν ἴδιον δόγμα καὶ διδάσκων ὅτι ὁ ἀγα-
θὸς θεὸς ἐπολέμησε τῷ πονηρῷ καὶ ἐνίκησεν αὐτόν, καὶ δεῖ τὸν
νικητὴν τιμᾶν. ἀπῆλθε δὲ καὶ ἐν Περσίδι διδάσκων. ὅπερ δό-

9. εἰσελθότος Ox., εἰσελθόντος Ch. 12. ἰνδουλγεντίας Ch., ἰνδουλπεντίας Ox. 22. τὸν] τὴν Ox.

obsidione cinxit: et fossa egesta, rescissoque qui ibi urbis in usum erat, aquaeductu, cursuque aquarum per aliam a Canopo viam diverso, urbem tandem cepit, captamque incendiis vastavit. Imperator autem, equo insidens, urbem ingressus est; equo interim occisorum cadavera calcante. Exercitui vero in mandata dederat, uti non prius a caedibus abstinerent, quam ad equi cui insidebat genua sanguis occisorum pertingeret. Contigit autem, (Deo ita volente,) Imperatore urbem ingrediente, a Portis ipsis non procul, equum ejus, dum per cadavera incedit, trunco hominis impingere; equique, ex casu illo labascentis, genu sanguine tinctum esse. Quo viso, imperator militem repressit; et venia data non ulterius in Alexandrinos saevire permisit. Alexandrini itaque statuam aeream Equo grati posuerunt; locumque eum, *Diocletiani Equum*, usque adhuc appellant. Insuper etiam Alexandrini annum suum primum exinde numerabant. Hoc itaque initium est Aerae Alexandrinorum in Aegypto.

Hujus sub imperio, prodiit Romae Manichaeus quidam, nomine Bundus: qui neglectis Manichaeorum Placitis, Dogmata sua invexit. „Docebat hic, Bonum Deum cum malo bellum habuisse; Malumque a Bono superatum; honorem proinde Victori tribuendum.“ In Persidem quoque

γμα Μανιχαϊκὸν παρὰ Πέρσαις καλεῖται κατὰ τὴν αὐτῶν γλῶσσαν τὸ τῶν Δαρισθενῶν, ὃ ἑρμηνεύεται τὸ τοῦ ἀγαθοῦ.

O 411 Ὁ δὲ αὐτὸς Διοκλητιανὸς βασιλεὺς ἐποίησε διωγμὸν χριστιανῶν· καὶ ἐτιμωρήθησαν πολλοὶ μαρτυρήσαντες, ἐν οἷς ἐμαρτύρησε καὶ ὁ ἅγιος Μηνᾶς· καὶ αἱ ἐκκλησίαι δὲ καθῃρέθησαν, καὶ ἀπειλαὶ δὲ καὶ φόβος ἦν πολύς.

B Ἐν δὲ τῷ χρόνῳ τῶν Ὀλυμπίων κατέφθασεν ἐν Ἀντιοχείᾳ ὁ αὐτὸς βασιλεὺς Διοκλητιανός, ἐλθὼν ἐξ Αἰγύπτου. καὶ τοῦ Ὀλυμπικοῦ ἀγῶνος μέλλοντος ἐπιτελεῖσθαι, ἐφόρεσε τὸ σχῆμα τὸ τοῦ ἀλυτάρχου ὁ βασιλεὺς Διοκλητιανός. τὴν δὲ στολὴν ὁ ἀλύταρχος ἄσπρον ὁλοσηρικὸν ἐφόρει· ὁ δὲ βασιλεὺς ἀντὶ τοῦ ἄσπρου ἐφόρεσε πορφυροῦν, τὰ δὲ ἄλλα πάντα ὡς ἦν ἔθος τῷ ἀλυτάρχῃ φορεῖν, κρατῶν τὴν ἱερὰν ῥάβδον καὶ προσκυνῶν τὸν δῆμον, ἐθεώρησε τὸν Ὀλυμπικὸν ἀγῶνα τὰς νενομισμένας πάσας ἡμέρας. καὶ ἐκ τῶν ἀξιωματικῶν αὐτοῦ κατήρχοντό τινες ἐν τοῖς Ὀλυμπικοῖς ἀγῶσιν ἐπιδεικνύμενοι ἀρετῆς χάριν· καὶ οἱ μὲν ἐπάλαιον,
C οἱ δὲ ἐπύκτευον, οἱ δὲ ἐπαγκρατίαζον, οἱ δὲ ἔτρεχον· καὶ τοῖς νικῶσι παρεῖχε σάκρας καὶ πᾶσι πολλὰ ἐφιλοτιμήσατο· καθὼς Δο-
O 412 μετιανὸς ὁ σοφώτατος συνεγράψατο. καὶ ἀλυτάρχης ἐν Ἀντιοχείᾳ ὁ αὐτὸς Διοκλητιανὸς καὶ ἀποθέμενος τὸ βασιλικὸν σχῆμα καὶ μετὰ τὸ πληρῶσαι τὰ Ὀλύμπια οὐχ εἵλετο βασιλεῦσαι, λέγων ὅτι Ἀπεθέμην τὴν βασιλείαν καὶ ἐφόρεσα σχῆμα τοῦ ἀθα-

19. Fort. ἀλυταρχήσας.

profectus, ibi etiam dogmata sua disseminavit. Manichaeorum vero dogma hoc Persae, idiomate suo, *Daristhenorum* vocant: quasi dicas, *Dei Boni* dogma.

Idem Diocletianus Imperator Christianos persecutus est; quorum multi Martyrio coronati sunt: inter quos fuit Sanctus Menas. Quin et templa eorum a fundamentis eversa sunt: graves insuper minae, terroresque Christianis incussi.

Olympicis autem appropinquantibus, Imperator Diocletianus, ex Aegypto Antiochiam venit: Ludisque celebratis, ipse Alytarchae habitum suscepit. Moris autem erat, ut Alytarcha stolam albam, holosericam gestaret: imperator vero, pro alba, purpuream sibi sumpsit; in caeteris habitum Alytarchae per omnia referebat: sacramque manu ferens virgam, et populum pro more veneratus, per dies constitutos omnes, Olympica Certamina spectabat. Itaque ex Optimatibus etiam ejus nonnulli eo ad Certamina convenerunt, virtutis suae specimina exhibituri: quorum hi palaestra, illi pugilatu, alii Pancratio, cursu vero alii decertabant. Victoribus autem *Sacras* dedit; omnibusque munera affatim dispertivit, uti sapientissimus Dometianus haec scripta reliquit. Diocletianus autem Alytarcha Antiochiae factus, Imperatorium habitum deposuit: nec amplius, finitis Olympicis, Imperatorio fungi munere voluit; dicens: *Imperio memet*

νάτου Διός. καὶ ἔκτοτε ἔμεινεν οὕτως. τελευτᾷ δὲ ἰδίῳ θανάτῳ, ὢν ἐνιαυτῶν οβ'.

Μετὰ δὲ τὸ ἀποθέσθαι τὸν Διοκλητιανὸν τὴν βασιλείαν ἐβασίλευσε Μαξιμιανὸς ὁ καὶ ἐπίκλην Ἑρκούλιος ἔτη ιθ'. καὶ ἀνελθὼν ἐν Ῥώμῃ ἐθριάμβευσε τὴν κατὰ Περσῶν καὶ Αἰγυπτίων νί- D κην. ἦν δὲ μακρός, εὐσθενής, μιξοπόλιος τὴν κάραν, ἁπλόθριξ, τελειοπώγων, μελάγχροος, εὔρινος, εὐόφθαλμος, ἐλλόγιμος. ἠγωνίσατο δὲ καὶ αὐτὸς κατὰ χριστιανῶν καὶ ἐτιμωρήσατο πολλοὺς ἁγίους· ἐν οἷς ἐμαρτύρησεν ὁ ἅγιος Πανταλέων καὶ ὁ ἅγιος Ἡσύχιος καὶ ὁ ἅγιος Ἕρμιππος καὶ ὁ ἅγιος Ἑρμόλαος καὶ ὁ ἅγιος Ἑρμοκράτης.

Καὶ πάλιν Ὀλυμπίων ἀγομένων ἐν τῇ αὐτοῦ βασιλείᾳ, ἐλθόντος αὐτοῦ ἐν τῇ ἀνατολῇ κατὰ Ἀρμενίων τυραννησάντων Ῥωμαίους, νικήσας αὐτοὺς κατὰ κράτος καὶ ὑποτάξας αὐτούς, μαθὼν δὲ τὸν καιρὸν τῶν Ὀλυμπίων ὑπάρχειν, παρεγένετο ἐν Ἀν- E τιοχείᾳ διὰ τὰς ἐπισήμους ἡμέρας τοῦ ἀγῶνος. καὶ φορέσας καὶ O 413 αὐτὸς τὸ σχῆμα τοῦ ἀλυτάρχου ἀλυτάρχησε· καὶ ἠγωνίσαντο καὶ ἐπὶ αὐτοῦ ἐκ τοῦ δήμου τέκνα συγκλητικῶν καὶ συγκλητικοὶ νεώτεροι· καὶ οἱ μὲν ἐπάλαιον, οἱ δὲ ἔτρεχον, οἱ δὲ ἐπαγκρατίαζον, οἱ δὲ ἡνιόχουν, οἱ δὲ ἐπύκτευον, οἱ δὲ ἐφωνάσκουν· καὶ οἱ νικῶντες ἐλάμβανον μείζους ἀξίας, οἱ δὲ προέκοπτον ἐν ταῖς στρατείαις δίχα τῶν διδομένων αὐτοῖς φιλοτιμιῶν. ἀπέθετο δὲ καὶ αὐτὸς

17. ἀλυτάρχησε] ἠλυτάρχησε Ch. V. vol. II. p. 49. C. 20. ἐφωνάσκων] „ἐφωνάσκουν, uti etiam supra habet, in Commodo.“ Ch. 21. στρατείας Ox.

abdicavi; Jovisque immortalis habitum gestavi. Hunc itaque vitae statum deinceps amplexus est: naturaeque tandem cessit, annos natus LXXII.

Post depositum vero a Diocletiano Imperium, a Maximiano Herculeo susceptum est; qui imperavit annos XIX. Hic Romam reversus, de Persis et Aegyptiis devictis triumphum egit. Erat autem procerus, robustus, capite canescente, crine plano, barbatus, colore nigro, naso eleganti, oculis pulchris, eloquens. Infensus et hic quoque Christianis fuit; plurimosque Sanctos neci dedit; ex quibus fuerunt S. Pantaleo, S. Hesychius, S. Hermippus, S. Hermolaus et S. Hermocrates, Martyres.

Accidit autem etiam hujus sub imperio, Olympica celebrari, quo tempore Armenios, adversus Romanum imperium rebellantes, exercitu in Orientem ducto, penitus subegerat. Certior autem factus, Olympicorum celeberrimam jam instare Panegyrin, Antiochiam venit: ubi et ipse, Alytarchae habitum gestans, munia ejus executus est. Qui autem ibi convenerant Senatorum filii, Senatores etiam Juniores ipsi, coram eo decertabant; hi quidem palaestra, illi cursu, alii Pancratio, aurigatione alii, alii Pugilatu, nonnulli etiam voce certantes. Victorum autem (praeter munera quae eis largitus est,) hos quidem majoribus auxit honoribus, illos vero ad Militares provexit dignitates. Maximianus autem ipse, posito Impe-

Μαξιμιανὸς τὴν βασιλείαν καὶ τὴν πορφύραν καὶ πᾶσαν τὴν βα-
V 134 *σιλικὴν φορεσίαν, καὶ ἐφόρεσε τὰ ἀλυταρχικά. καὶ μετὰ τὸ πλη-*
ρωθῆναι τὰς ἡμέρας τῶν Ὀλυμπίων οὐχ εἵλετο οὐδὲ αὐτὸς βασι-
λεῦσαι, ἀλλ' ἐπανελθὼν ἐν τῇ Ῥώμῃ ἀπετάξατο τῆς βασιλείας
καὶ ἔμεινεν οὕτως ἕως θανάτου. καὶ μετὰ χρόνον τελευτᾷ ἰδίῳ
θανάτῳ, ὢν ἐνιαυτῶν νζ΄.

Καὶ μετὰ τὸ ἀποθέσθαι τὴν βασιλείαν Μαξιμιανὸν ἐβασίλευ-
σε Μαξέντιος ὁ καὶ Γαλέριος ἔτη γ΄. ἦν κονδοειδής, πλατύς,
O 414 *οὐλόθριξ, λευκός, εὐπώγων, ὑπόστραβος, σιμός, ὀργίλος. ἐφί-*
λει δὲ τὸ Βένετον μέρος.

Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας Ἰάμβλιχος ὁ φιλόσοφος ἐδίδα-
B *σκεν, οἰκῶν ἐν Δάφνῃ ἕως τῆς τελευτῆς αὐτοῦ.*

Ἐν δὲ τῷ αὐτῷ χρόνῳ οἱ Πέρσαι συμμαχοῦντες Ἀρμενίοις
πολεμηθεῖσιν ἅμα αὐτοῖς ἐπελθόντες ἐν τοῖς Ῥωμαϊκοῖς ἐπραίδευ-
σαν χώρας. καὶ ἐπεστράτευσε κατ' αὐτῶν ὁ αὐτὸς Μαξέντιος
καὶ ἐπολέμησε Πέρσαις, καὶ ἀνήλωσεν αὐτοὺς διὰ τῆς Ἀρμενίας
κατελθὼν κατ' αὐτῶν, καὶ ἀπέσπασε χώρας ἐκ τῶν Περσαρμε-
νίων καὶ ἐποίησεν ὑπὸ Ῥωμαίους· ἥντινα ἐκάλεσε πρώτην καὶ
δευτέραν Ἀρμενίαν Ῥωμαίων. ἐν τῷ δὲ εἶναι τὸν αὐτὸν Μαξέν-
τιον εἰς Περσαρμενίαν ἐπέῤῥιψαν οἱ Πέρσαι εἰς τὴν Ὀσδροηνὴν
καὶ παρέλαβον πόλιν καὶ ἔκαυσαν καὶ ἔστρεψαν, καὶ λαβόντες
πολλὴν πραῖδαν ἐξαίφνης ἀνεχώρησαν· ἐλέγετο δὲ ἡ παραλη-
C *φθεῖσα ὑπ' αὐτῶν πόλις Μαξιμιανούπολις. ὁ δὲ αὐτὸς βασιλεὺς*

5. *καὶ μετὰ* Ch., *κατὰ μετὰ* Ox. 11. *Ἰάμβλικος* Ox. 20. *Ὀσδροΐνην* Ox. 23. *οἱ* Ox.

rio, purpura, regioque ornatu omni exuebat sese; habitumque Alytarchae gestans, peractis Olympicorum diebus, non amplius imperatorio fungi munere dignatus est: sed Romam reversus, regno sese abdicavit, privatam deinceps vitam agens. Non longe autem post, annum agens LVII, fatis concessit.

Imperium a Maximiano positum suscepit Maxentius, qui et Galerius: regnavitque annos III. Erat vero curtus, corpore lato, crispus, candidus, barbatus, substrabus, simus, iracundus: Factioni autem Venetae studebat.

Hujus sub imperio floruit Jamblichus Philosophus; qui in Daphne vitam suam transegit.

Eodem tempore Persae, junctis cum Armenia viribus, Romanas ditiones invaserunt, easque depraedarunt. Maxentius itaque, per Armeniam iter ducens, Persas bello petit; quibus debellatis, regiones etiam ibi Persarmeniis abreptas, Romano addidit Imperio; quas in Armeniam primam et secundam Romanorum distribuit. Interim vero, dum Persarmeniae Maxentius commorabatur, Persae Osdroinam invadentes, urbem ibi captam, et incendiis vastatam, funditus everterunt: spoliisque ingentibus onusti, absque mora recesserunt: Nomen autem urbi ab eis captae, Maximianopolis. Urbem hanc Imperator Maxentius, moenibus excitatis, de integro

Μαξέντιος ἀνήγειρεν αὐτὴν κτίσας καὶ τὰ τείχη, καὶ πολλὰ φιλο- O 415
τιμησάμενος τοῖς ζήσασιν ἐκούφισεν αὐτοὺς τῆς συντελείας ἐπὶ
ἔτη γ'. καὶ ἐπανελθὼν ἐν τῇ Ῥώμῃ ἀνῃρέθη, ὢν ἐνιαυτῶν νγ'.

Μετὰ δὲ τὴν βασιλείαν Μαξεντίου ἐβασίλευσε Κωνστάντιος ὁ Χλωρὸς ἔτη ιγ'. ἦν δὲ μακρός, λεπτός, μιξοπόλιος, εὔχροος τὸ σῶμα καὶ τοὺς ὀφθαλμούς, εὔρινος, σπανός, ἥσυχος, μεγαλόψυχος.

Ἐν δὲ τῇ αὐτοῦ βασιλείᾳ ἔπαθεν ὑπὸ θεομηνίας Σαλαμιὰς πόλις τῆς Κύπρου, ὑπὸ σεισμοῦ καταποντισθεῖσα εἰς τὴν θάλασσαν τὸ πολὺ αὐτῆς μέρος· τὸ δὲ λοιπὸν ἕως ἐδάφους ἔπεσεν.
ἥντινα ἀνεγείρας ὁ αὐτὸς Κωνστάντιος καὶ πολλὰ πάνυ φιλοτιμη- D
σάμενος καὶ κτίσας καὶ τοῖς ζήσασι πολίταις συγχωρήσας συντελείας ἐπὶ ἔτη τέσσαρα, καὶ κτίσας διαφόροις κτίσμασι τὴν πρώην μὲν λεγομένην Σαλαμιάδα, ἐξ ἐκείνου δὲ μετακληθεῖσαν Κωνσταντίαν· ἥτις ἐστὶ νῦν μητρόπολις τῆς Κύπρου.

Ἐν δὲ τῇ αὐτοῦ βασιλείᾳ ἀπέστειλε Μάξιμον τὸν καὶ Λικι- O 416
νιανὸν μετὰ πολλοῦ στρατοῦ ἐπὶ τὸ φυλάττειν τὰ μέρη τῆς ἀνατολῆς διὰ τοὺς Πέρσας καὶ τὰς ἐπιδρομὰς τῶν Σαρακηνῶν· ἐτάρασσον γὰρ πρώην τὴν ἀνατολὴν ἕως Αἰγύπτου. συνέβη δὲ ἐν αὐτῷ τῷ χρόνῳ τὸν βασιλέα Κωνστάντιον ἀῤῥωστήσαντα ἡμέρας
μ' τελευτῆσαι· ἦν δὲ ἐνιαυτῶν ἑξήκοντα. E

Μετὰ δὲ τὴν βασιλείαν Κωνσταντίου ἀνηγόρευσεν ὁ στρατὸς

16. *καὶ Λικινιανὸν* Ch., *Καλλικιανὸν* Ox.

instauravit; civesque superstites multis donavit, tributis etiam illis in triennium remissis. Romam deinde reversus, e medio sublatus est, aetatis anno LIII.

Maxentium excepit Constantius Chlorus; qui imperavit annos XIII. Erat hic procerus, gracilis, subcanus, colore corporis oculorumque pulchro, naso eleganti, parcus, quietus, magnanimis.

Hujus sub imperio, Salamias, urbs Cypri, divinam iram passa est: maxima enim ejus pars terraemotu in mare disjuncta est: reliquum vero urbis solo adaequatum corruit. Hanc itaque Constantius excitavit, et pecuniarum plurimum civibus superstitibus largitus, tributa etiam illis in quadriennium remisit. Urbem vero hanc, quae antea Salamias vocata fuit, variis aedificiis a se ornatam, Constantiam, a suo nomine nuncupari voluit: quae etiam Cypri metropolis est, in hunc usque diem.

Eodem imperante missus est, ingenti cum exercitu, Maximus Licinianus, ad Partes Orientales vindicandas ab incursionibus Persarum et Saracenorum, qui antehac Orientem, ad Aegyptum usque perturbaverant. Accidit autem eodem tempore Imperatorem Constantium in morbum incidere; ex quo, quadragesimo post die, interiit; aetatis anno sexagesimo.

Constantio fatis defuncto, Maximus Licinianus ab exercitu in Oriente

ἐν τῇ ἀνατολῇ Μάξιμον Λικινιανὸν αὐτοκράτορα. καὶ ἐάσας
ἐν αὐτῇ τῇ ἀνατολῇ Φεστιανὸν ἔξαρχον μετὰ βοηθείας εἰς τὸ
φυλάττειν τὴν ἀνατολὴν ἀπῆλθεν ἐν Ῥώμῃ. ἐν τῷ δὲ μέλλειν
αὐτὸν ἐξιέναι ἀπὸ Ἀντιοχείας ἐθεώρησεν ἱπποδρόμιον· καὶ ὕβρι-
V 135 σαν αὐτὸν οἱ δῆμοι τῆς πόλεως, ὅτι οὐδὲν ἐφιλοτιμήσατο τῇ πό-
λει ἐκεῖ ἀναγορευθεὶς βασιλεύς. καὶ ἀγανακτήσας ἐκέλευσεν ἄρ-
O 417 μα κατ' αὐτῶν ἐξελθεῖν· καὶ ἐτόξευσαν αὐτοὺς οἱ στρατιῶται ἐν
τῷ ἱπποδρομίῳ, καὶ ἀπώλοντο χιλιάδες δύο. ὁ δὲ αὐτὸς βασι-
λεὺς Μάξιμος ἐλθὼν ἐν τῇ Ῥώμῃ ἐβασίλευσεν ἔτη ζ'. ἦν δὲ εὔ-
στηθος, μελάνθριξ, εὔθετος, δασυπώγων, εὐόφθαλμος, καμ-
πυλόρινος, φιλοστρατιώτης, ὀργίλος, τρακταϊστής.

Ἐν δὲ τῇ αὐτοῦ βασιλείᾳ ἐχαρίσατο ἐλευθερίαν τοῖς χριστια-
νοῖς εἰς τὸ μὴ κρύπτεσθαι αὐτοὺς ἀλλὰ δημοσιεύειν. συνέβη
δὲ ἐν τῷ χρόνῳ τῆς αὐτοῦ βασιλείας ἐν Ἡλιουπόλει τῆς Φοινίκης
B μαρτυρῆσαι τὸν ἅγιον Γελάσινον· ἦν γὰρ μῖμος δεύτερος καὶ
εἰσῆλθεν εἰς τὸ παιγνίδιον πανδήμου ἀγομένου. καὶ πλήθους
θεωροῦντος ἔβαλον αὐτὸν εἰς βοῦττιν μεγάλην βαλανείου γέμου-
σαν ὕδατος χλιαροῦ, καταγελῶντες τοῦ χριστιανικοῦ δόγματος
καὶ τοῦ ἁγίου βαπτίσματος. ὁ δὲ αὐτὸς Γελάσινος ὁ μῖμος βα-
O 418 πτισθεὶς καὶ ἀνελθὼν ἐκ τοῦ βοττίου καὶ φορέσας ἱμάτια λευκὰ
οὐκέτι ἠνέσχετο θεατρίσαι, λέγων ἐπὶ τοῦ δήμου ὅτι Χριστιανός
εἰμι· εἶδον γὰρ δύναμιν θεοῦ φοβερὰν ἐν τῷ βαπτίζεσθαί με ἐν

1. αὐτοκράτωρα pro αὐτοκράτορα scribit Ch. Sed ita iam Ox. *ibid.* ἐκάσας Ox. 19. Γαλάσινος Ox.

Imperator salutatus est. Phestiano itaque Exarcho, ibi cum copiis relicto, qui Orientem custodiret, ipse Romam proficiscitur. Antequam vero ex Antiochia discederet, Circensia spectare voluit: ubi populus Antiochensis dicteriis eum lacessebant, quod urbem nullis Largitionibus donasset, cum tamen ibidem Imperator primum renunciatus fuisset. Imperator itaque super his indignatus, milites armatos adversus eos exire jussit: populum itaque sagittis in Circo petebant, millibus duobus excidio datis. Maximus autem Imperator, Romam veniens, ibidem imperavit annos VII. Erat hic pectore firmo, capillitio nigro, membris compositis, barba hirsuta, oculis pulchris, naso adunco, militum studiosus, iracundus, negotiis tractandis idoneus.

Sub hoc Imperatore, Christianis indultum est, uti non amplius latitantes, in publicum prodirent. Contigit autem Hujus sub imperio martyrium subire S. Gelasinum, Heliopoli Phoenicum. Erat hic mimus secundi ordinis; qui, spectante populo universo, Theatrum ingressus, in solum Balnei magnum, aquis tepentibus plenum, injectus est; nempe Christianae religionis, et sancti Baptismatis in Ludibrium. Gelasinus autem iste Mimus, ubi baptizatus ex labro, vestibus albis indutus, egrederetur; Mimum agere amplius detrectavit; populumque allocutus universum, *Ego,* inquit, *Christianus sum; vidi enim in Lavacro tremendam Dei Majesta-*

τῷ βουττίῳ καὶ χριστιανὸς ἀποθνήσκω. καὶ ἀκούσας ταῦτα ὁ δῆμος ὅλος ὁ θεωρῶν ἐν τῷ θεάτρῳ τῆς πόλεως ἐμάνη σφόδρα· καὶ ὁρμήσαντες ἐκ τῶν βάθρων εἰς τὴν θυμέλην ἐκράτησαν αὐτὸν C καὶ σύραντες αὐτὸν ἔξω τοῦ θεάτρου, ὡς φορεῖ τὰ λευκὰ ἱμάτια αὐτοῦ, λιθοβολήσαντες ἐφόνευσαν αὐτόν, καὶ οὕτως ἐτελειώθη ὁ δίκαιος. καὶ λαβόντες τὸ λείψανον αὐτοῦ ἀπήγαγον αὐτὸ εἰς τὴν κώμην τὴν λεγομένην Μαριάμμην, ὅθεν ὑπῆρχεν, ἔξω οὖσαν Δαμασκοῦ τῆς πόλεως ἀπὸ ἑνὸς ἡμίσεος μιλίου. καὶ ἐκτίσθη αὐτῷ εὐκτήριος οἶκος.

Ὁ δὲ βασιλεὺς Λικιννιανὸς Μάξιμος χειρουργηθεὶς τελευτᾷ, ὢν ἐνιαυτῶν μϛ΄.

5. λιθοβολήσαντες Ch., Chron. Pasch. p. 276. A., λιθοβολίσαντες Ox. 8. ἑνὸς ἡμίσεος] I. e. 1½.

tem; et Christianus moriar. Haec ubi audierat omnis qui in Theatro spectabat populus, furore summo commotus est: confestim itaque omnes ex gradibus in scenam irruentes, comprehensum Gelasinum et Theatro extractum, in albo quem ferebat amictu, lapidibus obrutum interfecerunt. Atque hic justi viri exitus fuit. Reliquias vero ejus, qui genere ei conjuncti erant, in vicum unde ipse oriundus erat, Mariammen dictum, milliarii dimidia parte a Damasco urbe remotum, deportarunt. Huic etiam Oratoriam domum extruxerunt.

Imperator autem Maximus Licinnianus, a Chirurgorum sectionibus interiit, annos natus XLVI.

O vol. II. 1
V vol. II. 3

ΛΟΓΟΣ ΙΓʹ.

ΧΡΟΝΩΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΒΑΣΙΛΕΩΣ.

A Μετὰ δὲ τὴν βασιλείαν Μαξίμου Λικιννίου ἐβασίλευσεν ὁ θειότατος καὶ πιστότατος, ὁ υἱὸς Κωνσταντίου τοῦ Χλωροῦ, Κωνσταντῖνος ὁ μέγας τῇ πρὸ ὀκτὼ καλανδῶν αὐγούστων ἐπὶ τῆς ὑπατείας Σεβήρου καὶ Μαξιμιανοῦ· καὶ ἔμεινε βασιλεύων ἔτη λβʹ. ἦν δὲ μακρός, πυῤῥός, μεγαλόψυχος, ἥσυχος, θεοφιλής.

Ἐν δὲ τοῖς χρόνοις τῆς βασιλείας αὐτοῦ πόλεμος ἐγένετο ἐν τῇ δύσει μέγας· καὶ ἐξῆλθε κατ' αὐτῶν ὁ θειότατος Κωνσταντῖνος, καὶ ἡττηθεὶς ἐφοσσεύετο ὑπὸ τῶν βαρβάρων. καὶ θλιβόμε-
O 2 νος ἐν τῷ μέλλειν αὐτὸν καθεύδειν ηὔχετο ῥυσθῆναι ἀπ' αὐτῶν·
B καὶ ἑλκυσθεὶς εἰς ὕπνον εἶδε κατ' ὄναρ ἐν τῷ οὐρανῷ σταυρόν, ἐν ᾧ ἐπεγέγραπτο, Ἐν τούτῳ νίκα. καὶ ἀναγνοὺς τὸ ἐπιγεγραμμένον ἐν τῷ σταυρῷ διυπνίσθη· καὶ ἀναστὰς ἐποίησε σίγνον

5. πυῤῥός Ch., πυρός Ox.

LIBER XIII.

DE TEMPORIBUS CONSTANTINI IMPERATORIS.

Maximum Licinnium excepit in Imperio Constantinus Magnus, Constantii Chlori F. Imperator Fidelissimus et pientissimus: qui regnare coepit VIII Kal. Augusti, Severo et Maximiano Coss. et regnavit annos XXXII. Erat autem procerus, rufus, magnanimus, ingenii sedati et Deo charus.

Hujus sub Imperio, bellum grave in Occidente exortum est; ad quod reprimendum divinissimus Constantinus cum exercitu profectus est: caeterum devictus Imperator, a Barbaris undique cingebatur. His itaque positus angustiis, ad somnum decubiturus, a Deo precibus expetivit his malis liberari. Somno deinde correptus, per quietem vidit Crucem in Coelo, cui inscriptum erat: *In Hoc vince.* Perlecta autem Inscriptione, e somno expergefactus est. Surgens itaque et efficta Crucis, quam in Coelo vi-

σταυροῦ, ὡς εἶδεν ἐν τῷ οὐρανῷ, καὶ προηγεῖτο αὐτοῦ. καὶ προτρεψάμενος τὸν ἴδιον στρατόν, λέγων ὅτι Νικῶμεν, καὶ ὁρμήσας καὶ συμβαλὼν τοῖς βαρβάροις, ἐνίκησε τὸν πόλεμον κατὰ κράτος, ὥστε μηδένα τῶν βαρβάρων σωθῆναι ἀλλὰ πάντας ἀπολέσθαι. καὶ ἐπανῆλθεν ἐν τῇ Ῥώμῃ μετὰ νίκης καὶ χαρᾶς μεγάλης, ἔχων ἔμπροσθεν αὐτοῦ τὸν σίγνον τοῦ σταυροῦ. ἐξηγεῖτο δὲ πᾶσι τὴν τοῦ ὁράματος καὶ τοῦ σίγνου τοῦ σταυροῦ δύναμιν, λέγων ὅτι Τοῦτο τὸ σημεῖόν ἐστι τοῦ θεοῦ τῶν Γαλιλαίων τῶν λεγομένων χριστιανῶν. καὶ εὐθέως τὰ ἱερὰ καὶ πάντας τοὺς ναοὺς τῶν Ἑλλήνων κατέστρεψε καὶ τὰς ἐκκλησίας τῶν χριστιανῶν ἀνέῳξε, C πανταχοῦ σάκρας καταπέμψας ὥστε τὰς ἐκκλησίας τῶν χριστιανῶν ἀνοιχθῆναι. καὶ νηστεύσας καὶ κατηχηθεὶς ἐβαπτίσθη ὑπὸ Σιλβέστρου, ἐπισκόπου Ῥώμης, αὐτὸς καὶ ἡ μήτηρ αὐτοῦ Ἑλένη καὶ πάντες οἱ συγγενεῖς αὐτοῦ καὶ οἱ φίλοι αὐτοῦ καὶ πλῆθος ἄλλων πολλῶν Ῥωμαίων. καὶ ἐγένετο χριστιανὸς ὁ αὐτὸς Κωνσταντῖνος βασιλεύς.

Καὶ ἐπεστράτευσε κατὰ Περσῶν καὶ ἐνίκησεν καὶ ἐποίησε πάκτα εἰρήνης μετὰ Σαραβάρου, βασιλέως Περσῶν, τοῦ Πέρσου αἰ- O 3
τήσαντος εἰρήνην ἔχειν μετὰ Ῥωμαίων. ὁ δὲ αὐτὸς Κωνσταντῖ-

18. Σαραβάρου] „Constantinus adversus Parthos, ut Eutropius, vel Persas, ut Hieronymus, qui jam Mesopotamiam fatigabant, ultimo vitae anno bellum moliens, Achyrone, Nicomediae suburbio, fatis concessit. Quo tempore Sapor, sive Sapores, Persarum erat Rex: qui etiam, anno sequente, Nisibim obsedit, vastata Mesopotamia. Sed et Cedrenus testatur, anno XXI. Constantini Imp. pacem inter Saporem, Persarum regem, et Romanos ruptam fuisse. Itaque pro Σαραβάρου hoc loco legendum Σαπώρου.“ Ch. Σαραβάρου alia forma videtur eius quod est p. 7. B et 9. C Σαβουραρσάκης, nisi id ipsum restituendum est.

dit, effigie; eam in pugnam praeferri jussit: simul etiam exercitui sui addens animos, victoriam eis pollicitus est. Tum vero egressus, praelioque cum Barbaris commisso, illos eo usque profligavit, ut ad unum omnes perierint. Victor deinde Romam repetit cum Triumpho magno, Crucis signum praelatum habens: cujus quoque vim, simul et Visionem suam omnibus aperuit; testatus, *Hoc signum esse Dei Galilaeorum qui Christiani vocantur.* Absque mora igitur Gentilium Templa atque fana funditus evertit: missisque ubique per Imperium Literis suis Imperatoriis, Christianorum Ecclesias aperiri jussit. Tum vero, ubi jejunasset, et rudimentis Christianae Religionis imbutus fuisset, baptizatus est ipse, cum matre Helena, a Silvestro Episcopo Romano: baptizati etiam sunt propinqui ejus omnes et amici; Romanorumque insuper aliorum multitudo ingens. Sic itaque Imperator Constantinus Christianus factus est.

Posthaec vero contra Persas arma movens, bello superior evasit; datis etiam Persis pacis conditionibus, flagitante hoc ab eo Sarabaro, Persarum rege. Idem Constantinus Imperator Euphratesiam a Syria et

νος βασιλεὺς καὶ τὴν Εὐφρατησίαν ἐποίησεν ἐπαρχίαν, ἀπὸ Συ-
D ρίας καὶ Ὀσροηνῆς μερίσας καὶ δοὺς δίκαιον μητροπόλεως ἐν Ἱε-
ραπόλει. καὶ ὑποστρέψας ἦλθεν ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ· καὶ
ἔκτισεν ἐκεῖ τὴν μεγάλην ἐκκλησίαν, μέγιστον κτίσμα, λύσας τὸ λε-
γόμενον Φιλίππου βασιλέως δημόσιον· λουτρὸν γὰρ παλαιὸν ἦν καὶ
V 4 τῷ χρόνῳ φθαρὲν καὶ μὴ λοῦον. ἔκτισε δὲ καὶ ξενῶνα πλησίον·
ὁμοίως δὲ ἔκτισε καὶ τὴν λεγομένην Ῥουφίνου βασιλικήν· ἦν γὰρ
τοῦτο ἱερὸν τοῦ Ἑρμοῦ καὶ ἔλυσεν αὐτὸ Ῥουφῖνος ὁ ἔπαρχος τῶν
ἱερῶν πραιτωρίων. ἀπελθὼν δὲ μετὰ τοῦ βασιλέως ἐν τῷ πολέ-
μῳ ἐκελεύσθη ὑπ' αὐτοῦ περιμεῖναι ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ· καὶ
ἐπλήρωσε τὴν αὐτὴν βασιλικήν, ἐπανερχομένου τοῦ αὐτοῦ βασι-
λέως ἐπὶ Ῥώμην. ἐν τῷ δὲ μέλλειν ἐξέρχεσθαι τὸν βασιλέα Κων-
σταντῖνον ἀπὸ τῆς αὐτῆς Ἀντιοχείας, ἐποίησε πρῶτος αὐτὸς ἄρ-
χοντα Ἀντιοχείας τῆς Συρίας Πλούταρχον ὀνόματι χριστιανόν·
ὅστις καὶ εἰς τὸ κτίσμα τῆς ἐκκλησίας καὶ τῆς βασιλικῆς ἐκελεύ-
σθη ἐργοδιωκτεῖν. ὁ δὲ αὐτὸς Πλούταρχος ἐν τῷ κτίζειν τὸν ξε-
B νῶνα εὑρηκὼς τὸ χαλκούργημα τοῦ Ποσειδῶνος τὸ ἑστὼς τετελε-
O 4 σμένον ἕνεκεν τοῦ μὴ πάσχειν σειομένην τὴν πόλιν, ἐπάρας τοῦτο
ἐχώνευσε καὶ ἐποίησεν αὐτὸ στήλην τῷ αὐτῷ Κωνσταντίνῳ τῷ
βασιλεῖ, στήσας αὐτὴν ἔξω τοῦ πραιτωρίου αὐτοῦ, γράψας ὑπο-
κάτω αὐτῆς, Βόνω Κωνσταντίνω. ἥτις στήλη χαλκῆ ἵσταται
ἕως τῆς νῦν.

Προηγάγετο δὲ ὁ αὐτὸς βασιλεὺς ἐν τῇ αὐτῇ μεγάλῃ πόλει

2. Ὀσροηνῆς] Ὀσροϊνῆς Ox. 21. *Βόνῳ Κωνσταντίνῳ* Ox.

Osdroïna sejungens, Provinciam fecit; jure etiam Metropolitico Hierapoli concesso. In reditu vero Antiochiam veniens, Ecclesiam Magnam, opus plane magnificum, ibidem condidit, dissoluto Philippi regis Balneo Publico: quod, pervetustum cum esset et tempore collapsum, inutile prorsus fuit. Prope Ecclesiam quoque Hospitium extruxit: Rufini etiam Basilicam condidit. Fuerat haec olim Mercurii fanum; quod Rufinus, Praetoriorum sacrorum Praefectus, demolitus fuerat; eodem in loco inchoata ante bellum Basilica; quam postea, a bello redux, Imperatoris jussu, Romam repetentis, Antiochiae relictus, ad exitum perduxit. Constantinus autem Imperator ab Antiochia discedens, Syriae Praefectum Christianum primus constituit, Plutarchum nomine: cujus etiam cura, in Ecclesia et Basilica, extruendis, usus est. Plutarchus vero iste, inter condendum Hospitium, reperta ibidem Neptuni statua aerea, Telesmatice praeparata, adversus terrae motus, ne deinceps ab his urbs pateretur; eam extractam inde refundit, statuamque ex ea effictam, Constantino Imperatori erexit: quam et extra Praetorium suum excitavit, cum hac Inscriptione, *Bono Constantino.* Quae quidem statua ibi usque adhuc visitur.

Idem Imperator Antiochiae Magnae primus Comitem Orientis, qui

τῶν Ἀντιοχέων πρώτοις κόμητα ἀνατολῆς ἐπὶ τῆς ὑπατείας Ἴλλου καὶ Ἀλβίνου, ποιήσας αὐτῷ πραιτώριον τὸ ἱερὸν τῶν Μουσῶν, πληροῦντα τὸν τόπον ἐν τῇ ἀνατολῇ τοῦ ἐπάρχου τῶν πραιτωρίων, ὀνόματι Φηλικιανὸν χριστιανόν, χαρισάμενος τῇ αὐτῇ πόλει τῶν Ἀντιοχέων διὰ θείου αὐτοῦ τύπου δικαιώματα ἀξίας δευτέρου κομετάτου, τοῦ τπγ' ἔτους χρηματίζοντος κατὰ τὴν με- C γάλην τῶν Ἀντιοχέων πόλιν. οὐκ ἦν γὰρ πρώην ἐν τῇ αὐτῇ μεγάλῃ Ἀντιοχείᾳ κόμης ἀνατολῆς ἐγκάθετος, ἀλλὰ κατὰ πόλεμον κινούμενον δηληγάτωρ ἐκάθητο ἐν Ἀντιοχείᾳ τῆς Συρίας, καὶ ὅτε ἐπαύθη ὁ πόλεμος, ἐκουφίζετο ὁ δηληγάτωρ. ὁ δὲ βασιλεὺς Κωνσταντῖνος ἐξῆλθεν ἀπὸ Ἀντιοχείας, ἐάσας Ῥουφῖνον τὸν ἔπαρχον· ὅστις Ῥουφῖνος σπουδάσας ἀνεπλήρωσε τὴν βασιλικήν· καὶ διὰ τοῦτο ἐκλήθη ἡ Ῥουφίνου.

Ὁ δὲ βασιλεὺς Κωνσταντῖνος ἔπεμψε τὴν ἑαυτοῦ μητέρα τὴν O 5 κύραν Ἑλένην εἰς Ἱεροσόλυμα εἰς ἀναζήτησιν τοῦ τιμίου σταυροῦ· ἥτις καὶ εὑροῦσα ἀνήγαγε τὸν αὐτὸν τίμιον σταυρὸν μετὰ τῶν πέντε ἥλων· καὶ ηὐξήθη ἐξ ἐκείνου τὰ τῶν χριστιανῶν D πάντα.

Ὁ δὲ αὐτὸς βασιλεὺς καὶ τρίτην Παλαιστίνην ἐποίησεν ἐπαρχίαν. καὶ ἐπὶ τῆς αὐτοῦ βασιλείας ἐνεκαινίσθη τό ποτε Βυζάντιον ἐπὶ τῆς ὑπατείας Γαλλιανοῦ καὶ Συμμάχου, τοῦ αὐτοῦ δὲ βασιλέως Κωνσταντίνου ποιήσαντος πρόκεσσον ἐπὶ πολὺν χρόνον, ἀπὸ Ῥώμης ἐλθόντος ἐν τῷ Βυζαντίῳ· ὅστις καὶ τὸ πρώην τεῖ-

4. Φιλικιανὸν Ox., Pollux p. 274. 15. κυρὰν Ox. 20. ἐνεκαινίσθη Ch., ἀνεκαινίσθη Ox. 21. Γαλλιανοῦ] Γαλλικανοῦ Ch.

Praefecti Praetorio locum teneret, constituit Christianum, nomine Felicianum: cui etiam, in Praetorium ei ut esset, Musarum Fanum assignavit. Factum hoc Illo et Albino Coss. Concessis etiam Antiochensibus, divino Imperatoris ex Edicto, Dignitate ac Jure Comitatus Secundi, anno Aerae Antiochenae CCCLXXXIII; cum ante illud tempus Orientis Comes Antiochiae Magnae sedem suam non habuerit: sed moto aliquo bello, Delegatus ibi pro tempore sedebat; quo finito, desiit et ejus Delegatio. Constantinus autem Imperator, Antiochia discedens, Rufinum ibi Praefectum reliquit: qui, sedulo operam suam impendens, Basilicam absolvit. Ob hanc itaque causam, *Rufini Basilica* vocata est.

Idem Constantinus Imperator matrem suam, Dominam Helenam, Hierosolymas misit, ad exquirendam Crucem Venerabilem: quam una cum quinque clavis repertam, Helena inde reportavit. Ex eo tempore res Christianorum melius se indies habuere.

Idem Imperator tertiam quoque Palaestinam Provinciam fecit. Hujus etiam sub Imperio Byzantium instaurata est, Galliano et Symmacho Coss. Cum enim Imperator, processu ad longum tempus suscepto, Byzantium Roma profectus esset; veterem urbis murum, Byzi opus, in-

χος τῆς αὐτῆς πόλεως ἀνενέωσε τοῦ Βύζου καὶ προσθεὶς ἄλλο διά-
στημα πολὺ τῷ τείχει, καὶ συνάψας τῷ παλαιῷ τείχει τῆς αὐτῆς
πόλεως, ἐκέλευσεν αὐτὴν Κωνσταντινούπολιν λέγεσθαι, ἀναπλη-
O 6 ρώσας καὶ τὸ Ἱππικὸν καὶ κοσμήσας αὐτὸ χαλκουργήμασι καὶ πάσῃ
ἀρετῇ, κτίσας ἐν αὐτῷ καὶ κάθισμα θεωρίου βασιλικοῦ καθ'
E ὁμοιότητα τοῦ ἐν Ῥώμῃ ὄντος. ἔκτισε δὲ καὶ παλάτιον μέγα καὶ
εὐπρεπὲς καθ' ὁμοιότητα ὡσαύτως τοῦ Ῥώμης πλησίον τοῦ Ἱππι-
κοῦ, [τὴν ἄνοδον ἀπὸ τοῦ παλατίου εἰς τὸ κάθισμα τοῦ Ἱππικοῦ
διὰ] τοῦ λεγομένου Κοχλίου, κτίσας καὶ φόρον μέγαν καὶ εὐπρε-
πῆ πάνυ, καὶ στήσας ἐν τῷ μέσῳ κίονα ὁλοπόρφυρον ἄξιον θαύ-
ματος, καὶ ἐπάνω τοῦ αὐτοῦ κίονος ἑαυτῷ ἔστησεν ἀνδριάντα,
ἔχοντα ἐν τῇ κεφαλῇ αὐτοῦ ἀκτῖνας ἑπτά· ὅπερ χαλκούργημα
V 5 ἤγαγεν εἰς τὸ Ἴλιον ἑστηκός, πόλιν τῆς Φρυγίας. ὁ δὲ αὐτὸς
Κωνσταντῖνος ἀφελόμενος ἀπὸ Ῥώμης κρύφα τὸ λεγόμενον Παλ-
λάδιον ξόανον, ἔθηκεν αὐτὸ εἰς τὸν ὑπ' αὐτοῦ κτισθέντα φόρον
ὑποκάτω τοῦ κίονος τῆς στήλης αὐτοῦ, ὥς τινες λέγουσι τῶν Βυ-
ζαντίων ὅτι ἐκεῖ κεῖται. τὴν δὲ τύχην τῆς πόλεως τῆς ὑπ' αὐτοῦ
ἀνανεωθείσης καὶ εἰς ὄνομα αὐτοῦ κτισθείσης ποιήσας τῷ θεῷ
θυσίαν ἀναίμακτον ἐκάλεσεν Ἄνθουσαν. ἥτις πόλις ἐκτίσθη ἐξ
ἀρχῆς ὑπὸ Φιδαλίας· καὶ ἐκάλεσε τότε τὴν τύχην αὐτῆς Κη-
ρώην. τὴν δὲ αὐτὴν Φιδαλίαν ἠγάγετο Βύζας ὁ τῆς Θρᾴκης βα-

4. δὲ τὸ Ox., *καὶ τὸ* Chron. Pasch. p. 284. A. 8. *τὴν — διὰ* addidi ex Chron. p. 284. B. 9. *μέγαν* Ch., Chron., *μέγα* Ox., *μέγα καὶ εὐπρεπὴς* Pollux p. 270. 13. *ἑστηκός* Ch., *ἑστηκώς* Ox. 20. *Φιδαλίας*] Scr. *Φιδαλείας*. V. ad vol. I. p. 125. A. *ibid. Κηρώην*] *Κερόην* Chron. p. 265. A. Quod magis mihi probatur. Efficta haec puella videtur ex *Κεροέσσῃ*, Ius filia, Byzantis matre, apud Hesychium Illustrem p. 62. Or., ubi plura Meursius.

stauravit; muroque alio de novo extructo, et ad murum veterem adjecto, urbem ipsam, Constantinopolim, vocari jussit. Hippodromum quoque instauravit, statuisque aereis, ornatuque omnimodo splendidiorem reddidit: extructa etiam ibi, ad formam ejus quae Romae est, sella Imperatoria, unde Ludos Imperator spectaret. Palatium quoque magnum et speciosum, quale Romae habetur, prope Hippodromum, Cochleum dictum, extruxit: Forum etiam amplum et spectabile, cujus in medio Columnam posuit, Porphyreticam totam penitusque mirandam: cui etiam statuam sibi imposuit, capite septem radiis coronato: quod simulachrum aereum Imperator ex Ilio, ubi olim steterat, urbe Phrygiae, advexit. Idem etiam Constantinus, ablatum clanculum Roma Palladium, quod vocant, in foro a se condito, infra columnam statuae suae collocavit: sicut Byzantini nonnulli asserunt, ipsum ibidem recondi affirmantes. Urbis vero a se instauratae et a nomine suo vocatae Fortunam *Anthusam* appellari voluit; sacrificium incruentum Deo peragens. Urbis hujus prima fundamina posuit Phidalia; quae urbis Fortunae tunc temporis Ceroen nomen imposuit. Phidaliam hanc Byzas, Thraciae rex, in uxorem duxit, post mor-

σιλεὺς μετὰ τὴν τελευτὴν Βαρβυσίου τοῦ πατρὸς αὐτῆς, τοῦ τοπάρχου O 7 *καὶ φύλακος τοῦ αὐτοῦ ἐμπορίου. ὅστις Βαρβύσιος μέλλων τελευτᾶν ἐκέλευσε τὴν Φιδαλίαν ποιῆσαι τεῖχος τῷ τόπῳ ἕως* B *θαλάσσης. ὁ δὲ Βύζας εἰς τὸ ἑαυτοῦ ὄνομα καλέσας τὴν χώραν ἐβασίλευσεν ἐν τῇ αὐτῇ πόλει.*

Ἔκτισε δὲ δύο ἐμβόλους ἀπὸ τῆς εἰσόδου τοῦ παλατίου ἕως τοῦ αὐτοῦ φόρου εὐπρεπεῖς καὶ κεκοσμημένους ἀνδριᾶσι καὶ μαρμάροις διαφόροις, καλέσας τὸν τόπον τῶν ἐμβόλων Ῥηγίαν, κτίσας ἐγγὺς καὶ βασιλικὴν καὶ ἔξω μεγάλους κίονας καὶ ἀνδριάντας, ἥνπερ ἐκάλεσε Σενᾶτον, κατέναντι στήσας τῇ ἰδίᾳ μητρὶ Ἑλένῃ στήλην Αὐγούστας ἐν πορφυρῷ μικρῷ κίονι, καλέσας τὸν τόπον Αὐγουστιῶνα. ὁμοίως δὲ ἀνεπλήρωσε καὶ τὸ λεγόμενον Ζεύξιππον δημόσιον λουτρόν, κοσμήσας κίοσι καὶ μαρμάροις ποικίλοις καὶ χαλκουργήμασιν· εὗρε γὰρ αὐτὸ ἀπλήρωτον, ἀρχθὲν μὲν C *πρῴην ὑπὸ Σεβήρου βασιλέως τὸ αὐτὸ δημόσιον. ἔκτισε δὲ καὶ τὸ Ἱππικὸν καὶ ἄλλα πολλά· καὶ ὅτε πάντα ἐπλήρωσεν, ἐπετέλεσεν ἱππικόν, ἐν πρώτοις θεωρήσας ἐκεῖ καὶ φορέσας τότε ἐν πρώτοις ἐν τῇ ἰδίᾳ αὐτοῦ κορυφῇ διάδημα διὰ μαργαριτῶν καὶ λίθων τιμίων, βουλόμενος πληρῶσαι τὴν προφητικὴν φωνὴν τὴν λέγουσαν „ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου* O 8 *τιμίου." οὐδεὶς γὰρ τῶν πρὸ αὐτοῦ βασιλευσάντων τοιοῦτόν τι ποτε ἐφόρεσε. καὶ ἐπετέλεσεν ἑορτὴν μεγάλην μηνὶ μαΐῳ τῷ καὶ*

2. *Βαρβύσιος* Ch., *Βάρβυσος* Ox. 9. *βασιλικὴν*] *ἔχουσαν κόγχην* addunt Pollux et Chron. Pasch. p. 284. C. 12. *Αὐγουστιῶνα*] Sic et Cedrenus p. 374. C, D. *Αὐγουστεῶνα* infra p. 78. D. 19. *προφητικὴν*] Psalm. XX. 4.

tem Barbysii, patris ejus; qui loci illius Dominus fuit, et Emporii Custos. Hic vero moriturus, Phidaliae in mandatis reliquit, uti muro ad mare perducto locum illum circumdaret. Byzas itaque, loco illo in nomen suum vocato, sedem illic regni posuit.

Porro [Constantinus] ab introitu Palatii, ad Forum usque, Porticus duas extruxit speciosas variis statuis, columnisque marmoreis ornatas: Locum vero hunc *Regiam* vocavit: cui vicinam etiam Basilicam condidit; statuis et columnis ingentibus exterius ornatam: quam et *Senatum* vocavit. Huic ex adverso matris Helenae, Augustae, statuam, columnellae Porphyreticae impositam, collocavit: locum vero hunc *Augustaeum* nominavit. Similiter quoque Balneum Publicum, *Zeuxippum* dictum, a Severo Imperatore inchoatum, ipse ad exitum perduxit; variisque illud columnis statuisque marmoreis aereisque exornavit. Hippodromum quoque extruxit atque alia plurima. Omnibus vero hisce absolutis, Certamina Equestria indixit; quos ipse in Circo suo primus spectavit. Tum primum quoque Coronam, Margaritis et lapillis pretiosis insignitam, Imperator capite gestavit: animo scilicet explendi dictum illud Propheticum: *Imposuisti capiti ejus coronam ex lapide pretioso:* Imperatorum enim prae-

ἀρτεμισίῳ ια', ἔτους κατὰ Ἀντιόχειαν τὴν μεγάλην χρηματίζον-
τος τοη', κελεύσας διὰ θείου αὐτοῦ τύπου τῇ αὐτῇ ἡμέρᾳ ἐπιτε-
D λεῖσθαι τὴν ἑορτὴν τοῦ γενεθλίου τῆς πόλεως αὐτοῦ, καὶ ἀνοί-
γειν τῇ αὐτῇ ια' τοῦ μαΐου μηνὸς τὸ δημόσιον λουτρὸν τὸ Ζεύ-
ξιππον, πλησίον ὂν τοῦ Ἱππικοῦ καὶ τῆς Ῥηγίας καὶ τοῦ παλατίου,
ποιήσας ἑαυτῷ ἄλλην στήλην ξοάνου κεχρυσωμένην, βαστάζου-
σαν τῇ δεξιᾷ αὐτοῦ χειρὶ τὴν τύχην τῆς αὐτῆς πόλεως καὶ αὐτὴν
κεχρυσωμένην, ἣν ἐκάλεσεν Ἄνθουσαν, κελεύσας κατὰ τὴν αὐτὴν
ἡμέραν τοῦ γενεθλιακοῦ ἱππικοῦ εἰσιέναι τὴν αὐτὴν τοῦ ξοάνου
στήλην διριγευομένην ὑπὸ τῶν στρατιωτῶν μετὰ χλαμύδων καὶ
καμπαγίων, πάντων κατεχόντων κηρούς, καὶ περιέρχεσθαι τὸ σχῆ-
μα τὸν ἄνω καμπτὸν καὶ ἔρχεσθαι εἰς τὸ σκάμμα κατέναντι τοῦ
E βασιλικοῦ καθίσματος, καὶ ἐγείρεσθαι τὸν κατὰ καιρὸν βασιλέα
καὶ προσκυνεῖν, ὡς θεωρεῖ τὴν αὐτὴν στήλην Κωνσταντίνου καὶ
τῆς τύχης τῆς πόλεως. καὶ πεφύλακται τοῦτο τὸ ἔθος ἕως τοῦ
νῦν.

O 9 Ὁ δὲ θειότατος Κωνσταντῖνος ἐν τῇ συμπληρώσει τῆς αὐτοῦ
ὑπατείας ἔῤῥιψεν ἐν Κωνσταντινουπόλει χάρισμα τοῖς Βυζαντίοις
καλάμων συντόμια ἄρτων ἡμερησίων διαιωνιζόντων, οὕστινας
ἄρτους ἐκάλεσε παλατίνους διὰ τὸ ἐν τῷ παλατίῳ ῥογεύεσθαι
V 6 τοὺς αὐτοὺς ἄρτους, ἑκάστου ἄρτον ἀφορίσας οἶνον, κρέα καὶ βέ-

8. ἣν ἐκάλεσεν] ἐκάλεσεν Ox. 12. σκάμα Ox., σκάμμα Ch. 19. καλαμῶν Ox., καλαμων Pollux p. 272., καλαμίων fuerat vol. I. p. 123. E. *ibid.* συντομία Ox. *ibid.* διαιωνιζόντων Ch., Pollux, διωνειζόντων Ox. 21. οἶνον, κρέα Ch., οἴνῳ κρέα Pollux, οἶνον, κρέα idem apud Ducangium Gloss. v. βέστιον, οἰνοκρέα Ox. *ibid.* βεστία Ox.

cedentium nemo talem gestavit. Artemisii vero, sive Maii XI, anno Aerae Antiochenae CCCLXXVIII, Festivitatem celeberrimam agitari jussit: Divino etiam Edicto suo sancivit, uti eodem die Natales Urbis celebrarentur. Zeuxippum quoque, Balneum Publicum, quod propter Circum, Regiam et Palatium situm est, eodem Maii XI aperiri jussit. Fecit autem sibi Imperator statuam quoque aliam inauratam, urbis Fortunam, quam *Anthusam* vocavit, et ipsam quoque inauratam, manu dextra gestantem. Statuam hanc, eodem die Genethliacorum Circensium, introduci jussit a militibus Chlamydes et campagos indutis, et cereos portantibus omnibus. Jussit vero, uti milites isti, Pompam introducentes, superiorem Hippodromi flexum circumeant; cumque ad sedile Imperatoriae sedi oppositum perventum erit, assurgens qui pro tempore Imperator fuerit, visas Fortunae urbis, et Constantini statuas veneretur: qui mos ad hunc usque diem observatur.

Divinissimus etiam Constantinus, in ipso Consulatus sui exitu, congiarium Byzantinis Constantinopoli largitus est; sparsis in populum calamorum tesseris panis Quotidiani perpetui: singulis etiam, praeter panem, carnibus, vino, et vesti assignatis. Panes vero hos *Palatinos* vocavit;

στια, ἀφορίσας πρόσοδον ὑπὲρ αὐτῶν ἐκ τῶν ἰδίων καὶ καλέσας αὐτοὺς πολιτικούς.

Ὁ δὲ αὐτὸς Κωνσταντῖνος ἔμεινε βασιλεύων ἐν Κωνσταντινουπόλει, ἀφελόμενος αὐτὴν ἀπὸ τῆς Εὐρώπης ἐπαρχίας ἀπὸ Ἡρακλείας τῆς μητροπόλεως αὐτῆς, δοὺς αὐτῇ ἀπὸ θεοῦ δίκαιον βασιλείας, προβαλόμενος ἐν αὐτῇ ἔπαρχον πραιτωρίων καὶ ἔπαρχον πόλεως καὶ τοὺς λοιποὺς μεγάλους ἄρχοντας, χριστιανοὺς πάντας ποιήσας. καὶ ἔμεινεν ἐξ ἐκείνου εὐτυχῶς βασιλεύουσα.

Ὁ δὲ αὐτὸς Κωνσταντῖνος βασιλεὺς καὶ τὴν Φρυγίαν Σαλουταρίαν ἐποίησεν ἐπαρχίαν. ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας ἡ σύνοδος B ἐγένετο τῶν τιη′ ἐπισκόπων κατὰ Ἀρείου περὶ τῆς πίστεως τῶν χριστιανῶν. ἐν αὐτῇ δὲ τῇ συνόδῳ ὑπῆρχε καὶ ὁ ὁσιώτατος ἐπίσκοπος Εὐσέβιος ὁ Παμφίλου ὁ χρονογράφος. O 10

Ἔπαθε δὲ ἐπὶ τῆς βασιλείας τοῦ αὐτοῦ Κωνσταντίνου ὑπὸ θεομηνίας Μαξιμιανούπολις τῆς Ὀσδροηνῆς τὸ δεύτερον αὐτῆς πάθος τὸ μετὰ τὸ ληφθῆναι ὑπὸ τῶν Περσῶν. καὶ ἀνήγειρεν αὐτὴν ὁ αὐτὸς βασιλεὺς Κωνσταντῖνος καὶ τὰ τείχη αὐτῆς· ἦσαν γὰρ πεσόντα· καὶ τοῖς περισωθεῖσι πολλὰ ἐχαρίσατο· καὶ μετεκάλεσεν αὐτὴν εἰς τὸ ἴδιον ὄνομα Κωνσταντῖναν. ἔκτισε δὲ καὶ εἰς τὴν Βιθυνίαν τὴν πρῴην οὖσαν κώμην λεγομένην Σουγάν, C δοὺς αὐτῇ καὶ δίκαιον πόλεως καὶ καλέσας αὐτὴν εἰς ὄνομα τῆς ἰδίας αὐτοῦ μητρὸς Ἑλενούπολιν. καὶ εἰς ὄνομα δὲ τῆς αὐτοῦ μητρὸς ἐκάλεσε καὶ ἐπαρχίαν Ἑλενούποντον.

15. Ὀσδροϊνῆς Ox. 22. **Ἑλενούπολιν — Ἑλενούποντον**] Simile *Νικούπολις* vol. I. p. 113. D.

quod ex Palatio darentur; sepositis ex proprio in hoc reditibus. Panes etiam hi *Politici* dicti sunt.

Idem vero Constantinus Imperii sedem Constantinopoli posuit; eamque, cum antea Europae sub ditione esset, et Heracleae Metropoli subjecta, sui juris fecit: concesso ei a Deo jure imperandi: constitutis etiam Urbi et Praetorio Praefectis aliisque primariis Magistratibus, eisque Christianis omnibus. Itaque ex eo tempore urbs illa feliciter imperitavit.

Idem Constantinus Imperator Phrygiam Salutarem Provinciam fecit. Ejusdem sub imperio Synodus cccxviii. Episcoporum celebrata est, contra Arium, de rebus ad Christianam fidem pertinentibus: cui interfuit etiam sanctissimus Episcopus Eusebius Pamphili, Chronographus.

Constantino imperante, divinam iram passa est Maximianopolis, Osdroenae urbs, vice secunda, post ipsam a Persis captam. Imperator itaque Constantinus urbem de integro instauravit; moenia quoque collapsa excitavit, et superstitibus incolis plurima largitus est; vocata deinceps urbe, a nomine suo, Constantina. Vicum etiam quendam in Bithynia, nomine Sugam, de novo extructum, civitatis jure donavit, et a matris suae nomine Helenopolim appellavit: cujus etiam a nomine Provinciam quoque ipsam Helenopontum vocavit.

Καὶ ἐν αὐτῷ τῷ χρόνῳ ὁ αὐτὸς βασιλεὺς Κωνσταντῖνος τοὺς ὄντας ἐν Κωνσταντινουπόλει τρεῖς ναοὺς ἐν τῇ πρῴην λεγομένῃ ἀκροπόλει τοῦ Ἡλίου καὶ τῆς Ἀρτέμιδος σελήνης καὶ τῆς Ἀφροδίτης ἐκέλευσεν ἀχρηματίστους τοῦ λοιποῦ διαμεῖναι.

Μετὰ δὲ ὀλίγον καιρὸν ἐτελεύτησεν ὁ αὐτὸς βασιλεὺς Κωνσταντῖνος ἐν Νικομηδείᾳ τῆς Βιθυνίας, ὡς ἔστιν ἐν προκέσσῳ, ἐν D *προαστείῳ τινὶ λεγομένῳ Ἀχυρῶνι πρὸ ὀλίγου διαστήματος τῆς πόλεως, ἀῤῥωστήσας ἡμέρας ἕξ, πρὸ τοῦ πληρωθῆναι τὸ κτίσμα ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ τῆς Συρίας τὸ τῆς μεγάλης ἐκκλησίας τὸ* O 11 *μέγιστον καὶ ἓν ὂν τῶν θεαμάτων. τελευτᾷ δὲ ὢν ἐνιαυτῶν ξ′ καὶ μηνῶν γ′, ὡς ταῦτα συνεγράψατο καὶ τοὺς χρόνους πάντας τῶν προγεγραμμένων βασιλέων ὁ σοφώτατος Νεστοριανὸς ὁ χρονογράφος.*

E *Μετὰ δὲ τὴν βασιλείαν Κωνσταντίνου τοῦ μεγάλου ηὑρέθη βασιλεὺς ὢν ἐν Ῥώμῃ Κωνσταντῖνος ὁ υἱὸς αὐτοῦ· ὅντινα ἐν τῇ ζωῇ αὐτοῦ ἐποίησε βασιλέα Ῥώμης ἐπὶ τῆς ὑπατείας Οὔρσου καὶ Πολυβίου.*

16. *ἐπὶ τῆς ὑπατείας Οὔρσου καὶ Πολυβίου.*] „Chr. Alex. habet *Οὔρσου καὶ Πολεμίου.* Fasti etiam Capitolini hoc anno Ursum et Polemium Coss. exhibent.“ Ch.

Eodem etiam tempore Constantinus Imperator, fana illa tria, quae in eo loco, qui Acropolis olim dicebatur, posita erant, Solis nempe, Dianae, Lunae et Veneris, reditibus exuta deinceps manere jussit.

Non longo autem post tempore Imperator Constantinus, in Nicomediam Bithyniae itinere facto, in morbum incidit; a quo cum per sex dies decubuerat, in ejusdem civitatis suburbio quodam, Achyrone dicto, non procul ab urbe, diem suum obiit, antequam opus illud magnificum, et inter orbis Miracula censendum, Ecclesiae nempe Antiochenae Magnae fabricam ad exitum perduxisset. Mortuus autem est, annos natus LX, cum mensibus tribus: uti haec memoriae prodidit sapientissimus Nestorianus, Chronographus; qui praedictorum quoque Imperatorum res gestas Chronico descripsit.

CONSTANTINUS JUNIOR,

ROM. IMPERATOR.

Post mortuum vero Constantinum, Romae regnum tenuit Constantinus filius; quem pater, dum adhuc ipse in vivis esset, regem ibi constituerat; Urso et Polybio Coss.

Ὁ δὲ αὐτὸς Κωνσταντῖνος βασιλεὺς ὁ μικρὸς ἐβασίλευσεν ἐν τῇ Ῥώμῃ ἔτη ιβ΄. ὅστις μετὰ τελευτὴν τοῦ πατρὸς ἐξῆλθεν εἰς πρόκεσσον καὶ ἐσφάγη ἐν Μοθώνῃ ὑπὸ τῶν ἀνθρώπων τοῦ ἀδελφοῦ αὐτοῦ, ὢν ἐνιαυτῶν κ΄.

Μετὰ δὲ τὴν βασιλείαν Κωνσταντίνου τοῦ μικροῦ ἐβασίλευ- O 12 V 7
σεν ἐν τῇ Ῥώμῃ Κώνστας ὁ ἀδελφὸς αὐτοῦ ἔτη ις΄. ὅστις ἀῤῥωστήσας ἀπὸ δυσεντερίας ἐτελεύτα, ὢν ἐνιαυτῶν κζ΄.

Μετὰ δὲ τὴν βασιλείαν Κωνσταντίνου τοῦ μεγάλου ἐβασίλευ- B
σε Κωνσταντινουπόλεως Κωνστάντιος ὁ υἱὸς αὐτοῦ ὁ μικρότερος ἔτη λ΄. ἦν δὲ μεγαλόψυχος, ἐξακιονίτης, ὅ ἐστιν Ἀρειανός. ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας ἐκίνησαν οἱ Πέρσαι, ἤτοι Ἀββουραρσάκιος O 13
ὁ βασιλεύς· καὶ ἐπεστράτευσε κατ᾽ αὐτῶν ποιήσας Καίσαρα Ἰουλιανὸν συγγενέα αὐτοῦ.

Καὶ γενόμενος ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ ἐπλήρωσε τὴν μεγάλην ἐκκλησίαν ἐπιγράψας ταῦτα·

4. *αὐτοῦ*] *αὐτοῦ* Ox. 7. **δυσεντερίας** Ch., **δυσσεντερίας** Ox.
11. *Ἀββουραρσάκιος*] *Σαββουραρσάκιος* Ch.

Hic autem Constantinus Junior per annos XII. Romae regnavit, Patris vero post obitum, dum in Processum exiret, a fratris sui militibus Mothone occisus est, annum agens XX.

C O N S T A N S

ROM. IMPERATOR.

Constantinum Juniorem excepit in regno Romano Constans, frater ejus: qui, cum annos ibi XVI. regnaverat, ex Dysenteria interiit, annos natus XXVII.

C O N S T A N T I U S

IMP. CONSTANTINOPOLITANUS.

Constantino autem Magno succedebat in Imperio Constantinopolitano Constantius, filiorum natu minimus: qui imperavit annos XXX. Erat autem hic vir magni animi, atque *Exocionita*, id est, Arrianus. Hujus sub imperio motus ciebant Persae, ab Abburarsacio rege eorum ducti. Imperator itaque, Juliano cognato suo Caesare creato, in eos arma movit.

Magnam autem Antiochiam veniens, Ecclesiam ibi magnam absolvit cui ista inscripsit.

Χριστῷ Κωνστάντιος ἐπέραιστον οἶκον ἔτευξεν,
Οὐρανίαις ἁψῖσι πανείκελα, παμφανόωντα,
Κωνσταντίου ἄνακτος ὑποδρήσσοντος ἐφετμαῖς·
C *Γοργόνιος δὲ κόμης θαλαμηπόλον ἔργον ὕφανε.*

καὶ κατελθὼν ἐπὶ τὰ Περσικὰ ἐποίησε πάκτα εἰρήνης μετὰ Περσῶν ἐπὶ φανερὸν χρόνον, πολλῶν πεσόντων ἐξ ἀμφοτέρων ἐν τῇ συμβολῇ. καὶ ὑποστρέψας ἐποίησε τὰ ἐγκαίνια τῆς αὐτῆς μεγάλης ἐκκλησίας ἐν Ἀντιοχείᾳ. καὶ ἐξελθὼν ὁ αὐτὸς Κωνστάντιος ἀπὸ Ἀντιοχείας, ἀνιὼν ἐπὶ Κωνσταντινούπολιν, ἔφθασε τὴν Κιλι- O 14 *κίαν· καὶ ἔκτισεν ἐκεῖ τὴν γέφυραν τοῦ Πυράμου ποταμοῦ, ἔργον μέγιστον. καὶ εἰσελθὼν ἐν Μαμψουεστίᾳ, πόλει τῆς Κιλικίας, ἀρρωστήσας τελευτᾷ ἐκεῖ, ὢν ἐνιαυτῶν μ΄.*

D *Μετὰ δὲ τὴν βασιλείαν Κωνσταντίου ἐβασίλευσεν Ἰουλιανὸς ὁ παραβάτης, ὁ πρῴην γενόμενος Καῖσαρ, ὁ συγγενεὺς τοῦ αὐτοῦ Κωνσταντίου, ἐπὶ ὑπατείας Μαρμεντίου καὶ Νεβήτα· ὅστις ἐβασίλευσεν ἔτη β΄. ἦν δὲ ἐλλόγιμος· ὅστις ἐκλήθη παραβάτης, διότι*

1. *ἐπέραιστον*] *ἐπήρατον* Ch. Idem *Κωνσταντῖνος* et *Κωνσταντῖνου* suspicatur. 2. *παμφανόωντα* Ch., *πανφανόεντα* Ox. 3. *ὑποδρήσσοντος* Ch., *ὑποδρήσοντος* Ox. 4. *θαλαμηπόλον* Ch., *θαλάμη πόλον* Ox. 11. *Μαμψουεστίᾳ*] *Μαμψουκρήναις* debebat notante Wesselingio ad Antonin. p. 580. 15. *Μαρμεντίου καὶ Νεβήτα*] „Chr. Alex. habet *Μαμερτίνου καὶ Νεβήττα*; rectius: hoc anno enim Fasti Capitolini Fl. Mamertinum et Fl. Nevittam Coss. habent.“ Ch.

Extruxit sacras Christo Constantius aedes,
Coelo consimiles, summo splendore nitentes:
Sic Constantini regis pia jussa sequutus.
μίλιον ἕνα. καὶ ἐκέλευσεν ὁ αὐτὸς βασιλεὺς Θεοδόσιος περιτειχι-
σθῆναι καὶ τὰ ἔξω τῆς πόλεως ὄντα οἰκήματα· καὶ ἐγένετο τεῖχος
ἀπὸ τῆς πόρτας τοῦ λεγομένου φίλον αὐτοῦ ἕως τοῦ λεγομένου
Ῥοδίωνος· καὶ περιέλαβε τὸ ὄρος τὸ νέον τεῖχος ἕως τοῦ πα-
λαιοῦ τείχους τοῦ κτισθέντος ὑπὸ Τιβερίου Καίσαρος, καὶ προσε-
κόλλησε τὸ νέον τεῖχος ἕως τοῦ ῥύακος τοῦ λεγομένου Φυρμίνου
τοῦ κατερχομένου ἐκ τῆς διασφαγῆς τοῦ ὄρους, ἐνεγκὼν τοὺς λί-
θους ἐκ τοῦ μονομαχείου τοῦ παλαιοῦ τοῦ ὄντος εἰς τὴν ἀκρό-
O 42 πολιν ἄνω, λύσας καὶ τὸν ἀγωγὸν τὸν ἐρχόμενον εἰς τὴν αὐτὴν
ἀκρόπολιν ἀπὸ τῶν λεγομένων ὑδάτων ἐκ τῆς Λαοδικηνῆς ὁδοῦ·
E ὅντινα ἀγωγὸν ἐποίησεν Ἰούλιος ὁ Καῖσαρ, κτίσας τὸ δημόσιον

7. *Ἀντειοχείας* Ox. 11. *ἕνα*] V. ad vol. I. p. 119. A. 13. *τοῦ λεγομένου φίλον αὐτοῦ*] „Ita habuit Cod. MS. forte tamen legendum *φιλοναύτου*.“ Ch. 21. *Ἰουλιανὸς ὁ Κ.*] „Scr. *Ἰούλιος ὁ Κ.* vide supra lib. IX.“ Ch.

a nomine suo Theodosiopolim vocavit; addito etiam, quod et adhuc retinet, Metropolis jure; Merobaudo et Saturnino Coss.

Idem Theodosius Imperator Synodum Constantinopoli convocavit CL Episcoporum: in qua de Consubstantialitate Spiritus Sancti agebatur. Porro Theodosius Imperator Praetorio Praefectum constituit Antiochum Magnum cognomento Chuzonem, ex Antiochia oriundum. Hic vero statim a munere suscepto, ad Imperatorem Theodosium retulit, de Antiochia Magna Syriae; ad molem nempe tantam crevisse eam, ut ab ipsis urbis moenibus, ad distantiam milliarii unius, in suburbia excurreret. Imperator itaque jussit, uti aedificia etiam quae extra urbem posita erant muro cingerentur: murus itaque factus est, a Philonauta quam vocant Porta Rhodionem usque dictum locum; ita ut murus iste novus montem includeret, usque ad murum veterem, a Tiberio Caesare extructum. Murum vero novum perduxerunt etiam ad Phurminum, quod vocant, fluentum, ex montis cavernis emanans; comportatis eo lapidibus ex Monomachio veteri, quod superius ad Acropolim stetit. Dirutus est etiam, quem Julius Caesar extruxerat, Aquaeductus, aquas ex via Laodicena ad Acropolim deferens, ad Balneum aquis supplendum, quod ad montem extruxerat, in

ἄνω εἰς τὸ ὄρος τοῖς λεγομένοις ἀκροπολίταις τοῖς ἀπομείνασι καὶ οἰκήσασιν ἄνω μεθ' οὓς κατήγαγε Σέλευκος ὁ Μακεδὼν ὁ Νικάτωρ ἐν τῇ πόλει τῇ κτισθείσῃ ὑπ' αὐτοῦ ἐν τῷ λεγομένῳ αὐλῶνι· οὕστινας καὶ παρεκάλεσεν οἰκεῖν ἅμα αὐτῷ τὴν κάτω πόλιν Ἀντιόχειαν τὴν μεγάλην. ἐν ἐκείνῳ δὲ τῷ καιρῷ ἔλαβε τεῖχος καὶ Γίνδαρος καὶ τὸ Λύταργον καὶ ἄλλαι πολλαὶ κωμοπόλεις τῆς Συρίας.

Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας οἱ Τζάννοι περάσαντες ἦλθον εἰς V 17
τὴν Καππαδοκίαν καὶ Κιλικίαν καὶ Συρίαν· καὶ ἐπραίδευσαν καὶ ἀπῆλθον.

Ὁ δὲ αὐτὸς βασιλεὺς Θεοδόσιος ἐμέρισε τὴν νέαν Ἤπειρον ἀπὸ τῆς παλαιᾶς καὶ ἐποίησεν ἐπαρχίαν, δοὺς δίκαιον πόλεως καὶ ἄρχοντα Δοῤῥαχίῳ πόλει· ὁμοίως δὲ καὶ δευτέραν Παλαιστίνην ἐμέρισεν ἀπὸ τῆς πρώτης καὶ ἐποίησεν ἄρχοντα, δοὺς δίκαιον μητροπόλεως καὶ ἄρχοντα τῇ λεγομένῃ Σκυθῶν πόλει.

Ὁ δὲ αὐτὸς Θεοδόσιος βασιλεὺς ἀπὸ Κωνσταντινουπόλεως ἐξελθὼν ἐπὶ Ῥώμην εἰσῆλθεν ἐν Θεσσαλονίκῃ πόλει· καὶ τοῦ ὄν- B
τος μετ' αὐτοῦ στρατιωτικοῦ πλήθους διὰ μιτᾶτα ταράξαντος τὴν O 43
πόλιν, ἐστασίασαν καὶ ὕβρισαν τὸν βασιλέα οἱ Θεσσαλονικεῖς. καὶ θεωρήσας ἱππικὸν ἐν τῇ αὐτῇ πόλει γέμοντος τοῦ Ἱππικοῦ ἐκέλευσε τοξευθῆναι· καὶ ἀπώλετο πλῆθος χιλιάδων δεκαπέντε. καὶ διὰ τοῦτο ἀγανακτήσας κατ' αὐτοῦ Ἀμβρόσιος ὁ ἐπίσκοπος ἐποίησεν αὐτὸν ὑπὸ κώλυμα· καὶ ἔμεινεν ἐπὶ πολλὰς ἡμέρας μὴ

13. *Δοῤῥαχίῳ*] *Δοῤῥαχείῳ* Ox. 14. *ἄρχοντα*] „Lego *ἐπαρχίαν*." Ch. 23. *ὑποκώλυμα* Ox.

usum Acropolitarum, qui sedes ibi olim posuerant, reliquique fuerunt ex eis, quos Nicator Seleucus, in planiciem deductos, adhortatus est, uti sedes, ubi et ipse ponentes, urbem a se conditam, Antiochiam magnam incolerent. Eodem tempore Gindarus, Lytargus, plurimaque alia Syriae oppida rusticana moenibus cincta fuerunt.

Hujus sub imperio Tzanni trajicientes, Cappadociam, Ciliciam, Syriamque diripuerunt; praedaque arrepta, regiones suas repetierunt.

Idem Theodosius Imperator, novam a veteri dirimens Epirum, Provinciam fecit, Jure Metropolitico et Praefecto urbi Dyrrhachio concessis. Similiter etiam Palaestinam secundam a Prima sejungens, Provinciam fecit; Metropolis jure et Praefecto Scythopoli datis.

Theodosius autem Imperator Constantinopoli Romam proficiscens, per Thessalonicam fecit iter: ubi militibus ob metationes tumultum cientibus, populus Thessalonicensis, concitata seditione, Imperatorem conviciis impetebat. Imperator autem, qui tum Circensia spectabat, ad quae frequens multitudo convenerat, militem sagittis populum petere jussit: unde et quindecim millia capitum ceciderunt. Ob hoc indignatus Ambrosius Episcopus, Imperatori Ecclesia interdixit, neque ingredi eum passus est, per

εἰσερχόμενος εἰς τὴν ἐκκλησίαν, ἕως οὗ παρακληθεὶς ὁ ἐπίσκοπος εἰς τὰ ἅγια γενέθλια ἐδέξατο αὐτόν. οὐκ ἄλλως δὲ ἐδέξατο αὐτόν, ἕως οὗ ἐποίησε σάκραν, ἵνα οἱασδήποτε ἀγανακτήσεως παρὰ βασιλέως γινομένης ἔνδοσιν δίδοσθαι ἀπὸ τῶν ἐπιτρεπομένων
C τριάκοντα ἡμερῶν καὶ εἶθ' οὕτως γενέσθαι τὸ προσταχθέν.

Ὁ δὲ αὐτὸς βασιλεὺς καὶ τὴν δευτέραν Γαλατίαν ἀπὸ τῆς πρώτης μερίσας ἐποίησεν ἐπαρχίαν, δοὺς δίκαιον πόλεως καὶ ἄρχοντα Πισινοῦντι τῇ πόλει.

O 44 Ὁ δὲ αὐτὸς Θεοδόσιος βασιλεὺς ποιήσας πρόκενσον ἀπιὼν ἐπὶ πόλεμον, ἐν Μιζουλάνῳ ἠῤῥώστησε, καὶ τελευτᾷ ἐκεῖ ἐν Μιζουλάνῳ, ὢν ἐνιαυτῶν ξε΄· καὶ ἠνέχθη τὸ λείψανον αὐτοῦ ἐν Κωνσταντινουπόλει. ὅτε δὲ ἔμελλε τελευτᾶν Θεοδόσιος, μαθὼν ὅτι εἰς Ῥώμην ἦλθεν ὁ Ἀρκάδιος πρὸς Ὁνώριον τὸν αὐτοῦ ἀδελφὸν ἀῤῥωστήσαντα, ἔγραψεν αὐτῷ ὑποστρέψαι εἰς Κωνσταντινούπο-
D λιν διὰ τὴν ἀνατολήν. καὶ διατρίψαντος ἐν Ῥώμῃ τοῦ αὐτοῦ βασιλέως Ἀρκαδίου πρὸς τὸν αὐτοῦ ἀδελφὸν βασιλέα Ὁνώριον, ὡσαύτως δὲ καὶ κατὰ τὴν ὁδὸν διασύραντος, ἐν ὅσῳ ἔρχεται ὁ Ἀρκάδιος ἐν Κωνσταντινουπόλει, Γαϊνὰς ἐτυράννησεν ὁ συγκλητικός, θέλων βασιλεῦσαι. καὶ κατέφθασεν ὁ Ἀρκάδιος ἐν Κωνσταντινουπόλει καὶ ἐφόνευσε τὸν τύραννον Γαϊνάν.

O 45 Μετὰ οὖν τὴν βασιλείαν Θεοδοσίου τοῦ μεγάλου τοῦ Σπανοῦ
E ἐβασίλευσεν ὁ υἱὸς αὐτοῦ Ἀρκάδιος ἐν Κωνσταντινουπόλει ἐλθὼν

7. πόλεως] Immo μητροπόλεως.

dies plurimos; donec exoratus tandem recepit eum, in Festo Theophaniorum; ea tamen conditione, si per *Sacram* Imperatoriam ediceret, ut qualiscunque incideret occasio, quae Imperatorem commotum redderet, Judicum sententiae, non nisi interposito xxx dierum spatio, ratae essent.

Idem Theodosius Galatiam quoque secundam a prima dirimens, Provinciam fecit; Metropolis jure et Praefecto Pessinunti concessis.

Porro Theodosius Imperator, expeditione quadam suscepta, Mediolani in morbum incidens, fato ibi succubuit, annos natus LXV; reliquiis ejus inde Constantinopolim deportatis. Moriens autem Theodosius, Arcadium (quem Romam venisse rescierat, ut Honorium fratrem viseret, tunc temporis ex morbo decumbentem) per literas hortatus est, uti Constantinopolim repetens, Orienti prospiceret. Arcadio autem Romae cum fratre Honorio longius commorante; quin et per viam quoque moras trahente, citius Constantinopolim attingere non potuit, quam Gainas quidam ex Senatoribus imperium invasisset. Tandem vero Arcadius, Constantinopolim veniens, Gainam istum rebellem e medio sustulit.

A R C A D I U S
I M P E R A T O R.

Magnum itaque Theodosium Hispanum excepit in Imperio filius ejus Arcadius, Roma Constantinopolim veniens: ubi regnavit annos XXIII, Ho-

ἀπὸ Ῥώμης τὰ πάντα ἔτη εἰκοσιτρία, ἐάσας ἐν Ῥώμῃ Ὀνώριον τὸν ἀδελφὸν αὐτοῦ τὸν μικρότερον. ἦν δὲ περίγοργος καὶ ἐνδρανής. καὶ εὐθέως ἐλθὼν ἐποίησε βασιλέα τὸν υἱὸν αὐτοῦ Θεοδόσιον τὸν μικρὸν ἐν Κωνσταντινουπόλει.

Ὁ δὲ αὐτὸς Ἀρκάδιος ἐποίησε καὶ ἴδιον ἀριθμόν, οὓς ἐκάλεσεν Ἀρκαδιακούς. ἀῤῥωστήσας δὲ ἐξαίφνης τελευτᾷ, ὢν ἐνιαυτῶν λα΄.

Μετὰ δὲ τὴν βασιλείαν Ἀρκαδίου ἐβασίλευσεν ὁ ἀδελφὸς αὐ- V 18
τοῦ Ὀνώριος ἐν Ῥώμῃ ἔτη λα΄. ἦν δὲ ὀργίλος καὶ σώφρων.

Ὁ δὲ αὐτὸς βασιλεὺς ἔκλεισε τὸ ἱερὸν τοῦ Σεράπιδος Ἡλίου O 46
τοῦ ἐν Ἀλεξανδρείᾳ τῇ μεγάλῃ.

Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας ταραχῆς γενομένης δημοτικῆς ἐν τῇ Ῥώμῃ μεγάλης, ἀγανακτήσας ἀπῆλθεν εἰς Ῥάβενναν πόλιν· καὶ πέμψας ἤγαγεν Ἀλάριχον στρατηλάτην ἀπὸ τῶν Γαλλιῶν μετὰ πλήθους, ἵνα πραιδεύσῃ τὴν Ῥώμην. καὶ ἐλθὼν ὁ Ἀλάριχος ἐν τῇ πόλει παρέθετο αὐτὸν τῇ πόλει καὶ τοῖς συγκλητικοῖς τοῖς ἐχθροῖς Ὀνωρίου, καί τινα τῶν τῆς πόλεως οὐκ ἔβλαψεν, ἀλλὰ
ὁρμήσας εἰς τὸ παλάτιον ἐπῆρε πάντα τὰ τοῦ παλατίου χρήματα B
καὶ τὴν ἀδελφὴν Ὀνωρίου ἀπὸ πατρὸς Πλακιδίαν, μικρὰν οὖσαν

14. *Γαλλίων* Ch., *Γαλίων* Ox. Scripsi *Γαλλιῶν* et mox *Γαλλίας*, ut p. 30. A. 16. *αὐτὸν* Ox.

norio fratre suo natu minore Romae relicto. Erat autem [Arcadius] vir ingenii acerrimi, et rebus agendis idoneus: qui quamprimum Constantinopolim reversus fuerat, filium suum, Theodosium juniorem, imperii socium sibi accepit.

Idem Arcadius agmen quoque proprium instituit; quod et *Arcadiacum* vocavit. In morbum vero incidens, subito mortuus est, aetatis anno XXXI.

HONORIUS
IMPERATOR.

Post Arcadium mortuum Romae imperavit Honorius annos XXXI. Iracundiae hic deditus erat, sed vir sanae mentis.

Hic fanum Serapidis Solis, quod Alexandriae magnae fuit, occludi jussit.

Romae vero magna seditione coorta, Imperator in Ravennam urbem indignabundus secessit; accersito ex Gallia Alaricho Duce, cum copiis ejus, ad Romam depraedandam. Alarichus autem Romam veniens, civibus et Senatoribus, Honorii hostibus, sese adjunxit; et omnino nihil in Romanos hostile perpetrans, Imperatoris ipsius in Palatium irrumpit; universoque Thesauro Regio, Imperatoris etiam a Patre sorore, Placidia,

παρθένον· καὶ πάλιν ἀπῆλθεν αὐτὸς εἰς τὰς Γαλλίας τυραννή-
σας. Κωνστάντιος δὲ ἔτι κόμης ὢν μετὰ Ἀλαρίχου, πιστευθεὶς
παρ' αὐτοῦ τὴν κόρην Πλακιδίαν, δυνηθεὶς ἔλαβεν αὐτήν· καὶ
φυγὼν τὸν Ἀλάριχον ἤγαγεν αὐτὴν πρὸς τὸν βασιλέα Ὁνώριον.
καὶ εὐχαριστῶν αὐτῷ ὁ Ὁνώριος ἐποίησεν αὐτὸν συγκλητικόν, καὶ
O 47 *ἐξέδωκεν αὐτῷ τὴν Πλακιδίαν εἰς γυναῖκα, καὶ ἐποίησεν αὐτὸν*
βασιλέα ἐν Ῥώμῃ· ἐξ ἧς ἔσχεν υἱὸν ὁ αὐτὸς Κωνστάντιος, ὃν
ἐκάλεσε Βαλεντινιανόν. καὶ ἅμα Κωνσταντίῳ γενόμενος ὁ Ὁνώ-
ριος ἐπὶ τῆς αὐτοῦ βασιλείας ἀνεῖλε τοὺς τέσσαρας τυράννους
C *Ἄτταλον καὶ Σεβαστιανὸν καὶ Μάξιμον καὶ Κώνσταν τοὺς συγ-*
κλητικούς, οἵτινες ἀντῆραν αὐτῷ ὑπονοθεύσαντες τὸν δῆμον.
μετὰ δὲ τὸ φονευθῆναι αὐτοὺς καὶ τὰς οὐσίας αὐτῶν δημευθῆναι
ἐάσας τὸν Κωνστάντιον ἐν τῇ Ῥώμῃ βασιλεύειν ἦλθεν ὁ αὐτὸς
Ὁνώριος ἐν Κωνσταντινουπόλει βασιλεύων μετὰ Θεοδοσίου τοῦ
μικροῦ.

Ὁ δὲ Κωνστάντιος, βασιλεὺς Ῥώμης, τελευτᾷ ἰδίῳ θανάτῳ
ἐπὶ τῆς βασιλείας καὶ ζωῆς Ὁνωρίου· καὶ τυραννήσας συγκλητι-
κός τις ὀνόματι Ἰωάννης, τῶν ἄλλων συγκλητικῶν συμποιησαμέ-
νων μετ' αὐτοῦ, βασιλεύει ἐν τῇ Ῥώμῃ. καὶ γνοὺς τοῦτο ὁ Ὁνώ-
O 48 *ριος ἐμάνη· καὶ νόσῳ βληθεὶς ὑδρωπιάσας τελευτᾷ, ὢν ἐνιαυ-*
τῶν μβ'.

20. ὑδροπιάσας Ox., ὑδρωπιάσας Ch.

virguncula, secum abreptis, in Galliam reversus est, tyrannidem usque agitans. Constantius autem quidam Comes, qui Alarichum secutus, Placidiam virginem sibi concreditam habuit; arrepta occasione, Alarichum effugit, eamque Honorio Imperatori reducem dedit. Cujus facti in gratiam, Honorius Constantium ad Senatoriam dignitatem provexit: quin et Placidia ei in uxorem data, in imperii etiam consortium eum admisit. Constantio ex Placidia natus est filius, nomine Valentinianus. Honorius itaque, Constantio in regni societatem adscito, quatuor rebelles illos Senatores, Attalum, Sebastianum, Maximum et Constantem, qui plebem in partes suas allicientes, Imperatori negotium facesserunt, e medio sustulit; bonis eorum publicatis. Honorius autem, imperio Occidentis Constantio tradito, ipse Constantinopolim contendens, Theodosio Juniori sese Imperii socium adjunxit.

Contigit autem, vivente adhuc et regnante Honorio, Constantium Romanum Imperatorem e vivis excedere: post quem, Joannes quidam Senator, tyrannidem arripiens, Senatorum reliquorum ope fretus, Imperium Occidentis invasit. Quo audito, Honorius in furorem actus est; et ex aqua intercute laborans, mortuus est aetatis anno XLII.

ΛΟΓΟΣ ΙΔ' O 49 V 19

ΒΑΣΙΛΕΙΑΣ ΘΕΟΔΟΣΙΟΥ ΝΕΩΤΕΡΟΥ ΕΩΣ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΛΕΟΝΤΟΣ ΤΟΥ ΜΙΚΡΟΥ.

Μετὰ δὲ τὴν βασιλείαν Ὁνωρίου ἐβασίλευσε μόνος ὁ θειότατος A
Θεοδόσιος ὁ νέος, ὁ υἱὸς Ἀρκαδίου βασιλέως, ἀδελφοῦ Ὁνωρίου,
ἐπὶ τῆς ὑπατείας Στελίχωνος καὶ Ἀβριλιανοῦ, ὑπὸ τοῦ ἰδίου πα-
τρὸς στεφθείς· ἐβασίλευσε δὲ τὰ πάντα ἔτη ν' καὶ μῆνας ζ'. O 50
ὅστις ἔχαιρε τῷ Πρασίνῳ μέρει καὶ ἀντεποιεῖτο αὐτῶν κατὰ πό-
λιν. ἐν δὲ Κωνσταντινουπόλει μετήγαγεν αὐτούς, θεωροῦντας
πρώην εἰς τὰ δεξιὰ αὐτοῦ μέρη, καὶ ἐποίησεν αὐτοὺς θεωρεῖν εἰς
τὰ ἀριστερὰ βάθρα· καὶ τοὺς τῆς πεδατούρας στρατιώτας τοὺς
κατέναντι τοῦ καθίσματος θεωροῦντας μετέστησεν ἐπὶ τὸ Βένετον
μέρος· καὶ τὰ βάθρα ἔδωκε τοῖς τοῦ Πρασίνου μέρους, ἔχοντα
μεσόστυλα ἕξ, εἰρηκὼς τῷ ἐπάρχῳ Κύρῳ ὅτι Οὓς φιλῶ κατέ- B

Inscr. Λέοντος Ox. 3. Ἀβριλιανοῦ Ox., Αὐρηλιανοῦ Chron. p. 306. D.

LIBER XIV.

DE TEMPORIBUS THEODOSII JUNIORIS USQUE AD IMPERIUM LEONIS JUNIORIS.

Post Honorium imperavit solus divinissimus Theodosius Junior; qui a patre Arcadio, Honorii fratre, Imperator renunciatus fuerat, Stilicone et Aureliano Coss. Imperium vero tenuit annos L et menses VII. Factioni hic Prasinae studebat; cujus etiam partes egit ubique per imperium. Constantinopoli vero Prasinos, qui a dextra ejus sedentes antea spectabant Ludos, gradus a sinistra deinceps occupare jussit: militesque Pedaturae, qui ex adverso sellae Imperatoriae spectabant, ad Venetam partem transtulit. Prasinis autem Gradus dedit, sex habentes Mesostylia; Cyro Praefecto subindicans, velle se, quos charos sibi habuit, e regione

*νάντί μου θέλω θεωρεῖν. καὶ ἔκραξαν ἐν Κωνσταντινουπόλει οἱ
ἐκ τοῦ Πρασίνου μέρους τῷ αὐτῷ βασιλεῖ, Τὰ ἴδια τοῖς ἰδίοις.
καὶ ἔπεμψεν αὐτοῖς μανδᾶτα διὰ τοῦ πρωτοκούρσορος, λέγων
ὅτι Ἐγὼ ὡς τιμῶν ὑμᾶς εἰς τὰ ἀριστερὰ τοῦ καθίσματος, ἔνθα
θεωρῶ, μετέστησα ὑμᾶς· καὶ εὐφήμησαν αὐτόν. καὶ ἐκέλευσε*
O 51 *κατὰ πόλιν εἰς τὰ ἀριστερὰ τῶν ἀρχόντων θεωρεῖν τοὺς Πρασί-
νους.*

*Ἐβασίλευσε δὲ παιδίον· ὅτε δὲ προέκοψε τῇ ἡλικίᾳ ὁ αὐτὸς
Θεοδόσιος βασιλεύς, ἀνεγίνωσκεν ἔσω εἰς τὸ παλάτιον ἐν τῇ ζωῇ
τοῦ αὐτοῦ πατρὸς Ἀρκαδίου. καὶ μετὰ τὴν τελευτὴν τοῦ πατρὸς
αὐτοῦ συνανεγίνωσκεν αὐτῷ ἄλλος νεώτερος εὐφυέστατος ὀνό-*
C *ματι Παυλῖνος, υἱὸς κόμητος δομεστίκων. μετὰ δὲ τὴν τελευτὴν
τοῦ αὐτοῦ πατρὸς ἀνδρωθεὶς Θεοδόσιος ὁ βασιλεὺς ἐζήτει λαβεῖν
γυναῖκα εἰς γάμον· καὶ ὤχλει τῇ αὐτοῦ ἀδελφῇ Πουλχερίᾳ τῇ
δεσποίνῃ, οὔσῃ παρθένῳ, ἥτις ὡς φιλοῦσα τὸν ἴδιον αὐτῆς ἀδελ-
φὸν οὐχ εἵλατο γαμηθῆναί τινι· καὶ δὴ περιεργασαμένη περὶ
παρθένων πολλῶν κορασίων, θυγατέρων πατρικίων ἢ ἐξ αἵματος
βασιλικοῦ, εἶπεν τῷ αὐτῷ Θεοδοσίῳ βασιλεῖ, ἀδελφῷ αὐτῆς,*
V 20 *συνδιάγουσα αὐτῷ ἐν τῷ παλατίῳ. καὶ εἶπεν αὐτῇ ὁ αὐτὸς βα-
σιλεὺς Θεοδόσιος ὅτι Ἐγὼ θέλω, εἰ εὕρῃς μοι νεωτέραν εὔμορφον
πάνυ, ἵνα τοιοῦτον κάλλος μὴ ἔχῃ γυνὴ εἰς Κωνσταντινούπολιν,
εἴτε ἐξ αἵματός ἐστι βασιλικοῦ εἴτε ἐξ αἵματός ἐστι συγκλητικοῦ*

16. οὐκ Ox. 18. εἶπεν] εἰπὼν Ox. Male haec contraxit Chron. Pasch. p. 311. A. 20. εὕρῃς] εὕρεις Ox., ἐγὼ θέλω εὑρεῖν male Chron.

sui eos spectare. Tum vero qui Prasinae Factionis erant Constantinopolitani Imperatori inclamabant: *Suum cuique.* Theodosius autem, misso Protocursore eos monuit; se, in honorem eorum, ad sinistram sellae suae, unde spectabat ipse, transtulisse eos. Tum vero faustis acclamationibus eum celebrarunt. Edixit etiam Imperator, ubique per imperium, uti Prasini ad sinistram Praefectorum sedentes, Ludos spectarent.

Imperator autem renunciatus est, dum puer admodum erat: adolescentior autem factus, in Palatio literis imbutus est, patre Arcadio adhuc vivente. Patris autem post obitum, in literis percipiendis socius ei adjunctus est juvenis quidam nobilis, nomine Paulinus, Comitis Domesticorum filius. Theodosius autem Imperator, cum jam in virum adolevisset, uxorem ducere in animo habuit: atque eo nomine Pulcheriam Augustam, sororem suam, saepiuscule interpellaverat; quae virgo licet esset, fratrem suum adeo charum sibi habuit, ut a nuptiis ipsa abstinuerit. Pulcheria itaque inquirendis quaecunque ex Regio, vel Patricio sanguine prognatae essent, virginibus sedulam navans operam, ad Theodosium Imperatorem fratrem suum, qui cum in Palatio convixit, de illis referebat. Cui Theodosius, „Tu modo, inquit, si conciliare mihi possis teneram virginem, formaque talem, qualem Constantinopolis praeterea nullam datura est,

πρῶτον. εἰ δὲ μή ἐστι καλὴ εἰς ὑπερβολήν, οὐ χρείαν ἔχω, οὔτε ἀξιωματικὴν οὔτε ἐκ βασιλικοῦ αἵματος οὔτε πλοῦτον, ἀλλὰ O 52 καὶ εἴ τινος δή ποτέ ἐστι θυγάτηρ, μόνον παρθένον καὶ εὐπρεπεστάτην πάνυ, ταύτην λαμβάνω. καὶ ἀκηκοῶσα ταῦτα ἡ δέσποινα Πουλχερία πανταχοῦ ἔπεμψε περιεργαζομένη· καὶ Παυλῖνος δὲ περιέτρεχεν, ἀρέσαι αὐτῷ.

Ἐν δὲ τῷ μεταξὺ συνέβη ἐλθεῖν ἐν Κωνσταντινουπόλει μετὰ B τῶν ἰδίων συγγενῶν κόρην εὐπρεπῆ, ἐλλόγιμον, Ἑλλαδικήν, ὀνόματι Ἀθηναΐδα, τὴν καὶ Εὐδοκίαν μετακληθεῖσαν, θυγατέρα γενομένην Λεοντίου τοῦ φιλοσόφου Ἀθηναίου εὐπορωτάτου· ἥτις Ἀθηναῒς ἡ καὶ Εὐδοκία ἠναγκάσθη καταλαβεῖν τὴν βασιλεύουσαν πόλιν πρὸς τὴν ἰδίαν αὐτῆς θείαν διὰ τὴν αἰτίαν ταύτην. ὁ φιλόσοφος Λεόντιος ὁ αὐτῆς πατὴρ ἔχων υἱοὺς τελείους δύο, μέλλων τελευτᾶν διέθετο, τάξας ἐν τῇ ἑαυτοῦ διαθήκῃ τοὺς δύο αὐτοῦ υἱοὺς κληρονόμους πάσης τῆς ὑπ' αὐτοῦ καταλιμπανομένης περιουσίας Οὐαλέριον καὶ Γέσιον, εἰρηκὼς ἐν τῇ αὐτοῦ διαθήκῃ, Ἀθηναΐδι τῇ ποθεινοτάτῃ μου γνησίᾳ θυγατρὶ δοθῆναι βούλομαι C νομίσματα ἑκατὸν καὶ μόνον· ἀρκεῖ γὰρ αὐτῇ ἡ αὐτῆς τύχη ἡ ὑπερέχουσα πᾶσαν γυναικείαν τύχην. καὶ ἐτελεύτησεν ὁ αὐτὸς O 53 Λεόντιος ὁ φιλόσοφος ἐν Ἀθήναις. μετὰ οὖν τὴν αὐτοῦ ἀποβίωσιν ἐδυσώπει ἡ αὐτὴ Ἀθηναῒς ἡ καὶ Εὐδοκία τοὺς ἰδίους ἀδελφούς, ὡς μείζονας, προσπίπτουσα αὐτοῖς καὶ αἰτοῦσα μὴ προσχεῖν τῇ αὐτῇ διαθήκῃ, ἀλλὰ κατὰ τὸ τρίτον μέρος μερίσασθαι μετ'

Regiis illam vel Patriciis claram natalibus, hanc volo. At si forma non sit absolutissima, Regio licet sit, an Patricio prognata sanguine, divesque, non moror ista. Quinimo, quacunque tandem stirpe edita sit, virgo modo sit, omnibusque pulchritudinis palmam praeripiat, illam expeto.“ His autem Pulcheria, emissis ubique nunciis, hujusmodi virginem sollicite anquisivit. Paulinus etiam, uti ei hac ex parte gratificaretur, undique cursitabat.

Contigit interim Constantinopolim cum cognatis suis advenire Virginem quandam Graecanicam, forma singulari et doctrina praestantem, cui nomen Athenaïs; (quae et postea Eudocia vocata est) Leontii, Philosophi Atheniensis, viri ditissimi filiam. Haec Imperatricem urbem petere, amitae suae visendae gratia coacta est, hac ex causa. Leontius Philosophus, ejus pater, filios duos adultos habuit, Valerium et Gesium. Hos moriturus testamento instituit ex asse haeredes: „Athenaidi autem, (in Testamento scripsit) filiae meae desideratissimae C. Numismata tantum dari volo: sufficit enim illi Fortuna sua, qua universum sexum suum antecellit.“ Atque ita Leontius Philosophus Athenis decessit: post cujus obitum Athenaïs, quae et Eudocia, fratres suos, utpote natu majores, pedibus illorum provoluta, supplex rogavit, uti Testamenti illius rationem non adeo habentes, Paternae Haereditatis partem tertiam sibi assignarent.

αὐτῶν τὰ πατρῷα, λέγουσα μηδὲν ἡμαρτηκέναι, ὡς καὶ ὑμεῖς οἴ-
δατε, πρὸς τὸν ἴδιον ὑμῶν πατέρα· καὶ οὐκ οἶδα διὰ τί ἄπορόν
με κατέλιπε μέλλων τελευτᾶν καὶ εὐπορίας τύχην μετὰ τὴν αὐτοῦ
νέκρωσιν ἐχαρίσατο. οἱ δὲ αὐτῆς ἀδελφοὶ ἔμειναν ἀπειθεῖς, καὶ
D ὀργισθέντες ἐδίωξαν αὐτὴν καὶ ἐκ τοῦ πατρῴου αὐτῆς οἴκου, ἔνθα
συνέμενεν αὐτοῖς. καὶ ἐδέξατο αὐτὴν ἡ ἀδελφὴ τῆς γενομένης
αὐτῆς μητρός, ὡς ὀρφανήν, καὶ ὡς παρθένον ἐφύλαξεν αὐτήν.
ἥντινα λαβοῦσα ἀνῆλθεν ἐν Κωνσταντινουπόλει πρὸς τὴν ἄλλην
ἀδελφὴν τοῦ αὐτῆς πατρὸς καὶ θείαν αὐτῆς. καὶ λαβοῦσαι αὐ-
O 54 τὴν ποιῆσαι ἀξίωσιν κατὰ τῶν αὐτῆς ἀδελφῶν παρεσκεύασαν
αὐτὴν προσελθεῖν τῇ εὐσεβεστάτῃ δεσποίνῃ Πουλχερίᾳ, ἀδελφῇ
Θεοδοσίου βασιλέως. καὶ δὴ προσελθοῦσα ἐδίδαξεν ὡς βιαζομένη
παρὰ τῶν ἰδίων αὐτῆς ἀδελφῶν, διαλεγομένη ἐλλογίμως. καὶ ἑω-
ρακυῖα αὐτὴν ἡ αὐτὴ Πουλχερία εὐπρεπῆ καὶ ἐλλόγιμον, ἐπηρώ-
E τησε τὰς αὐτῆς θείας εἰ ἐστὶ παρθένος. καὶ ἐδιδάχθη παρ' αὐ-
τῶν ὅτι παρθένος ἐστὶν ἁγνὴ φυλαχθεῖσα ὑπὸ τοῦ αὐτῆς πατρός,
φιλοσόφου γεναμένου ἐν Ἑλλάδι, καὶ διὰ λόγων πολλῶν φιλοσο-
φίας ἀναχθεῖσα. καὶ κελεύσασα αὐτὴν ἅμα ταῖς αὐταῖς θείαις
διὰ κουβικουλαρίων φυλαχθῆναι καὶ περιμεῖναι, λαβοῦσα, φησί,
τὴν δέησιν παρ' αὐτῆς εἰσῆλθε πρὸς τὸν ἴδιον αὐτῆς ἀδελφὸν τὸν
βασιλέα Θεοδόσιον καὶ εἶπεν αὐτῷ ὅτι Ηὗρον νεωτέραν πάνυ
V 21 εὔμορφον, καθαρίαν, εὔστολον, ἐλλόγιμον, Ἑλλαδικήν, παρ-

2. ἴδιον ὑμῶν] κοινὸν ἡμῶν Chron. 3. εὐπορίας τύχην] καὶ εὐπορίας τυχεῖν Chron. 18. κελεύσασα Ch., κελεύσας Ox. *ibid.* αὐταῖς] αὐτῆς Chron.

„Ego enim, inquit, in communem nostrum Parentem nihil commisi, uti vos probe nostis: nec satis scio, qua tandem causa adductus, moriturus pater, nulla mihi vobiscum concessa Patrimonii sorte, prospera me mea frui Fortuna, post se mortuum juberet." At fratres in sententia perstiterunt; iratique etiam ex aedibus paternis, ubi cum eis convixerat, ejecerunt. Itaque accepit illam sibi matertera ejus; atque, ceu parentibus orbam et virginem, tutata est. Constantinopolim deinde adduxit, ad cognatam aliam, virginis amitam patris ejus sororem. Hae vero, causa illius suscepta, ad Pulcheriam Augustam, Theodosii Imperatoris sororem pientissimam, fratres suos [de bonis paternis] postulaturam, adduci curaverunt. Illa vero ad Pulcheriam adducta, oratione disertissima exposuit, quo pacto a fratribus suis injuriose habita fuerit. Videns autem Pulcheria Athenaidem, forma tali et eruditione praeditam, cognatas ejus interrogavit, virgo esset, necne? Dicebant hae, virginem esse intactam, a patre suo Philosopho Graeco custoditam, et Philosophiae praeceptis abunde satis imbutam. Cognatis itaque ejus, una cum virgine, Cubiculariorum sub cura ibidem manere jussis, Pulcheria acceptum ab ea Libellum supplicem ad Theodosium fratrem deferebat; cui etiam dixit: „Inveni tibi virginem Graecanicam, Philosophi cujusdam filiam, teneram et formosis-

θένον, θυγατέρα φιλοσόφου. ὁ δὲ ἀκούσας, ὡς νεώτερος, ἀνήφθη· καὶ μεταστειλάμενος τὸν συμπράκτορα αὐτοῦ καὶ φίλον Παυλῖνον ᾔτησε τὴν ἑαυτοῦ ἀδελφὴν ὡς ἐπ' ἄλλῳ τινὶ εἰσαγαγεῖν τὴν Ἀθηναΐδα τὴν καὶ Εὐδοκίαν ἐν τῷ αὐτῆς κουβικλείῳ, ἵνα διὰ τοῦ βήλου θεάσηται αὐτὴν ἅμα Παυλίνῳ. καὶ εἰσήχθη· O 55 καὶ ἑωρακὼς αὐτὴν ἠράσθη αὐτῆς, καὶ Παυλίνου δὲ θαυμάσαντος αὐτήν. καὶ κρατήσας αὐτὴν καὶ χριστιανὴν ποιήσας, ἦν γὰρ Ἕλλην, καὶ μετονομάσας αὐτὴν Εὐδοκίαν, ἔλαβεν αὐτὴν εἰς γυναῖκα, ποιήσας αὐτῇ βασιλικοὺς γάμους. καὶ ἔσχεν ἐξ αὐτῆς θυγατέρα ὀνόματι Εὐδοξίαν.

Ἀκούσαντες δὲ οἱ τῆς Αὐγούστας Εὐδοκίας ἀδελφοὶ ὅτι βα- B σιλεύει, προσέφυγον ἐν τῇ Ἑλλάδι φοβηθέντες· καὶ πέμψασα ἤνεγκεν αὐτοὺς ἐκ τῆς πόλεως Ἀθηνῶν ὑπὸ λόγον ἐν Κωνσταντινουπόλει, καὶ ἐποίησεν αὐτοὺς ἀξιωματικούς, προαγαγόντος αὐτοὺς τοῦ βασιλέως τὸν μὲν λεγόμενον Γέσιον ἔπαρχον πραιτωρίων τοῦ Ἰλλυριῶν ἔθνους, τὸν δὲ Οὐαλέριον μάγιστρον, εἰρηκυίας αὐτοῖς τῆς αὐτῆς βασιλίσσης Εὐδοκίας, ἀδελφῆς αὐτῶν, ὅτι Εἰ μὴ ὑμεῖς κακῶς ἐχρήσασθέ μοι, οὐκ ἠναγκαζόμην ἐλθεῖν καὶ βασιλεῦσαι. τὴν οὖν ἐκ τῆς γενέσεώς μου βασιλείαν ὑμεῖς μοι ἐχαρίσασθε· ἡ γὰρ ἐμὴ ἀγαθὴ τύχη ἐποίησεν ὑμᾶς ἀτυχεῖς O 56 εἰς ἐμέ, οὐχὶ ἡ ὑμετέρα πρὸς ἐμὲ γνώμη. C

Ὁ δὲ βασιλεὺς Θεοδόσιος καὶ Παυλῖνον, ὡς φίλον αὐτοῖ

11. Immo *Αὐγούστης*. 16. *Ἰλλυρίων* Ox. 20. *ἀτυχεῖς*] *ἀπειθεῖς* Chron. V. p. antecedentem v. 4.

simam intactam, egregie ornatam et eruditione praestantem.“ Quo audito, Imperator, uti Juvenis, exarsit: accersito itaque socio suo et amico Paulino, Pulcheriam sororem rogavit, uti per speciem alicujus negotii, Athenaidem in suum ipsius cubiculum introduceret, unde ipse eam, cum Paulino, per velum spectaret. Introductam itaque virginem, Paulino quidem eam admirante, Imperator anxie deperibat: Christianam itaque eam ubi fecisset, (Pagana enim fuerat) nomine in Eudociam mutato, in uxorem habuit; nuptiis etiam Regiis, illius in honorem, celebratis. Filiam vero ex ea suscepit, nomine Eudoxiam.

At vero fratres Eudociae Imperatricis, ubi sororem suam regnare intellexissent metu perculsi, in Helladem profugerunt: Quo Eudocia, Cautione Indemnitatis data, Constantinopolim ex Athenis accersitos, summos ibi ad honores provexit. Gesium enim Imperator Praefectum Praetorio gentis Illyricae, Valerium vero Magistrum constituit; dicente fratribus suis Eudocia Imperatrice, „Quod nisi vos male me tractassetis, ego non Constantinopolim petere, indeque Imperatrix fieri coacta fuissem. Regnum itaque, quod extra nascendi sortem mihi obtigit, vos dedistis: quod enim votis meis non aequiores stetistis, illud non malo vestro in me animo, sed bonae meae Fortunae acceptum refero.“

Imperator autem Theodosius Paulinum, ut amicum, convictorem et

καὶ μεσάσαντα τῷ γάμῳ καὶ συναριστοῦντα αὐτοῖς, ἐποίησε διὰ πάσης ἀξίας ἐλθεῖν· καὶ μετὰ ταῦτα προηγάγετο αὐτὸν μάγιστρον· καὶ ηὐξήθη. ὡς ἔχων δὲ παῤῥησίαν πρὸς τὸν βασιλέα Θεοδόσιον, ὡς παράνυμφος, καὶ πρὸς τὴν Αὔγουσταν Εὐδοκίαν εἰσῄει συχνῶς ὁ αὐτὸς Παυλῖνος, ὡς μάγιστρος.

Ὁ δὲ αὐτὸς Θεοδόσιος βασιλεὺς ἔπεμψεν ἐν τῇ Ῥώμῃ Ἄσπαρα τὸν πατρίκιον μετὰ δυνάμεως πολλῆς στρατοῦ κα- D τὰ Ἰωάννου τοῦ τυράννου. καὶ ἐνίκησε τὸν αὐτὸν Ἰωάννην ὁ Ἄσπαρ, καὶ ἐξέβαλεν αὐτὸν τῆς βασιλείας Ῥώμης, καὶ ἐφόνευσεν αὐτόν. καὶ ἐποίησεν ὁ βασιλεὺς Θεοδόσιος βασιλέα ἐν τῇ Ῥώμῃ Βαλεντινιανὸν τὸν μικρόν, τὸν υἱὸν Πλακιδίας τῆς μεγάλης καὶ Κωνσταντίου βασιλέως, τὸν ἴδιον αὐτοῦ συγγενέα. καὶ ἐκδίδωσιν αὐτῷ τὴν ἑαυτοῦ θυγατέρα, ἣν εἶχεν ἀπὸ Εὐδοκίας Αὐγούστας, θυγατρὸς τοῦ φιλοσόφου, ὀνόματι Εὐδοξίαν· ἀφ' ἧς ἔσχεν ὁ αὐτὸς Βαλεντινιανὸς θυγατέρας δύο Εὐδοκίαν καὶ Πλακιδίαν.

Συνέβη δὲ μετὰ χρόνον ἐν τῷ προϊέναι τὸν βασιλέα Θεοδόσιον εἰς τὴν ἐκκλησίαν ἐν τοῖς ἁγίοις θεοφανίοις τὸν μάγιστρον O 57 Παυλῖνον ἀηδισθέντα ἐκ τοῦ ποδὸς ἀπρόϊτον μεῖναι καὶ ἐκ- E κουσσεῦσαι. προσήνεγκε δὲ τῷ αὐτῷ Θεοδοσίῳ βασιλεῖ πένης τις μῆλον Φρυγιατικὸν παμμέγεθες πολὺ εἰς πᾶσαν ὑπερβολήν. καὶ ἐξενίσθη ὁ βασιλεὺς καὶ πᾶσα ἡ σύγκλητος αὐτοῦ· καὶ εὐθέως ὁ βασιλεύς, δεδωκὼς τῷ προσαγαγόντι τὸ μῆλον νομίσμα-

4. *Αὐγούσταν* Ox. Sic et p. seq. 21. *παμμεγεθὲς* Ox.

nuptiarum conciliatorem, per omnes honorum gradus ad dignitates evexit; deinde etiam Magistri dignitate insignivit. Sic honoribus auctus est Paulinus; qui cum plurimum potuerit apud Imperatorem, ut qui Paranymphus ejus fuerit, saepiuscule etiam, ut qui Magister erat, ad Imperatricem Eudociam intromissus est.

Imperator autem Theodosius Asparem quendam, virum Patricium, cum exercitu magno Romam versus emisit, contra Joannem illum rebellem. Hunc itaque Aspar bello superavit, regnoque Romano deturbatum, neci tradidit, Romanus vero Imperator a Theodosio renunciatus est Valentinianus Junior, consanguineus ejus, Constantii Imperatoris et Placidiae magnae filius: cui etiam in uxorem dedit filiam Eudoxiam, quam ex Eudocia Augusta, Philosophi filia susceperat. Ex ea vero filias duas habuit Valentinianus, Eudociam et Placidiam.

Accidit autem post temporis, cum Imperator Theodosius in Sanctis Theophaniis ad Ecclesiam exiret, Paulinum Magistrum domi manere; aeger enim ex pede decumbens, morbum excusavit. Obtulit interim pauper quidam Theodosio pomum Phrygium, praegrande illud et inusitatae magnitudinis; Imperatore ipso Proceribusque ejus omnibus magnitudine illius stupescentibus. Imperator autem, datis ei qui obtulerat CL nummis,

τα ἑκατὸν πεντήκοντα, ἔπεμψεν αὐτὸ τῇ Αὐγούστῃ Εὐδοκίᾳ· καὶ
ἡ Αὔγουστα ἔπεμψεν αὐτὸ Παυλίνῳ μαγίστρῳ, ὡς φίλῳ τοῦ βα- V 22
σιλέως· ὁ δὲ μάγιστρος Παυλῖνος, ἀγνοῶν ὅτι ὁ βασιλεὺς ἔπεμ-
ψεν αὐτὸ τῇ Αὐγούστῃ, λαβὼν ἔπεμψεν αὐτὸ τῷ βασιλεῖ Θεοδο-
σίῳ, ὡς εἰσέρχεται εἰς τὸ παλάτιον. καὶ δεξάμενος αὐτὸ ὁ βα-
σιλεὺς ἐγνώρισεν αὐτὸ καὶ ἀπέκρυψεν αὐτό· καὶ καλέσας τὴν
Αὔγουσταν ἐπηρώτησεν αὐτήν, λέγων, Ποῦ ἐστι τὸ μῆλον ὃ
ἔπεμψά σοι; ἡ δὲ εἶπεν ὅτι ἔφαγον αὐτό. καὶ ὥρκωσεν αὐτὴν
κατὰ τῆς αὐτοῦ σωτηρίας εἰ ἔφαγεν αὐτὸ ἤ τινι αὐτὸ ἔπεμψε.
καὶ ἐπωμόσατο ὅτι Οὐδενὶ αὐτὸ ἔπεμψα, ἀλλ' ὅτι αὐτὴ αὐτὸ
ἔφαγε. καὶ ἐκέλευσεν ὁ βασιλεὺς ἐνεχθῆναι τὸ μῆλον, καὶ ἔδειξεν
αὐτῇ αὐτό. καὶ ἠγανάκτησε κατ' αὐτῆς, ὑπονοήσας ὅτι ὡς
ἐρῶσα τῷ αὐτῷ Παυλίνῳ ἔπεμψεν αὐτῷ τὸ μῆλον καὶ ἠρνήσα-
το. καὶ διὰ τοῦτο ἀνεῖλε τὸν αὐτὸν Παυλῖνον ὁ βασιλεὺς Θεο-
δόσιος· καὶ λυπηθεῖσα ἡ Αὔγουστα Εὐδοκία, ὡς ὑβρισθεῖσα, B O 58
ἐγνώσθη γὰρ πανταχοῦ ὅτι δι' αὐτὴν ἐσφάγη ὁ Παυλῖνος· ἦν
γὰρ πάνυ εὔμορφος νεώτερος· ᾐτήσατο δὲ ἡ Αὔγουστα τὸν βα-
σιλέα Θεοδόσιον τοῦ κατελθεῖν εἰς τοὺς ἁγίους τόπους εἰς εὐ-
χήν· καὶ παρέσχεν αὐτῇ. καὶ κατῆλθεν ἀπὸ Κωνσταντινουπό-
λεως ἐπὶ Ἱεροσόλυμα εὔξασθαι· καὶ ἔκτισεν ἐν Ἱεροσολύμοις
πολλά, καὶ τὸ τεῖχος ἀνενέωσε τῆς Ἱερουσαλήμ, εἰποῦσα ὅτι Δι'
ἐμὲ εἶπε Δαβὶδ ὁ προφήτης ὅτι καὶ ἐν τῇ εὐδοκίᾳ σου οἰκοδο-

4. αὐτὸ Ch., Chron., αὐτῷ Ox. 13. τῷ αὐτῷ Παυλίνῳ] τοῦ αὐτοῦ Παυλίνου Ch. 17. „δὲ redundat; nec habetur in Chr. Alex." Ch. 22. Δαβίδ] Psalm. L. 20.

pomum Eudociae Augustae dono misit: quo eodem ipsa Paulinum Magistrum, ceu Imperatoris amicum, donavit. Paulinus vero Magister, ignorans illud Imperatorem jam antea Augustae dedisse, Imperatori Theodosio, cum Palatium intraret, remisit. Acceptum vero munus Imperator agnoscit, et secreto apud se servat: vocatamque deinde Augustam interrogat: „Ubi est pomum, inquiens, quod tibi misi? Comedi; inquit Illa." Adjuravit illam Theodosius per salutem suam uti diceret, an malum illud edisset ipsa, an vero alteri dono misisset. Juravit illa comedisse se, nec illud alicui dedisse. Tum vero Imperator pomum adferri jussit, allatumque Augustae ostendit; simulque ei irascitur, suspicatus eam Paulino, ceu Amasio suo, pomum misisse, ideoque factum negasse. Paulinum itaque Imperator de medio sustulit: quod factum Imperatoris, tanquam in se injuriosum, indigne tulit Augusta Eudocia: cujus ob causam Paulinum periisse, (Juvenis enim erat formosus) in omnium erat ore. Augusta itaque Theodosium Imperatorem exoratum habuit, uti sibi liceret loca sancta adire, orationis ergo: facultateque impetrata, Eudocia inde ex Constantinopoli Hierosolymam perrexit, orandi causa: Ubi quamplurimis extructis aedificiis, moenia quoque urbis instauravit. Dicebat enim hoc voluisse Davidem Prophetam, in istis: *In bona voluntate tua, Domine, aedi-*

μηθήσεται τὰ τείχη Ἱερουσαλήμ, κύριε. καὶ μείνασα ἐκεῖ καὶ κτίσασα ἑαυτῇ μνῆμα βασιλικὸν ἐτελεύτησε, καὶ ἐτέθη ἐν Ἱεροσολύμοις. ἐν δὲ τῷ μέλλειν αὐτὴν τελευτᾶν ἐπωμόσατο μὴ συν-
C εἰδέναι τῇ κατηγορίᾳ τῆς ἕνεκεν Παυλίνου.

Ὁ δὲ βασιλεὺς Θεοδόσιος ἦν ἐλλόγιμος, παρὰ παντὸς τοῦ δήμου φιλούμενος καὶ τῆς συγκλήτου. ἐπὶ δὲ τῆς βασιλείας αὐτοῦ καὶ Βαλεντινιανοῦ ἐπεστράτευσε κατὰ Ῥώμης καὶ κατὰ Κωνσταντινουπόλεως Ἀττιλᾶς, ἐκ τοῦ γένους τῶν Γηπέδων, πλῆθος ἔχων μυριάδων πολλῶν, δηλώσας διὰ Γότθου ἑνὸς πρεσβευτοῦ τῷ Βαλεντινιανῷ, βασιλεῖ Ῥώμης, Ἐκέλευσέ σοι δι'
O 59 ἐμοῦ ὁ δεσπότης μου καὶ δεσπότης σου Ἀττιλᾶς ἵνα εὐτρεπίσῃς αὐτῷ τὸ παλάτιόν σου. ὁμοίως δὲ καὶ Θεοδοσίῳ βασιλεῖ
D τὰ αὐτὰ ἐν Κωνσταντινουπόλει ἐδήλωσε δι' ἑνὸς Γότθου πρεσβευτοῦ. καὶ ἀκηκοὼς Ἀέτιος ὁ πρῶτος συγκλητικὸς Ῥώμης τὴν ὑπερβάλλουσαν τόλμαν τῆς ἀπονενοημένης ἀποκρίσεως Ἀττιλᾶ, ἀπῆλθε πρὸς Ἀλάριχον πρὸς τοὺς Γάλλους, ὄντα ἐχθρὸν Ῥωμαίων, καὶ προετρέψατο αὐτὸν καὶ ἤνεγκεν αὐτὸν ἅμα αὐτῷ κατὰ Ἀττιλᾶ· ἐπολέμησε γὰρ πόλεις πολλὰς τῆς Ῥώμης. καὶ ἐξαίφνης ἐπιῤῥίψαντες αὐτῷ, ὡς ἐστὶν ἀπληκεύων πλησίον τοῦ Δανουβίου ποταμοῦ, ἔκοψαν αὐτῶν χιλιάδας πολλάς. εἰς δὲ τὴν συμβολὴν πληγὴν λαβὼν ὁ Ἀλάριχος ἀπὸ σαγίτας ἐτελεύτη-

3. μὴ συνειδέναι τῇ κατηγορίᾳ τῆς ἕνεκεν Παυλίνου] „Locus mutilus: forte legendum τῇ vel αὐτῆς· aut etiam supplendum, τῇ γενομένῃ κατ' αὐτῆς ἕνεκεν Παυλίνου, uti ista leguntur in Chr. Alex." Ch. 8. Γηπαίδων] Per ε scripsi, ut vol. I. 124. D. II. 64. C. 20. αὐτῶν] αὐτοῦ Chron. Pasch. p. 318. A.

ficabuntur muri Hierusalem. Ibi autem sede posita, Mausolaeum sibi regium extruxit: et naturae cedens, ibidem sepulta est. Moritura autem juravit, se extra crimen esse, de quo Paulini causa accusata fuerat.

Erat autem Theodosius Imperator doctrina insigniter instructus, populoque suo universo Senatuique summe charus. Eo autem et Valentiniano Imperantibus, Attilas quidam, Gepidum ex genere oriundus, contra Romam et Constantinopolim etiam, exercitum myriadum multarum secum duxit. Hic, per Legatum suum Gothum, Valentiniano, Romae imperanti, edixit: *Imperat tibi per me Dominus meus et Dominus tuus*, Attilas, *uti Palatium tuum sibi paratum efficias.* Eadem plane verba Theodosio etiam Imperatori, Constantinopoli denuncianda, Legato cuidam Gotho demandavit. Caeterum Aëtius, princeps Senatus Romani, ubi hanc tam insani mandati Attilae audaciam intolerandam audisset, profectus in Galliam, ad Alarichum, Romanorum hostem, in belli societatem adversus Attilam, qui plurimas Romani Imperii urbes vastaverat, hortando adduxit. Hi itaque, junctis copiis, Attilam ex improviso, ad Danubium castra ponentem, adorti, millia multa de exercitu ejus exciderunt. Alarichus au-

σεν. ὡσαύτως δὲ καὶ ὁ Ἀττιλᾶς ἐτελεύτησε καταφορᾷ αἵματος διὰ τῶν ῥινῶν ἐνεχθείσῃ νυκτός, μετὰ Οὔννας παλλακίδος αὐτοῦ καθεύδων· ἥτις κόρη καὶ ὑπενοήθη ὅτι αὐτὴ αὐτὸν ἀνεῖλε. πε- O 60
ρὶ οὗ πολέμου συνεγράψατο ὁ σοφώτατος Πρίσκος ὁ Θρᾷξ. ἕτε- E
ροι δὲ συνεγράψαντο ὅτι Ἀέτιος ὁ πατρίκιος τὸν σπαθάριον αὐτοῦ ὑπενόθευσε, καὶ αὐτὸς κεντήσας ἀνεῖλεν αὐτόν· καὶ ὑπέστρεψεν ἐν Ῥώμῃ ὁ πατρίκιος Ἀέτιος νικήσας.

Ὁ δὲ βασιλεὺς Θεοδόσιος ἐν τοῖς αὐτοῖς χρόνοις ἔκτισε τὴν μεγάλην ἐκκλησίαν ἐν Ἀλεξανδρείᾳ· ἥτις λέγεται ἕως τοῦ νῦν V 23
ἡ Θεοδοσίου· ἐφίλει γὰρ Κύριλλον τὸν ἐπίσκοπον Ἀλεξανδρείας.

Κατ' ἐκεῖνον δὲ τὸν καιρὸν παῤῥησίαν λαβόντες ὑπὸ τοῦ ἐπισκόπου οἱ Ἀλεξανδρεῖς ἔκαυσαν φρυγάνοις αὐθεντήσαντες Ὑπατίαν τὴν περιβόητον φιλόσοφον, περὶ ἧς μεγάλα ἐφέρετο· ἦν δὲ παλαιὰ γυνή. ἐν δὲ τῇ αὐτοῦ βασιλείᾳ ἔπαθεν ὑπὸ θεομηνίας ἡ Κρήτη νῆσος, ἥτις εἶχεν ἐν μέσῳ θαλάσσης ὑπαρχούσας πόλεις ἑκατόν, καθὼς περὶ τῆς αὐτῆς νήσου ἐξέθετο ὁ σοφώτατος O 61
Εὐριπίδης. ἔπαθε δὲ καὶ πᾶσα ἡ περίχωρος αὐτῆς. ἔπεσε δὲ ἐν τῇ αὐτῇ Κρήτῃ τὸ δημόσιον τῆς μητροπόλεως Γορτύνης τὸ κτισθὲν ὑπὸ τοῦ Καίσαρος Ἰουλίου, ἔχον ἰδιάζοντα θόλα ιβ', καὶ ἐν ἑκάστῳ μηνὶ μία διοίκησις θόλων παρεῖχεν. ἦν δὲ τὸ B

2. ἐνεχθείσῃ Ch., ἐνεχθεῖσα Ox. 13. Ὑπατείαν Ox. 18. Εὐριπίδης] Cretensium fabulae verba Κρήτης ἑκατομπτολιέθρου respicit. Quod notare poterat Bentleius p. 23. 43.

tem, in congressu ipso, ictu sagittae vulneratus interiit. Similiter quoque Attilas, cum Hunna pellice concumbens, sanguinis fluxu, ex naribus per noctem prorumpente, mortuus est, a pellice ista, uti vulgo credebatur, e medio sublatus. De hoc bello scripsit sapientissimus Priscus Thrax. Alii autem tradiderunt, Attilae spatharium, ab Aëtio Patricio corruptum, Dominum suum confodisse; atque ita Aëtium, victoria potitum, Romam rediisse.

Iisdem temporibus Theodosius Ecclesiam magnam Alexandriae extruxit; quae Theodosii usque adhuc vocatur Ecclesia: Cyrillum enim, Episcopum Alexandrinum, summo prosecutus est amore.

Circa eadem haec tempora Alexandrini, Episcopo suo freti, licentiam quidvis agendi sibi sumentes, Hypatiam, matronam grandaevam, Philosopham insignem, omniumque ore celebratissimam, vivam cremiis combusserunt. Hujus etiam sub imperio divinam iram passa est Creta insula, quae centum in medio mari positas urbes habuit; uti de hac olim insula cecinit sapientissimus Euripides. Sed et quodcunque ei in circuitu terrarum adjacebat, conquassatum est; corruente quoque eodem tempore Balneo Publico, quod Cretensibus in Gortyna Metropoli extruxerat Julius Caesar. Balnei hujus unicum licet esset aedificium, duodecim tamen Tho-

δημόσιον τέλειον, ὑπὸ δὲ ἑνὸς καμινίου μόνου τὰ δώδεκα θόλα ὑπεκαίοντο· καὶ ἦν ἰδεῖν ξένον θέαμα. καὶ ἀνήγειρεν ἐξ αὐτῶν ὁ βασιλεὺς Θεοδόσιος, ὅ ἐστι δύο σχήματα τοῦ δημοσίου, θερινοῦ καὶ χειμερινοῦ, τῶν κτητόρων τῆς αὐτῆς πόλεως αἰτησάντων αὐτόν. παρέσχε δὲ καὶ λόγῳ κτισμάτων ὑπὲρ τῆς πόλεως καὶ χώρας πολλά.

Ἔκτισε δὲ καὶ ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ βασιλικὴν διάφωτον μεγάλην, πάνυ εὐπρεπῆ, κατέναντι οὖσαν τῶν λεγομένων Ἄθλων, ἥντινα οἱ Ἀντιοχεῖς καλοῦσι τὴν Ἀνατολίου, διότι Ἀνατόλιος
C στρατηλάτης ἐπέστη τῷ κτίσματι, λαβὼν τὰ χρήματα ἀπὸ τοῦ βασιλέως, ὅτε ἐγένετο παρ' αὐτοῦ στρατηλάτης ἀνατολῆς· διὰ τοῦτο καὶ ὅτε ἐπλήρωσε τὸ αὐτὸ ἔργον τῆς βασιλικῆς, ἐπέγραψεν ἐν αὐτῇ διὰ χρυσέου μουσαρίου ταῦτα· Ἔργον Θεοδοσίου βα-
O 62 σιλέως· ὥσπερ ἄξιον. ἐπάνω δὲ ἦσαν βασιλεῖς δύο Θεοδόσιος καὶ ὁ συγγενὴς αὐτοῦ Βαλεντινιανὸς ὁ ἐν Ῥώμῃ βασιλεύων. ὁ δὲ αὐτὸς Θεοδόσιος ἐχρύσωσε καὶ τῆς Δαφνητικῆς πόρτας δύο θύρας τὰς χαλκᾶς καθ' ὁμοιότητα ἧς ἐχρύσωσε πόρτας ἐν Κωνσταντινουπόλει, ἥτις καλεῖται ἕως ἄρτι ἡ χρυσέα πόρτα· ὁμοίως δὲ καὶ ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ καλεῖται ἕως τῆς νῦν ἡ χρυσέα πόρτα, χρυσωθεῖσα διὰ Νυμφιδιανοῦ ὑπατικοῦ. ἐν ᾧ χρόνῳ
D ἀπηγγέλθη ὁ θάνατος Βαλεντινιανοῦ βασιλέως Ῥώμης, σφαγέντος ὑπὸ Μαξίμου συγκλητικοῦ καὶ κρατήσαντος καὶ βασιλεύσαντος ἐν Ῥώμῃ.

los distinctos, ad singulorum mensium usum destinatos singulos, unica tamen fornace (mirum spectatu) universos calefactos, intra se continebat. Horum vero Tholorum sex, in utriusque lavationis, hybernae scilicet et aestivae usum, petentibus civitatis ejusdem primoribus, reaedificavit Theodosius Imperator. Plurima etiam eidem urbi insulaeque resarciendae ultro largitus est.

Extruxit etiam Imperator Antiochiae magnae Basilicam, e regione loci Athlorum vocati, ingentem illam et splendidissimam praelucidamque: quam et Antiocheni Anatolii Basilicam vocant. Anatolius enim, Magister militum Orientis ab Imperatore constitutus, acceptis ab eo pecuniis, aedificium hoc urgebat operi praepositus: cui etiam ad exitum perducto, inscribi curavit, (nec immerito) artificio musivario inaurato; *Opus Theodosii Imperatoris.* Desuper autem collocabantur Imperatores ambo, Theodosius, et cognatus ejus, Valentinianus, qui Romae regnavit. Idem Theodosius Daphneticae Portae valuas aereas auro superinduxit, ad instar ejus, quae Constantinopoli ab ipso deaurata, *Aurea* adhuc Porta vocatur: quo nomine etiam appellatur haec Antiochena, ad hunc usque diem, quam auro etiam obduxit, curante hoc ei Nymphidiano, viro Consulari: quo tempore etiam nuncium allatum fuit, Maximum Senatorem, occiso rege Valentiniano, Occidentis imperium invasisse.

Ὁ δὲ αὐτὸς Θεοδόσιος βασιλεὺς ἐποίησε κακῶς Ἀντιόχῳ τῷ πραιποσίτῳ καὶ πατρικίῳ, δυναμένῳ ἐν τῷ παλατίῳ καὶ κρατήσαντι τῶν πραγμάτων. ἦν γὰρ καὶ ἀναθρεψάμενος τὸν αὐτὸν Θεοδόσιον ἐν τῇ ζωῇ τοῦ αὐτοῦ πατρός, ὡς κουβικουλάριος καὶ διοικῶν ἀπὸ τοῦ αὐτοῦ πατρὸς Ἀρκαδίου τὴν πολιτείαν Ῥωμαίων. καὶ ἔμεινε μετὰ τὸ πληρῶσαι αὐτόν, ὡς πατρίκιος καταυθεντῶν τοῦ αὐτοῦ Θεοδοσίου. καὶ ἀγανακτήσας κατ' αὐτοῦ ἐδήμευσεν αὐτὸν καὶ κουρεύσας ἐποίησε παπᾶν τῆς μεγάλης ἐκκλησίας O 63 Κωνσταντινουπόλεως, ποιήσας διάταξιν μὴ εἰσέρχεσθαι E εἰς ἀξίας συγκλητικῶν ἢ πατρικίων τοὺς εὐνούχους κουβικουλαρίους μετὰ τὸ πλήρωμα τῆς αὐτῶν στρατείας, τοῦτ' ἐστὶ τοὺς ἀπὸ πραιποσίτων παλατίου. καὶ ἐτελεύτα ὁ αὐτὸς Ἀντίοχος, ὢν πρεσβύτερος.

Ὁ δὲ αὐτὸς βασιλεὺς προεβάλετο ἔπαρχον πραιτωρίων καὶ ἔπαρχον πόλεως τὸν πατρίκιον Κῦρον, τὸν φιλόσοφον, ἄνδρα V 24 σοφώτατον ἐν πᾶσι. καὶ ἦρξεν ἔχων τὰς δύο ἀρχὰς ἔτη τέσσαρα, προϊὼν εἰς τὴν καροῦχαν τοῦ ἐπάρχου τῆς πόλεως καὶ φροντίζων τῶν κτισμάτων καὶ ἀνανεώσας πᾶσαν Κωνσταντινούπολιν· ἦν γὰρ καθαριώτατος. περὶ οὗ ἔκραξαν οἱ Βυζάντιοι εἰς τὸ ἱππικὸν πᾶσαν τὴν ἡμέραν θεωροῦντος Θεοδοσίου ταῦτα. Κωνσταντῖνος ἔκτισε, Κῦρος ἀνενέωσεν· αὐτὸν ἐπὶ τόπον, Αὔγουστε. Κῦρος δὲ ἐκπλαγεὶς ἀπεφθέγξατο, Οὐκ ἀρέσκει μοι τύχη πολλὰ O 64

Imperator autem Theodosius Antiochum Praepositum, virum Patricium, qui in Palatio plurimum potuit, et omnia pro arbitrio suo ibi disposuit, pessime tractavit. Hic enim, Cubicularius cum fuerit, Theodosium, a Patre ejus adhuc vivente enutriendum, ipsumque adeo Imperium administrandum acceperat. Quin et Patricia fretus dignitate, in Theodosium jam adultum, licentiam suam exercere non desiit. Imperator vero haec in eo minime ferens, bona ejus publicavit, comaque detonsa, magnae Ecclesiae Constantinopolitanae clericum fecit. Quin et Legem quoque tulit, qua cautum est, nequis in posterum ex Cubiculariis Eunuchis, post militiam hanc exactam in Praepositum Palatii factus, ad Senatoriam vel Patriciam dignitatem eveheretur. At vero Antiochus paulo post moritur, senio confectus.

Imperator autem Praetorio Urbique Praefectum constituit Cyrum Patricium, virum Philosophum et in omnibus solertissimum: qui et munus utrumque per quadriennium integrum obivit; carrucaque vectus Praefectoria, aedificiorum per urbem omnium curam suscepit; ipsamque adeo Constantinopolim omnem de integro renovavit: decoris enim erat studiosissimus. Itaque etiam de eo Byzantini, per totam diem acclamantes, ista in Circo extulerunt: *Constantinus extruxit, Cyrus instauravit:* Imperatore ipso Ludos interim spectante. At vero Cyrus, super his attonitus, sententiam istam protulit: *Displicet Fortuna nimis blanda.* Impe-

γελῶσα. καὶ ἐχόλεσεν ὁ βασιλεὺς, ὅτι ἔκραξαν περὶ Κύρου καὶ μετὰ Κωνσταντίνου αὐτὸν ἔκραξαν, ὡς ἀνανεώσαντα τὴν πόλιν· καὶ κατεσκευάσθη λοιπὸν καὶ ἐπλάκη ὡς Ἕλλην ὁ αὐτὸς Κῦρος, B *καὶ ἐδημεύθη παυθεὶς τῆς ἀρχῆς. καὶ προσφυγὼν ἐγένετο καὶ αὐτὸς παπᾶς, καὶ ἐπέμφθη εἰς τὴν Φρυγίαν, ἐπίσκοπος γενάμενος εἰς τὸ λεγόμενον Κοτυάειον. ἦσαν γὰρ οἱ αὐτοὶ Κοτυαεῖς πολῖται φονεύσαντες ἐπισκόπους τέσσαρας· τὸ δὲ Κοτυάειον πόλις ἐστὶ τῆς Φρυγίας ἐπαρχίας Σαλουταρίας. καὶ κατέλαβε τὴν Κοτυαέων πόλιν ἐπίσκοπος ὢν ὁ αὐτὸς Κῦρος πρὸ τῶν ἁγίων γενεθλίων. γνόντες δὲ οἱ τῆς πόλεως κληρικοὶ καὶ πολῖται ὅτι ὡς Ἕλληνα ἔπεμψεν αὐτὸν ὁ βασιλεὺς, ἵνα ἀποθάνῃ, ἐν τοῖς ἁγίοις γενεθλίοις ἐξαίφνης οὖν ἐν τῇ ἐκκλησίᾳ ἔκραξαν αὐτῷ προσομιλῆσαι. καὶ ἀναγκασθεὶς ἀνῆλθεν ὁμιλῆσαι· καὶ μετὰ τοῦ* O 65 *δοῦναι εἰρήνην προσωμίλησεν οὕτως. Ἀδελφοί, ἡ γέννησις τοῦ* C *θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ σιωπῇ τιμάσθω, ὅτι ἀκοῇ μόνῃ συνελήφθη ἐν τῇ ἁγίᾳ παρθένῳ λόγῳ. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν. καὶ εὐφημηθεὶς κατῆλθε, καὶ ἔμεινεν ἐκεῖ ἕως θανάτου. καὶ προηγάγετο ἔπαρχον Ἀντίοχον τὸν Χούζωνα, τὸν ἔγγονον Ἀντιόχου τοῦ Χούζωνος τοῦ μεγάλου, ὃς παρέσχεν ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ προσθήκην χρημάτων εἰς τὸ ἱππικὸν καὶ τὰ Ὀλύμπια καὶ τὸν Μαϊουμᾶν. καὶ μετ᾽ αὐτὸν*

6. *Κοτιαεῖς* Ox. 13. *τοῦ*] *τὸ* Chron. p. 318. C. 16. *συνελήφθη ἐν τῇ ἁγίᾳ παρθένῳ λόγῳ*] „Lego, *λόγος*, sive potius, *ὁ λόγος*. Chr. Alex. habet, *συνελήφθη ε. τ. α. παρθένῳ· λόγος γὰρ ἦν. αὐτῷ ἡ δόξα* etc." Ch.

rator autem iratus ad haec, Cyrumque, urbis Instauratorem, pari acclamantium plausu cum Constantino celebrari dedignatus; eum, tanquam Graecum hominem, religionis postulavit: et honoribus omnibus exutum, bonis etiam publicatis, ipsum asylum petentem comprehendit, clericumque fieri coëgit. In Phrygiam deinde Episcopus, ad Cotyaeum, Phrygiae Salutaris urbem, missus est: cujus urbis incolae quatuor jamjam Episcopos suos e medio sustulerant. Instabant tum Sancti Natales, cum Cyrus Episcopus Cotyaeum advenit. Clerus autem, populusque Cotyaeensis, probe scientes Cyrum Episcopum eo ab Imperatore missum ideo, uti tanquam Graecus homo interficeretur, ipso Genethliorum die derepente omnes in Ecclesia voce alta exclamantes, concionem ab eo fieri petiverunt. Coactus itaque ab eis, in Concionem ascendit: et pacem prius populo precatus, hujusmodi ad eos Concionem habuit. *Fratres, Natales Dei, et Salvatoris nostri Jesu Christi, par est, uti silentio recolantur; eo quod, auditu solo, in Sancta Virgine, conceptum est Verbum. Cui sit gloria, in saecula saeculorum, Amen.* Omnium deinde plausibus acceptus, descendit; ibique ad mortem usque remansit. Praefectus autem constitutus est Antiochus Chuzon, magni Antiochi Chuzonis, qui Antiochenis in auctarium pecunias dedit, sumptibus in Circensia, Olympia, et Majumae

προήχθη ἔπαρχος Ῥουφῖνος ὁ συγγενὴς τοῦ αὐτοῦ βασιλέως· καὶ ἐφονεύθη, ὡς μελετήσας τυραννίδα.

Ὁ δὲ αὐτὸς βασιλεὺς Θεοδόσιος ἐφίλει ἔρωτι Χρυσάφιον τὸν κουβικουλάριον, τὸν λεγόμενον Ζτομμᾶν, ὡς πάνυ εὐπρεπῆ D *ὄντα· καὶ παρεῖχεν αὐτῷ πολλὰ ὅσα ἂν ᾐτήσατο αὐτόν, καὶ εἶχε παῤῥησίαν πρὸς αὐτόν, καὶ κατῆρχε πάντων τῶν πραγμάτων καὶ ἥρπαζε πάντα· ἦν γὰρ πάτρων καὶ προστάτης τῶν Πρασίνων.*

Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας ἔπαθεν ὑπὸ θεομηνίας Νικομήδεια, μητρόπολις τῆς Βιθυνίας, τὸ πέμπτον αὐτῆς πάθος ἑσπέρας O 66 *βαθείας καὶ ἀπώλετο εἰς γῆν καὶ εἰς θάλασσαν καταποντισθεῖσα. καὶ πολλὰ ἔκτισεν ἐκεῖ καὶ τὰ δημόσια καὶ τοὺς ἐμβόλους καὶ τὸν λιμένα καὶ τὰ θεώρια καὶ τὸ μαρτύριον τοῦ ἁγίου Ἀνθίμου καὶ πάσας τὰς ἐκκλησίας αὐτῆς.*

Ἐπὶ δὲ τῆς βασιλείας αὐτοῦ παρέλαβον οἱ Ἴσαυροι λησταρχοῦντες E *Σελεύκειαν τῆς Συρίας μηνὶ περιτίῳ, ἐπὶ τῆς ὑπατείας τοῦ αὐτοῦ Θεοδοσίου καὶ Ῥομορίδου· καὶ ἐπραίδευσαν καὶ ἔστρεψαν τὴν χώραν ἐλθόντες διὰ τῶν ὀρέων· καὶ πάντα λαβόντες ὑπέστρεψαν εἰς τὴν Ἰσαυρίαν.*

Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας ἔπαθεν ὑπὸ θεομηνίας πρώτοις Κωνσταντινούπολις ὑπὸ σεισμοῦ μηνὶ ἰανουαρίῳ κς′ ἐν νυκτὶ V 25 *ἀπὸ τῶν λεγομένων Τρῳαδησίων ἐμβόλων ἕως τοῦ χαλκοῦ τετρα-*

21. *Ἰαννουαρίῳ* Ox. 22. *Τρῳαδησίων* Chron. p. 318. D, *Τροαδησίων* Ox. *ibid.* *ἐμβόλων* cum eodem Ch., *συμβόλων* Ox.

festum faciendis, nepos. Post hunc Imperator Praefectum constituit Rufinum, cognatum suum: qui imperium sibi arripere tentans, interfectus est.

Adamavit autem Theodosius Chrysaphium quendam, Cubicularium, cognomento Ztummam: egregia enim forma praeditus erat. Huic plurima largitus est, nihilque ei non indulsit: tantumque apud Imperatorem potuit, ut cujusque bona arripiens sibi, pro arbitrio suo omnia agitaret. Prasinae quoque Factionis Patrocinium susceperat.

Hujus sub imperio Nicomedia, Bithyniae Metropolis, quintam coelestis irae vicissitudinem perpessa est nocte intempesta, eversa funditus et mari obruta. Plurima itaque ibi extruxit, Balnea, Porticus, Portum, Theoria: Sancti item Anthimi Martyrium caeterasque Ecclesias omnes denuo excitavit.

Eodem Imperante ab Isauria praedones, per montes viam capessentes, Seleuciam Syriae vi occupatam spoliarunt; regioneque tota devastata, abreptisque omnibus, Isauriam suam repetierunt. Factum hoc Februario mense, Theodosio ipso et Romorido Coss.

Hujus sub imperio Constantinopolis divinam iram primum experta est, Januarii xxvi, nocturno tempore; a Troadensibus, quas vocant, Porticibus, adusque Tetrapylum aereum terrae tremoribus concussa. Impe-

πύλον. ὅστις βασιλεὺς ἐλιτάνευσε μετὰ τῆς συγκλήτου καὶ τοῦ
ὄχλου καὶ τοῦ κλήρου ἀνυπόδητος ἐπὶ ἡμέρας πολλάς.
Ἐν αὐτῷ δὲ τῷ χρόνῳ ἦλθε πολεμῶν Ῥωμαίοις Βλάσσης, βα-
O 67 σιλεὺς Περσῶν· καὶ γνοὺς ὁ βασιλεὺς Ῥωμαίων ἐποίησε στρατη-
λάτην ἀνατολῆς τὸν πατρίκιον Προκόπιον καὶ ἔπεμψεν αὐτὸν με-
τὰ ἐξπεδίτου πολεμῆσαι. μέλλοντος δὲ αὐτοῦ συμβάλλειν ἐδή-
λωσεν αὐτῷ ὁ βασιλεὺς Περσῶν ὅτι Εἰ ἔχει τὸ ἐξπέδιτόν σου ὅλον
ἄνδρα δυνάμενον μονομαχῆσαι καὶ νικῆσαι ἕνα Πέρσην προβαλ-
B λόμενον παρ᾽ ἐμοῦ, εὐθέως ποιῶ τὰ πάκτα τῆς εἰρήνης ἐπὶ ἔτη ν′
καὶ τὰ ἐξ ἔθους παρεχόμενα δῶρα. καὶ τούτων δοξάντων προε-
βάλετο ὁ βασιλεὺς Περσῶν ἐκ τοῦ τάγματος τῶν λεγομένων
ἀθανάτων Πέρσην ὀνόματι Ἀρδαζάνην, οἱ δὲ Ῥωμαῖοι Ἀρεόβιν-
δόν τινα Γότθον, κόμητα φοιδεράτων. καὶ ἐξῆλθον οἱ δύο ἔφιπ-
O 68 ποι καὶ ἔνοπλοι. ὁ δὲ Ἀρεόβινδος ἐβάσταζε καὶ σωκάρην κατὰ
τὸ Γοτθικὸν ἔθος. πρῶτος δὲ ὁ Πέρσης ὥρμησε μετὰ τοῦ κον-
O 69 τοῦ· καὶ πλαγιάσας ὁ Ἀρεόβινδος ἐπὶ τὸ δεξιὸν αὐτοῦ μέρος
ἐσόκκευσεν αὐτόν, καὶ κατενεγκὼν ἐκ τοῦ ἵππου ἔσφαξε. καὶ
λοιπὸν ὁ βασιλεὺς Περσῶν ἐποίησε πάκτα εἰρήνης· καὶ ἀνελθὼν
μετὰ τὴν νίκην ὁ αὐτὸς Ἀρεόβινδος ἐν Κωνσταντινουπόλει σὺν
C τῷ στρατηλάτῃ Προκοπίῳ καὶ εὐχαριστηθεὶς παρὰ τοῦ βασιλέως
προήχθη ὕπατος.

Ὁ αὐτὸς δὲ βασιλεὺς ἐποίησεν ἐπαρχίαν, ἀπομερίσας ἀπὸ

15. κόντου Ox.

rator itaque, cum Senatu populoque et clero universo, nudus pedes, per dies multos Deum precibus propitiatus est.

Circa idem tempus, Persarum Rex Blasses adversus Romanos arma movit. Quo audito, Imperator Procopium Patricium, magistrum militum Orientis constitutum, contra Persam cum exercitu misit. Cumque jam praelium initurus erat, Rex Persarum illi denunciavit his verbis: „Si modo per totum exercitum tuum inveniri possit, qui Persam, quem Ego in certamen daturus sum, praelio singulari devicerit, Ego protinus pacis conditiones in annos L vobis daturus sum et pro more munera.“ Cumque de hoc utrinque conventum fuisset, Persa ex suis quendam produxit, nomine Ardazanem, ex cohorte quam vocant *Immortalium;* cui Romani opposuerunt Areobindum quendam Gothum, comitem Foederatorum. Hi itaque duo armati, et equis insidentes, egressi sunt: Areobindo, pro more gentis suae, socarem ferente. Prior autem Persa Gothum conto petit: cujus ictum Areobindus, corpore dextrorsum obliquato, declinans, ipsum laqueo implicavit, ex equoque deturbatum, interfecit. Tum vero Rex Persarum pacis conditiones dedit. Areobindus autem, post partam victoriam, Constantinopolim rediens cum Procopio Militum magistro, qualem promeruit ab Imperatore gratiam reportavit, ad Consularem dignitatem provectus.

Idem Imperator Lyciam a Lycaonia dirimens, Provinciam fecit; da-

τῆς Λυκαονίας, ἥντινα ἐκάλεσε Λυκίαν, δοὺς δίκαιον μητροπόλεως καὶ ἄρχοντα τῇ λεγομένῃ πόλει Μύρᾳ τῆς αὐτῆς Λυκίας, ἔνθα ἐστὶ θεοῦ μυστήριον πῦρ αὐτόματον. ὁμοίως δὲ ὁ αὐτὸς βασιλεὺς καὶ Συρίαν δευτέραν ἀπομερίσας ἀπὸ τῆς πρώτης ἐπαρχίας, δοὺς δίκαιον μητροπόλεως καὶ ἄρχοντα τῇ Ἀπαμείᾳ τῇ πόλει, καὶ Κιλικίαν δευτέραν ἀπομερίσας ἀπὸ τῆς πρώτης ἐποίησεν ἐπαρχίαν, δοὺς δίκαιον μητροπόλεως καὶ ἄρχοντα Ἀναζάρβῳ τῇ πόλει. ἐποίησε δὲ καὶ ἄλλην ἐπαρχίαν, ἀπομερίσας ἀπὸ τῆς Βιθυνίας, ἥντινα ἐκάλεσεν Ὁνωριάδα εἰς ὄνομα τοῦ αὐ- D
τοῦ θείου Ὁνωρίου, δοὺς δίκαιον μητροπόλεως καὶ ἄρχοντα Ἡρακλείᾳ, πόλει τῆς Πόντου.

Ἐπὶ δὲ τῆς βασιλείας αὐτοῦ ἀκμὴν Νεστόριος ἤκμαζεν· ὅστις ἐπίσκοπος μετὰ ταῦτα ἐγένετο Κωνσταντινουπόλεως· καὶ ταρα- O 70
χῆς γενομένης ἐν τῷ ὁμιλεῖν αὐτόν, ἠναγκάσθη ὁ αὐτὸς Θεοδόσιος προσκαλέσασθαι τὴν σύνοδον τῶν σμʹ ἐπισκόπων ἐν Ἐφέσῳ κατὰ τοῦ αὐτοῦ Νεστορίου καὶ καθελεῖν αὐτὸν ἀπὸ τῆς ἐπισκοπῆς. ἡγεῖτο δὲ τῆς συνόδου Κύριλλος ὁ ἐπίσκοπος Ἀλεξανδρείας τῆς μεγάλης.

Ἐν αὐτῷ δὲ τῷ καιρῷ ἐν τῇ Ῥώμῃ διάγουσα ἡ δέσποινα Εὐδοξία, γενομένη χήρα, γυνὴ Βαλεντινιανοῦ βασιλέως, θυγάτηρ E
δὲ Θεοδοσίου βασιλέως καὶ Εὐδοκίας, λυπουμένη κατὰ Μαξίμου τοῦ τυράννου τοῦ φονεύσαντος τὸν ἄνδρα αὐτῆς καὶ βασιλεύσαντος, προετρέψατο δὲ Ζινζίριχον τὸν Οὐάνδαλον, τὸν ῥῆγα τῆς Ἀφρικῆς, ἐλθεῖν κατὰ Μαξίμου, βασιλέως τῆς Ῥώμης. ὅστις

2. Μύρᾳ] τὰ Μύρα vocat ipse p. 36. C. 21. λυπουμένη Ch., λυπουμένης Ox. 23. „δὲ omnino redundat.“ Ch.

tis Praefecto et Metropolis jure Myrae, urbi Lyciae: ubi et divinum est Miraculum, ignis sponte e terra erumpentis. Idem etiam Syriam secundam a prima sejungens, in Provinciam fecit; Apamiae Praefecto et jure Metropolitico concessis. Ciliciam praeterea secundam a prima dirimens, Provinciam fecit; urbe Anazarbo, Metropolitico jure et Praefecto donata. Bithyniae quoque partem abscindens, Provinciam fecit; quam, a patrui nomine, Honoriadem appellavit: cujus etiam primariam urbem, Heracleam Ponti Praefecto jureque Metropolitico donavit.

Imperante autem Zenone, secundas divinae irae vices perpessa est Constantinopolis; parva urbis parte, ad Taurum usque, terrae tremoribus concussa. Quo tempore etiam sexta vice passa est Nicomedia, Bithyniae Metropolis; Hellenopolis etiam, ejusdem Provinciae urbs. Quibus instaurandis Imperator plurima largitus est.

Iisdem temporibus adversus Imperatorem insurgebat Illus Patricius, Isaurus natione, Imperatoris etiam amicus, quique eum ex Isauria, quo confugerat Imperator, Constantinopolim reduxerat. Quo ubi cum Imperatore advenisset, consiliis invicem communicatis, Zenonem fidenter hortatus est Illus, uti Socrum suam ex urbe ejiceret; ne deinceps ei, ut antea insidiaretur. Imperator itaque Illum in Isauriam remisit, uti Longinum fratrem suum inde abduceret. Descendens itaque Illus in Isauriam, commorabatur ibi; Imperatori interim rescribens, velle se per Verinam Augustam, Zenonis Imperatoris socrum, Libellum Indemnitatis a Zenone Imperatore, a quo metuebat sibi, accipere. Suadebat itaque Zeno Veri-

τοῦ αὐτοῦ Ζήνωνος βασιλέως, ὡς φοβούμενος τὸν βασιλέα Ζή-
νωνα. καὶ ἔπεισε τὴν αὐτὴν δέσποιναν Βηρῖναν ὁ βασιλεὺς Ζή-
C νων, ὁ γαμβρὸς αὐτῆς, κατὰ τὰ δόξαντα μεταξὺ Ἰλλοῦ καὶ τοῦ
αὐτοῦ Ζήνωνος, ὥστε κατελθεῖν καὶ δοῦναι Ἰλλοῦ λόγον ἀπα-
θείας, ὡς φοβουμένου Ζήνωνα, καὶ ἀνενέγκαι αὐτὸν καὶ τὸν
ἀδελφὸν αὐτοῦ Λογγῖνον. καὶ κατῆλθεν ἡ αὐτὴ Βηρῖνα εἰς τὴν
Ἰσαυρίαν· καὶ δεξάμενος αὐτὴν Ἰλλοῦς ἀπέκλεισεν εἰς καστέλ-
λιον ἐν τῇ Ἰσαυρίᾳ ἔχον βοήθειαν πολλήν, καὶ κελεύσας αὐτὴν
διὰ στρατιωτῶν φυλάττεσθαι, καὶ λαβὼν Λογγῖνον τὸν ἀδελ-
φὸν τοῦ βασιλέως, ἀνῆλθεν ἐν Κωνσταντινουπόλει. καὶ ἐγένε-
το ὁ αὐτὸς Ἰλλοῦς συγκλητικὸς καὶ ὕπατος καὶ μάγιστρος καὶ
πατρίκιος, διοικῶν τὴν πᾶσαν πολιτείαν. ὁμοίως δὲ καὶ ὁ Λογ-
D O 98 γῖνος ὁ ἀδελφὸς τοῦ βασιλέως ἐγένετο στρατηλάτης πραισέν-
του καὶ ὕπατος· καὶ παρέσχεν εἰς τὰ τέσσαρα μέρη Κωνσταντι-
νουπόλεως ὀρχηστὰς ἐμμάλους μικροὺς τέσσαρας· ἦσαν γὰρ οἱ
ὀρχούμενοι ἐν Κωνσταντινουπόλει εὔφημοι παλαιοί, καὶ ἐποίησεν
αὐτοὺς λῦσαι, πολλὰ χαρισάμενος αὐτοῖς. ἔδωκε δὲ τοῖς Πρασί-
νοις ἔμμαλον τὸν Αὐτοκύονα τὸν λεγόμενον Καράμαλλον ἀπὸ
Ἀλεξανδρείας τῆς μεγάλης, καὶ τὸν Ῥόδον τὸν λεγόμενον Χρυ-
O 99 σόμαλλον, καὶ αὐτὸν Ἀλεξανδρέα, εἰς τὸ Βένετον, καὶ Ἑλλάδιον
τὸν ἀπὸ Ἐμέζτης τῆς πόλεως εἰς τὸ Ῥούσιον μέρος· ἔδωκε δὲ καὶ
τὸν λεγόμενον Μαργαρίτην τὸν Κατζάμυν τὸν ἀπὸ Κυζίκου ἐνεγ-
κὼν τοῖς Λευκοῖς. καὶ ἀπέθετο τὴν δευτέραν αὐτοῦ ὑπατείαν
Λογγῖνος.

8. ἔχον Ch., ἔχων Ox. 15. ὀρχιστὰς Ox.

nam Augustam socrum suam in ea de quibus ipse cum Illo consilium habuerat; nempe uti in Isauriam descendens, Illo Libellum Indemnitatis ab Imperatore, quem metuebat, concederet; simul etiam inde eum cum Longino, Zenonis fratre, abduceret. Verina itaque in Isauriam descendens, ab Illo accepta est: qui deinde eam in castrum quoddam Isauricum, a praesidio numeroso custoditum, inclusit. Ipse interim, accepto secum Longino, Imperatoris fratre, Constantinopolim revertitur. Porro autem Illus ad Senatoriam Patriciamque dignitatem evectus, Consul quoque factus et Magister, omnem ubique Remp. administravit. Longinus etiam, Imperatoris frater, Consul creatus est, et Praesentis Militiae Magister. Hic vero Constantinopolitanis quatuor Factionibus saltatores quatuor *Emmalos* minores distribuit: quippe qui tum fuerunt saltatores celebres, veterani admodum erant; quos largitionibus abunde donatos, liberos esse jussit. Prasinis vero Autocyonem quendam Alexandrinum dedit Emmalum, *Caramallum* vocatum: Venetis vero *Chrysomallum* dedit Rhodum quendam, et ipsum Alexandrinum: Russatis vero Helladium quendam Emisenum: Albatis denique *Margaritam* quem vocant, Catzamyn dedit quendam, Cyzicenum. Tum vero Longinus Consulatum suum secundum deposuit.

Ἡ δὲ βασίλισσα Ἀριάδνη ἡ τοῦ αὐτοῦ Ζήνωνος γυνὴ δε-
ξαμένη παρὰ τῆς ἰδίας αὐτῆς μητρὸς γράμματα λάθρα καὶ παρε- E
κάλεσε τὸν βασιλέα Ζήνωνα ἵνα ἀπολυθῇ ἀπὸ καστελλίου, ὅπου
ἦν ἀποκεκλεισμένη ἡ δέσποινα Βηρῖνα. καὶ εἶπεν αὐτῇ ὁ βασι-
λεὺς Ζήνων ἵνα αἰτήσῃ τὸν πατρίκιον Ἰλλοῦν περὶ αὐτῆς. καὶ
μεταστειλαμένη ἡ βασίλισσα Ἀριάδνη Ἰλλοῦν ᾔτησεν αὐτὸν μετὰ
δακρύων διὰ τὴν αὐτῆς μητέρα Βηρῖναν ἵνα ἀπολυθῇ· καὶ οὐκ
ἐπείσθη Ἰλλοῦς, ἀλλὰ λέγει αὐτῇ, Τί αὐτὴν ζητεῖς; ἵνα ποιήσῃ
πάλιν ἄλλον βασιλέα κατὰ τοῦ σοῦ ἀνδρός; καὶ πάλιν εἶπεν ἡ V 36
Ἀριάδνη τῷ βασιλεῖ Ζήνωνι ὅτι Ἰλλοῦς ἐστιν εἰς τὸ παλάτιον ἢ
ἐγώ; καὶ λέγει αὐτῇ ὁ βασιλεὺς ὅτι Εἴ τι δύνῃ, πρᾶξον· ἐγώ σε
θέλω. καὶ λοιπὸν ἡ Ἀριάδνη κατεσκεύασε τοῦ φονεῦσαι τὸν Ἰλ-
λοῦν· καὶ ἱππικοῦ ἀγομένου, ὡς ἀνέρχεται διὰ τῶν πουλπιτῶν
ἐπὶ τὸ Δέκιμον, ἔκρουσεν αὐτῷ ὁ προτραπεὶς σχολάριος σπαθίῳ O 100
κατὰ τῆς κεφαλῆς, ὀνόματι Σποράκιος, βουλόμενος εἰς δύο αὐτὸν
κόψαι· καὶ εὑρέθη ὁ σπαθάριος τοῦ Ἰλλοῦ ἐγγύς, καὶ προσεσχη-
κὼς τὸ ξίφος κατερχόμενον τῇ δεξιᾷ αὐτοῦ χειρὶ ἐδέξατο· καὶ κα-
τελθοῦσα ἡ ἀρχὴ τοῦ ξίφους εἰς τὴν κεφαλὴν αὐτοῦ ἔκοψε τὸ
ὠτίον τοῦ αὐτοῦ Ἰλλοῦ τὸ δεξιόν· καὶ ἐσφάγη ὁ σχολάριος ἐπὶ τὸν B
τόπον. ὁ δὲ Ἰλλοῦς κουφισθεὶς ὑπὸ τῶν ἀνθρώπων αὐτοῦ ἀπη-
νέχθη εἰς τὸν ἴδιον αὐτοῦ οἶκον βασταζόμενος. ὁ δὲ Ζήνων
ἀκούσας ἐπωμόσατο λέγων ἀγνοεῖν τὴν κατὰ Ἰλλοῦν κατασκευήν,
καὶ οὐκ ἐπείσθη ὁ Ἰλλοῦς, ἀλλὰ ἔχων τὴν λύπην περιωδεύετο·

3. καστελλίου Ch., καστελίου Ox. 14. αὐτῷ] αὐτὸν Ch. 22. Ἰλλοῦν] Fort. Ἰλλοῦ.

Ariadna autem Imperatrix, Zenonis uxor, clam acceptis a matre literis, Imperatorem oravit, uti Verina Augusta Castello, ubi conclusa erat, eximeretur. Jubet eam Imperator, uti Patricium Illum super ea re interpellaret. Illum itaque accersitum Regina Ariadna lachrymans obsecravit, uti Verinam matrem suam liberaret. Verum Illus petentem aversatus, „Quare, inquit, Verinam tibi quaeris? an ut, sublato viro tuo, Imperatorem alium sufficiat?" Ariadna itaque Imperatorem rursus compellans; „Ergone, inquit, Illus iste, an Ego potius in Palatio dominor? Respondens ei Imperator, Age, dixit, si quid possis, quid moraris? Ego Tuus sum." Exinde igitur Ariadne Illo insidias struit: Circensibus autem celebratis, dum ad Decimum per Pulpita transiret Illus, Sporacius quidam Scholarius, ad hoc conductus, gladio caput ejus impetivit, animo eum per medium dissecandi. Illo autem Spatharius forte adstitit; qui supervenientem gladium animadvertens, dextra manu ictum ejus excepit: cujus tamen mucro, ipso in descensu ad Illi caput allisus, dextram ei aurem praecidit: Scholarius autem e vestigio interfectus est. At vero Illum satellites ejus, humeris suis levatum, domum deportabant. Imperator autem, his auditis, juravit se istarum in Illum insidiarum inscium esse: sed fidem ei Illus derogavit. Ex-

καὶ κάλλιον ἐσχηκὼς ἀπῆλθε πέραν, βουλόμενός τι πρᾶξαι· εἰς τέλειον δὲ ὑγιάνας ἔμεινεν ἔχων τῆς πληγῆς τὴν ὠτειλήν. καὶ εἰσελθὼν πρὸς τὸν βασιλέα Ζήνωνα ᾔτησεν αὐτὸν ἐπὶ τὴν ἀνατολὴν ἀπολυθῆναι πρὸς ὀλίγον χρόνον διὰ τὸ τοὺς ἀέρας, φησίν, ἀλλάξαι, ἐπειδὴ ἠσθένει ἀπὸ τῆς πληγῆς. ὁ δὲ βασιλεὺς Ζήνων C πεισθεὶς διεδέξατο αὐτὸν ἐκ τῆς ἀρχῆς τοῦ μαγίστρου καὶ ἐποίησεν αὐτὸν στρατηλάτην ἀνατολῆς, δοὺς αὐτῷ πᾶσαν ἐξουσίαν. καὶ αὐτὸς δὲ Ἰλλοῦς ᾔτησεν αὐτὸν λαβεῖν μεθ' ἑαυτοῦ πρὸς O 101 θεραπείαν τῆς Αὐγούστας τὸν πατρίκιον Λεόντιον τὸν Παυλίνης, εἰς τὸ δοῦναι αὐτῷ τὴν δέσποιναν Βηρῖναν τὴν μητέρα τῆς βασιλίσσης Ἀριάδνης, ἵνα ἀναγάγῃ αὐτὴν ἐν Κωνσταντινουπόλει. ᾔτησε δὲ τὸν βασιλέα ὁ αὐτὸς Ἰλλοῦς λαβεῖν καὶ ἄλλους συγκλητικοὺς πρὸς ἰδίαν ὑπόληψιν· καὶ παρέσχεν αὐτῷ. καὶ κατῆλθεν ὁ πατρίκιος Ἰλλοῦς, λαβὼν μεθ' ἑαυτοῦ τὸν πατρίκιον Λεόντιον καὶ τοὺς ἄλλους συγκλητικούς· καὶ κατῆλθεν ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ, ποιήσας ὀλίγον χρόνον, χαρισάμενος αὐτοῖς πολλὰ ἐξῆλθεν D ἐπὶ τὴν Ἰσαυρίαν· καὶ καταγαγὼν τὴν δέσποιναν Βηρῖναν ἀπὸ τοῦ καστελλίου ἐποίησεν αὐτὴν στέψαι βασιλέα εἰς τὸν ἅγιον Πέτρον ἔξω τῆς πόλεως Ταρσοῦ τῆς Κιλικίας τὸν πατρίκιον Λεόντιον, πείσας αὐτὸν στεφθῆναι, ὄντα ἄνδρα ἐλεύθερον. καὶ ἐποίησεν ἡ αὐτὴ Βηρῖνα θείας κελεύσεις κατὰ πόλιν καὶ σάκρας πρὸς τοὺς ἄρχοντας καὶ πρὸς τοὺς στρατιώτας ὥστε δέξασθαι

1. κάλλιον Ch., καλλίων Ox. 16. χαρισάμενος αὐτοῖς πολλὰ] „καὶ vel δὲ alicubi desiderari videtur." Ch.

inde itaque ei infensus, vindictam meditatus est: melius vero aliquanto sese habens, sinum trajecit, facinus aliquod patrandi animo. Ad extremum vero cum integer esset, et vulnus jam cicatrice obductum esset, Imperatorem adiit, in Orientem ad tempus aliquod secedendi licentiam impetrans: nempe ob aëris, ut ipse prae se ferebat, mutationem: nondum enim, dixit, satis se a vulnere revaluisse. Imperator autem votis annuens, Magistri eum munere liberavit, Militumque in Oriente Magistrum constituit, potestate ei omni concessa. Praeterea quoque Illus Leontium Patricium Paulinae F. dari sibi comitem petiit; nempe cui Verinam Augustam, Ariadnae Imperatricis matrem, traderet Constantinopolim deducendam. Quin et ab Imperatore etiam licentiam petivit, itineris comites alios, quos ipse voluit, ex Senatu delegendi: Hoc etiam ei concessit Imperator. Illus itaque, adjunctis sibi Leontio Patricio, aliisque ex Senatoribus, Antiochiam magnam contendit: ubi ad tempus exiguum commoratus, multaque civibus largitus, inde in Isauriam ducit iter. Ubi Verinam Augustam ex castro educens, statim hoc ei negotium dedit, uti Leontium Patricium (quem ad hoc, utpote virum liberum, adduxerat) Diademate insigniret. Quod et factum est, ad templum D. Petri, extra Tarsum Ciliciae situm. Quin et Verina, Edictis Imperatoriis *Sacrisque* ubique per Imperium emissis; a Praefectis undique et militibus postulavit, uti nihil

αὐτὸν καὶ μὴ ἐναντιωθῆναί τινα, γράψασα δὲ σάκραν ἔχουσαν
πολλὰ κακὰ περὶ Ζήνωνος. καὶ ἐβασίλευσεν ἐν Ἀντιοχείᾳ ὀλίγας
ἡμέρας.

Καὶ γνοὺς Ζήνων ὁ βασιλεὺς ἔπεμψε βοήθειαν πολλὴν καὶ
στρατηλάτην Ἰωάννην τὸν Σκύθην. καὶ ἀκούσας Λεόντιος καὶ E
Ἴλλους καὶ οἱ μετ' αὐτοῦ καὶ ἀνῆλθαν μετὰ Βηρίνης εἰς τὸ Παπῦ- O 102
ριν καστέλλιον· καὶ Βηρῖνα μὲν ἰδίῳ θανάτῳ τελευτᾷ. Παμπρέ-
πιος δέ τις ὡς προδότης μετ' αὐτῶν ὢν ἐσφάγη ἄνω καὶ ἐῤῥίφη
τὸ λείψανον αὐτοῦ εἰς τὰ ὄρη. Ἴλλους δὲ καὶ Λεόντιος φοσσευ-
θέντες παρελήφθησαν· καὶ πρόοδον δεδωκότες παρὰ τῷ ἄρχοντι
Σελευκείας τῆς Ἰσαυρίας ἀπὸ διαλαλιᾶς ἀπεκεφαλίσθησαν· καὶ αἱ
κεφαλαὶ αὐτῶν εἰσηνέχθησαν Ζήνωνι ἐν Κωνσταντινουπόλει εἰς
κοντὸν πεπηγμέναι· καὶ πολὺς ὄχλος ἀπῄει θεωρῶν αὐτάς· ἦσαν
γὰρ ἀπενεχθεῖσαι πέραν ἐν Σύκαις ἐπὶ τὸν ἅγιον Κόνωνα. V 37

Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας ἐβασίλευσε Περσῶν Περόζης·
πολλὰς δὲ ταραχὰς καὶ φόνους ἐν τῷ αὐτῷ καιρῷ ἐποίησαν οἱ
Πράσινοι ἐν Ἀντιοχείᾳ· ἐφόνευσαν γάρ, φησίν, Ἰουδαίους μη-
δενὸς φειδόμενοι. καὶ διεδέχθη ὁ τότε κόμης τῆς ἀνατολῆς Θεό-
δωρος ἀγανακτηθείς· καὶ εἰρήνευσαν τὰ δημοτικά. καὶ ἀνηνέ- O 103
χθη τῷ αὐτῷ βασιλεῖ Ζήνωνι τὸ γενόμενον ὑπὸ τῶν Πρασίνων
πρὸς τοὺς Ἰουδαίους ἀσέβημα· καὶ ἠγανάκτησε κατὰ τῶν Πρα-

6. Παπύρις Ox. 13. κόντον Ox. ibid. ἀπίει Ox. 15. Περοζῆς Ox.

obnitentes, Leontium Imperatorem suum agnoscerent. Sed et *Sacram* etiam quandam, opprobriis in Zenonem refertam, divulgavit. Paucis itaque diebus Antiochiae imperavit Leontius.

Imperator vero Zeno, his auditis, ingentem adversus eos exercitum emisit, sub ductu Joannis Scythae. Quod ubi Leontio, Illo, caeterisque eorum consciis, notum fuit; in Papyrium Castellum omnes, una cum Verina, se receperunt: Ubi Verina, naturae concedens, diem suum obiit. Pamprepius vero quidam, ob [Castelli] proditionem meditatam, in summa ejus parte occisus est, cadavere ejus in montes projecto. Illus vero et Leontius, obsidione cincti, capti sunt. Dumque in itinere sunt ad Seleuciae Isauriae Praefectum, ob maledicentiam suam capite multati sunt. Capita vero eorum, Constantinopolim delata, ad D. Cononem in opposito litore Syceno, turbis interim innumeris ad spectaculum concursitantibus, a Zenone contis affixa sunt.

Ejusdem sub Imperio Perozes Persis regnavit, quo tempore etiam Prasini tumultus Antiochiae maximos excitarunt, Judaeis ad unum omnibus internecioni datis. Quod in Theodoro Orientis Comite non ferens Imperator, eum dignitate exuit; Tumultusque inde in populo consopitus. Imperator autem Zeno certior factus de eo quod a Prasinis in Judaeos

σίνων τῶν ἐν Ἀντιοχείᾳ, λέγων, Διὰ τί τοὺς νεκροὺς μόνον τῶν Ἰουδαίων ἔκαυσαν; ἐχρῆν γὰρ αὐτοὺς καὶ τοὺς ζῶντας Ἰουδαίους
B καῦσαι. καὶ ἐσιωπήθη τὸ πρᾶγμα.

Ὁ δὲ αὐτὸς βασιλεὺς Ζήνων ἐρωτήσας Μαυριανὸν τὸν σοφώτατον κόμητα, ὅστις πολλὰ αὐτῷ προέλεγεν, ἦν γὰρ καὶ μυστικά τινα εἰδώς, καὶ τίς μετ' αὐτὸν βασιλεύει, προεῖπεν ὅτι καὶ τὴν βασιλείαν αὐτοῦ καὶ τὴν γυναῖκα αὐτοῦ διαδέχεταί τις ἀπὸ σιλεντιαρίων. [καὶ ταῦτα ἀκούσας ὁ βασιλεὺς Ζήνων συνέσχε τὸν πατρίκιον Πελάγιον τὸν ἀπὸ σιλεντιαρίων] πληρώσαντα καὶ ἐλθόντα εἰς τὴν τοῦ πατρικίου ἀξίαν, ἄνδρα σοφόν· ἐκέλευσε δημεύσας φυλάττεσθαι· ὅντινα νυκτὸς οἱ φυλάσσοντες ἔπνιξαν καὶ ἔρριψαν εἰς θάλασσαν τὸ λείψανον αὐτοῦ κατὰ κέλευσιν τοῦ βασιλέως. καὶ ἀκούσας τοῦτο ὁ ἔπαρχος τῶν πραιτωρίων Ἀρκάδιος ἐλοιδόρει τὸν βασιλέα Ζήνωνα διὰ Πελάγιον·
C καὶ ἦλθεν εἰς τὰς ἀκοὰς Ζήνωνος, καὶ ἐκέλευσεν εἰσερχόμενον
O 104 εἰς τὸ παλάτιον σφαγῆναι. ὁ δὲ Ἀρκάδιος μαθὼν τοῦτο, ὡς μετεστάλη ἀπὸ τοῦ βασιλέως, παρερχόμενος ἀπὸ τῆς ἐκκλησίας ἐποίησεν ὡς θέλων εὔξασθαι· καὶ κατελθὼν ἐκ τοῦ ὀχήματος εἰσῆλθεν εἰς τὴν μεγάλην ἐκκλησίαν Κωνσταντινουπόλεως· καὶ ἔμεινεν ἔσω, καὶ ἐρρύσθη θανάτου. καὶ ὡς ἔστιν ἐκεῖ, ἐδήμευ-

6. *καὶ τίς*] *τίς* Chron. Pasch. p. 328. A. 8. *καὶ ταῦτα ἀκούσας* etc.] „Quae uncis inclusa sunt, ex Chr. Alex. supplevimus, qui haec ipsa ex nostro, vel uterque ex tertio quodam, transscripsit.“ Ch. 11. *ἐκέλευσε δημεύσας φυλάττεσθαι*] „Chr. Alex. habet, *καὶ δημεύσας αὐτὸν ἐκέλευσε φυλάττεσθαι·* rectius; *καὶ* enim particula apud nostrum desideratur.“ Ch. 17. *ἀπὸ τῆς*] *διὰ τῆς μεγάλης* Chron.

patratum fuerat, iratus eis, „Quorsum, inquit, Judaeos mortuos tantum ignibus mandarunt, quos etiam vivos concremare oportuit?“ Res vero inde silentio sepulta est.

Idem vero Imperator Zeno Maurianum Comitem, virum sapientissimum, (qui multa ei praedixerat; norat enim occulta quaedam Mysteria) interrogavit; „Quis post se imperaturus esset? Respondit ille; Imperium simul, et uxorem tuam accipiet quidam ex Silentiariis.“ [Hoc audito, Imperator comprehendit Pelagium Patricium, qui jam olim Silentiariorum] gradum supremum ascenderat, et ad dignitatem Patriciam provectus fuerat, virum sapientem: bonisque ejus publicatis, ipsum custodiae tradidit. Hunc vero, Imperatoris ipsius ex mandato, Custodes per noctem strangularunt, corpusque in mare projecerunt. Arcadius autem Praetorio Praefectus ubi hoc audierat. Imperatorem ob Pelagii caedem conviciis insectatus est: quod ubi ad Zenonis aures pervenisset, jussit illum, simulac palatium ingrederetur, occidi. Hoc ubi rescierat Arcadius, cum ab Imperatore accersitus Ecclesiam pertransiret, ex curru descendens, simulavit velle se precari: Ecclesiamque Magnam Constantinopoli ingressus, ibi mansit, a morte sic liberatus; bonis interim ejus omnibus a

σεν αὐτὸν ὁ βασιλεὺς Ζήνων. μετὰ δὲ ὀλίγον καιρὸν δυσεντερίᾳ ληφθεὶς ὁ αὐτὸς βασιλεὺς Ζήνων ἐτελεύτησεν, ὢν ἐνιαυτῶν ξ' καὶ μηνῶν θ', μηνὶ ξανθικῷ θ' ἔτους κατὰ Ἀντιόχειαν φλθ', ἰνδικτιῶνος ιδ'.

Ἔστιν οὖν ἀπὸ Ἀδὰμ ἕως τῆς τελευτῆς Ζήνωνος βασιλέως ἔτη ͵εϡπγ'.

Zenone Imperatore publicatis. Non multo autem post temporis Imperator Zeno, Dysenteria correptus, fato succubuit, annos natus LX et menses IX, Aprilis die IX, Aerae Antiochenae anno DXXXIX, Indictionis XIV.

Ab Adamo igitur, adusque Zenonis exitum, anni sunt MMMMMDCCCCXXCIII.

V 38

ΛΟΓΟΣ Ις'

ΧΡΟΝΩΝ ΑΝΑΣΤΑΣΙΟΥ ΒΑΣΙΛΕΩΣ.

A Μετὰ δὲ τὴν βασιλείαν Ζήνωνος ἐβασίλευσεν ὁ θειότατος Ἀνα-
στάσιος ὁ δίκορος, ὁ Δυῤῥαχηνός, ὁ ἀπὸ τῆς νέας Ἠπείρου, ἀπὸ
σιλεντιαρίων, ἐπὶ τῆς ὑπατείας Ὀλυβρίου τοῦ υἱοῦ Ἀρεοβίνδου·
ὅστις ἐβασίλευσεν ἔτη κζ' καὶ μῆνας γ', στεφθεὶς ἐν μηνὶ ἀπριλ-
λίῳ τῇ ἁγίᾳ πέμπτῃ τῆς μεγάλης ἑβδομάδος. καὶ ἠγάγετο Ἀριάδ-
νην τὴν τοῦ Ζήνωνος τοῦ πρὸ αὐτοῦ βασιλεύσαντος γενομένην
γυναῖκα. ἦν δὲ μακρὸς πάνυ, κονδόθριξ, εὔστολος, στρογγύ-
λοψις, μιξοπόλιος τὴν κάραν καὶ τὸ γένειον, ἐν τῷ δεξιῷ ὀφθαλ-
O 106 μῷ ἔχων τὴν κόρην γλαυκὴν καὶ ἐν τῷ ἀριστερῷ μέλαιναν, τε-
λείους ἔχων ὀφθαλμούς, τὸ δὲ γένειον αὐτοῦ πυκνῶς ἐκείρετο.

B Ἐν δὲ τῇ αὐτοῦ βασιλείᾳ ἐποίησεν ἔπαρχον πραιτωρίων τὸν πατρίκιον Ἱέριον· ὅστις ἐποίησε κόμητα ἀνατολῆς Καλλιόπιον τὸν ἴδιον συγγενέα. καὶ ὡς ἄρχει, ἐπῆλθον τῷ αὐτῷ Καλλιοπίῳ

LIBER XVI.

DE TEMPORIBUS ANASTASII IMPERATORIS.

Zenonem excepit in Imperio divinissimus Anastasius Dicorus, qui ex Silentiariis fuerat, ex Dyrrachio Novae Epiri oriundus, Consule Olybrio, Ariobindi filio. Inauguratus est mense Aprili, feria sancta v magnae Hebdomadae; duxitque in uxorem Ariadnam, Zenonis decessoris sui viduam: Imperavit autem annos XXVII et menses tres. Erat hic statura valde procera, capillitio brevi, decorus, facie rotunda, capite, mentoque subcanescentibus, oculorum pupilla dextra caesia, sinistra vero nigricante, oculis nihilominus pulcherrimis; barbam vero frequenter tondebat.

Hic Imperator factus Praetorio Praefectum constituit Hierium Patricium; qui Calliopium, cognatum suum, Orientis Comitem designavit. Hic vero ad Principatum evectus, cum adversus eum insurgerent Prasini An-

οἱ Πράσινοι Ἀντιοχείας ἐν τῷ πραιτωρίῳ· καὶ φυγὼν διεσώθη. τοῦτο δὲ γνοὺς ὁ ἔπαρχος Ἱέριος ἀνήγαγε τῷ βασιλεῖ Ἀναστασίῳ· καὶ εὐθέως προηγάγετο ὁ αὐτὸς βασιλεὺς κόμητα ἀνατολῆς Κωνστάντιον τὸν Ταρσέα, δοὺς αὐτῷ ἐξουσίαν κατὰ πάσης ζωῆς, ἐπειδὴ τὸ Πράσινον μέρος Ἀντιοχείας δημοκρατοῦν ἐπήρχετο τοῖς ἄρχουσιν· ὅστις Κωνστάντιος ἐποίησε τὸν δῆμον Ἀντιοχείας εἴκειν κελεύσμασιν ἀρχόντων, ἔτους χρηματίζοντος κατὰ Ἀντιόχειαν φμγ΄.

Ἐφίλει δὲ ὁ αὐτὸς βασιλεὺς τὸ Ῥούσιον μέρος Κωνσταντινουπόλεως C, τοῖς δὲ Πρασίνοις καὶ Βενέτοις πανταχῇ ἐπεξήρχετο στασιάζουσιν.

Ὁ δὲ αὐτὸς βασιλεὺς ἀκούσας ὅτι συνάγονται οἱ Ἴσαυροι εἰς τὴν ἰδίαν αὐτῶν χώραν τυραννῆσαι βουλόμενοι, εὐθέως ἐπεστράτευσε κατ᾽ αὐτῶν· καὶ ἐπολέμησεν αὐτοῖς πέμψας στρατηγοὺς Ἰωάννην τὸν ἐπίκλην κυρτόν, στρατηλάτην πραισέντου, καὶ Διογενιανὸν τὸν πατρίκιον, τὸν συγγενέα τῆς Αὐγούστας, καὶ ἄλλους O 107 μετὰ πλήθους Σκυθῶν καὶ Γοτθικῆς καὶ Βεσσικῆς χειρός. καὶ ἀνήλωσε τοὺς αὐτοὺς Ἰσαύρους καὶ ἀπώλεσε τὴν χώραν αὐτῶν καὶ τὰς πόλεις αὐτῶν κατέστρεψε καὶ πυρίκαυστα ἐποίησε τὰ καστέλλια αὐτῶν, λαβὼν αἰχμαλώτους τοὺς ἐξάρχους αὐτῶν εἰς τὴν αὐτῶν τυραννίδα Λογγῖνον τὸν ἀπὸ μαγίστρων τὸν φαλακρὸν V 39 καὶ Ἀθηνόδωρον τὸν νεώτερον καὶ Λογγινίνην τὸν χωλὸν καὶ Κόνωνα τὸν Φουσκιανοῦ τὸν ἀπὸ ἐπισκόπων Ἀπαμείας· ὁ δὲ Λογγινίνης πρῶτος ἀπώλετο ἐν τῇ συμβολῇ τοῦ πολέμου, ὅτε ὑπήν-

4. ζωῆς Ch., ζώνης Ox.   24. ὅτε γὰρ Ch.

tiochenses, fuga salvus evasit. Hoc audito, Hierius Praefectus Imperatori rem detulit: qui statim Orientis Comitem designavit Constantium Tarsensem, concessa etiam ei in omnes potestate plena; ex eo quod Prasini Antiochiae dominantes, in Praefectos frequenter insurgerent. Illud igitur in populo Antiochensi Constantius egit, ut Magistratibus suis deinceps morem gererent. Annus erat Aerae Antiochenae DXLIII.

At vero Imperator Russatis Constantinopolitanis admodum studebat; Prasinos vero et Venetos, tumultuantes ubique compescuit.

Audito autem quod Isauri, in regione ipsorum copiis collectis, tyrannidem sibi arripere in animo haberent; adversus eos arma movit, missis in expeditionem hanc, cum copiis Scythicis, Gothicis et Bessicis, Joanne cognomine Gibbo, Praesentis Militiae Magistro; et Diogeniano Patricio. Augustae cognato, aliisque ducibus. Hi vero Isauros istos profligarunt; et regionibus eorum vastatis, eversis etiam urbibus, Castellisque ignibus absumptis, Rebellionis etiam istius Duces primarios, Longinum nempe Calvum, Exmagistrum, Athenodorum Juniorem, Longininem Claudum, et Cononem Fusciani F. Exepiscopum Apamensem, [aut occiderunt, aut] captivos abduxerunt. Primus itaque Longinines, ad Cotyaeum, urbem Phry-

τησαν ἀλλήλοις τὰ ἐξέρκετα εἰς τὸ Κοτυάειον, πόλιν τῆς Φρυγίας, ἐκεῖ ἐσφάγη· καὶ μετ' αὐτὸν Κόνων ὁ Φουσκιανοῦ λόγχῃ βληθεὶς ἔπεσε. καὶ τραπέντες οἱ Ἴσαυροι εἰς φυγὴν συνελήφθησαν τότε καὶ οἱ λοιποὶ ἔξαρχοι ζῶντες· καὶ ἀπεκεφαλίσθησαν καὶ ἀνηνέχθησαν αἱ κεφαλαὶ αὐτῶν τῷ αὐτῷ Ἀναστασίῳ βασιλεῖ. καὶ μετὰ τὴν αὐτὴν νίκην ἔδωκε δωρεὰς τοῖς ὑποτελέσι πᾶσι τοῖς ὑπὸ τὴν αὐτοῦ βασιλείαν.

B
O 108 *Ὁ δὲ θειότατος βασιλεὺς Ἀναστάσιος ἐποίησε χρυσοτέλειαν τῶν ἰούγων τοῖς συντελεσταῖς πᾶσι διὰ τὸ μὴ ἀπαιτεῖσθαι τὰ εἴδη καὶ διατρέφεσθαι ὑπὸ τῶν στρατιωτῶν.*

Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας οἱ δῆμοι Κωνσταντινουπόλεως τῶν Πρασίνων ἱππικοῦ ἀγομένου παρεκάλουν τὸν βασιλέα ἀπολυθῆναί τινας συσχεθέντας παρὰ τοῦ ἐπάρχου τῆς πόλεως ὡς λιθοβολήσαντας· καὶ οὐ παρεκλήθη ὑπὸ τοῦ δήμου ὁ αὐτὸς βασιλεύς, ἀλλὰ ἀγανακτήσας ἐκέλευσεν ἅρμα κατ' αὐτῶν ἐξελθεῖν, καὶ
C *ἐγένετο μεγάλη ἀταξία. καὶ κατῆλθον οἱ δῆμοι κατὰ τῶν ἐξκουβιτόρων καὶ ἐλθόντες ἐπὶ τὸ κάθισμα ἔρριψαν [λίθους κατὰ τοῦ βασιλέως Ἀναστασίου, ἐν οἷς εἷς Μαῦρος ἔρριψε] λίθον κατὰ τοῦ βασιλέως· καὶ ἀναστὰς ὁ βασιλεὺς ἐξέφυγε τὸν λίθον. καὶ θεασάμενοι οἱ ἐξκουβίτορες τὴν τοῦ ἀνδρὸς τόλμαν, ὥρμησαν κατ' αὐτοῦ καὶ ἔκοψαν αὐτὸν κατὰ μέλος· καὶ οὕτως ἀπέδωκε τὴν*
O 109 *ψυχήν. ὁ δὲ δῆμος στενωθεὶς ἔβαλε πῦρ εἰς τὴν λεγομένην Χαλκῆν τοῦ ἱππικοῦ, καὶ ὁ ἔμβολος ἐκαύθη ἕως τοῦ βασιλικοῦ καθί-*

14. *λιθοβολήσαντες* Ch., *λιθοβολίσαντες* Ox. 17. *λίθους — ἔρριψε* addit Chron. 22. *στενωθεὶς* Ch., Chron., *σθενοθεὶς* Ox. *ibid.* *Χαλκὴν* Ox.

giae, ubi exercitus inter se commissi primum conflictati sunt, ipso in congressu occisus periit. Post quem Conon, Fusciani F. cecidit, hasta transfixus. Caeteri autem Duces, Isauris in fugam versis, vivi comprehensi sunt, capiteque multati; capitibus eorum ad Anastasium Imperatorem deportatis: qui hac victoria potitus, omnibus per Imperium Tributariis munera transmisit.

Divinissimus autem Imperator Anastasius tributum aureum, pro singulis jugis per imperium, pendendum instituit: ne scilicet ab Exactoribus, in specie, militibus in victum erogandum colligeretur.

Eodem Imperante, qui ex Prasinis erant in populo Constantinopolitano, ipsum inter Circensia rogarunt, uti qui ob lapides in Circo jactos a Praefecto urbis comprehensi fuerant, vinculis liberarentur. Imperator votis eorum haud annuens, etiam eis irascebatur; jussitque uti miles eos adoriretur. Coortus inde ingens in populo tumultus; turbaque adversus Excubitores descendente, ubi ad sedem Imperatoriam perventum fuisset, in Imperatorem ipsum lapis emissus est. Surgens autem Imperator, ictum declinavit. Videntes itaque Excubitores hominis audaciam, impetu in illum facto, membratim conciderunt; qui sic animam edidit. Popellus autem in angustias redactus, ignes in Circi Chalcam, quam vocant injecit; unde Porticus usque ad sedem Imperatoriam conflagravit. Porticus item

σματος, καὶ ὁ ἔμβολος δὲ ὁ δημόσιος ἕως τοῦ Ἐξαϊππίου καὶ τοῦ φόρου Κωνσταντίνου ἅπας καυθεὶς κατηνέχθη, πανταχῇ διακοπῶν γενομένων. πολλῶν δὲ συσχεθέντων καὶ τιμωρηθέντων ἐγένετο ἡσυχία, προαχθέντος ἐπάρχου πόλεως Πλάτωνος, ὃς ὑπῆρχε πά- D
τρων τοῦ Πρασίνου μέρους.

Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας ἀνεφάνη τις ἀνὴρ ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ, ὢν ἀπὸ πόλεως Ἀμίδης, ὀνόματι Ἰωάννης Ἰσθμέος, χειμευτὴς ὑπάρχων καὶ φοβερὸς ἐπιθέτης· καὶ λάθρᾳ εἰσήρχετο εἰς τὰ ἀργυροπρατία καὶ ὑπεδείκνυεν αὐτοῖς χεῖρας ἀνδριάντων καὶ πόδας χρυσοῦς καὶ ἄλλα ζώδια, λέγων ὅτι Θησαυρὸν γέμοντα τοιαῦτα ζώδια ὄβρυζα ηὗρον. καὶ ἐκ τούτου ἠπάτησε πολλοὺς καὶ ἐκόμβωσε πολλὰ χρήματα· ᾧτινι παρωνύμην ἔθηκαν οἱ Ἀν- O 110
τιοχεῖς Βαγουλάν, ὅ ἐστι γοργὸς ἐπιθέτης. καὶ λαθὼν πάντας ἔφυγεν ἐν Κωνσταντινουπόλει καὶ ἐκόμβωσε κἀκεῖ πολλοὺς ἀργυροπράτας, ὥστε γνωσθῆναι τῷ βασιλεῖ. καὶ συσχεθεὶς εἰσήχθη πρὸς τὸν βασιλέα, καὶ προσήνεγκεν αὐτῷ χαλινὸν ἵππου ὁλόχρυσον, E
διὰ μαργαριτῶν ὂν τὸ κούρκωμον αὐτοῦ. καὶ λαβὼν αὐτὸ ὁ βασιλεὺς Ἀναστάσιος λέγει αὐτῷ, Ἐμὲ οὐ κομβώσεις· καὶ ἐξώρισεν αὐτὸν εἰς Πέτρας, κἀκεῖ τελευτᾷ.

Ἐν δὲ τῷ αὐτῷ χρόνῳ τῆς αὐτοῦ βασιλείας ἐπὶ τῆς ὑπατείας τοῦ αὐτοῦ βασιλέως Ἀναστασίου ὡς τὸ τρίτον κατῆλθεν ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ Καλλιόπας τις ἡνίοχος ἀπὸ φακτιονα-

10. χρυσοῦς] χρυσᾶς Ox. *ibid.* ζώδια Ch., ζῶδα Ox. 12. παρονύμην Ox. 17. ὂν Ch., ὢν Ox. Eadem μαργαρίτων. 22. Καλλίοπας Ox.

Publica, Hexaippum usque et Constantini Forum, tota in cineres versa, corruit, caedibus undique factis. Plurimis autem comprehensis et punitis, turba demum conquievit: at non, nisi Platone quodam, Prasinorum Patrono, ad urbis Praefecturam provecto.

Eodem imperante, prodiit Antiochiae Joannes quidam Isthmeus, Amidensis Chemista et impostor insignis. Vafre hic Argentariorum officinas ingressus, obtulit illis statuarum manus pedesque totos aureos; imagunculas etiam alias; dicendo se Thesaurum reperisse, simulachris hujusmodi obryzis refertum. Hisce malis artibus fucum plurimis fecerat, pecuniasque abunde sibi corraserat: quem ideo Antiochenses *Bagulam* appellarunt, id est versutissimum Impostorem. Inde vero Constantinopolim, clam omnibus, profectus, multos etiam ibi Argentarios emunxit: unde et Imperatori ipsi demum innotuit. Comprehensus autem, et coram eo adductus, fraenum equestre cum curcuma ex auro solido et Margaritis intertexta ei obtulit. Quod Anastasius Imperator manu accipiens; „At mihi, inquit, haud impones.“ Itaque ad Petras eum relegavit; ubi diem suum obiit.

Eodem tempore, Anastasio Imperatore ipso tum tertium Consule, Calliopas quidam, ex Factionariis Constantinopolitanis, Auriga, magnam Antiochiam veniens, Prasinis datus est, Basilio Edesseno tum Comite. Hic

ρίων Κωνσταντινουπόλεως· καὶ ἐδόθη εἰς τὸ Πράσινον μέρος
O 111 Ἀντιοχείας ἐπὶ Βασιλείου κόμητος Αἰδεσινοῦ· καὶ παρέλαβε
τὸν σταῦλον τοῦ Πρασίνου μέρους λιπόμενον, καὶ ἐνίκησε κατὰ
κράτος. καὶ μετ᾽ ὀλίγον καιρὸν ἐπετελέσθη ἐν τῇ Δάφνῃ Ἀντιο-
χείας κατὰ τὸ ἔθος ἡ συνήθεια τῶν Ὀλυμπίων ἡ λεγομένη·
καὶ τοῦ πλήθους τῶν Ἀντιοχέων ἀνελθόντος ἐν Δάφνῃ, οἱ ἐκ
τῆς εἰσελασίας ὁρμήσαντες μετὰ τοῦ ἡνιόχου Καλλιόπα κα-
τελθόντες ἐν τῇ συναγωγῇ τῶν Ἰουδαίων τῇ οὔσῃ ἐν τῇ αὐτῇ
Δάφνῃ ἐνέπρησαν αὐτήν, πραιδεύσαντες πάντα ὅσα ἦν ἐν τῇ
συναγωγῇ καὶ ἐφόνευσαν πολλούς, μηνὶ Ἰουλίῳ θ′, ἰνδικτιῶνος
ιε′· καὶ πήξαντες ἐκεῖ τὸν τίμιον σταυρὸν ἐποίησαν γενέσθαι
B μαρτύριον τοῦ ἁγίου Λεοντίου. τούτων δὲ γνωσθέντων τῷ αὐ-
τῷ Ἀναστασίῳ βασιλεῖ, προηγάγετο κόμητα ἀνατολῆς τὸν ἀπὸ
κομμερκιαρίων Προκόπιον τὸν Ἀντιοχέα· ὅστις κατήνεγκε μεθ᾽
ἑαυτοῦ ἀπὸ θείου τύπου νυκτέπαρχον Μηνᾶν ὀνόματι, Βυζάν-
τιον. καὶ ταραχῆς γενομένης παρὰ τῶν τοῦ Πρασίνου μέρους,
ἐβουλήθη ὁ αὐτὸς Μηνᾶς κατασχεῖν τινας τῶν ἀτάκτων· καὶ
γνόντες ἐκεῖνοι προσέφυγον εἰς τὸν ἅγιον Ἰωάννην ἔξω τῆς πό-
O 112 λεως. καὶ γνοὺς τοῦτο ὁ νυκτέπαρχος ἐν τῷ μεσημβρίῳ ἀπῆλ-
θε μετὰ Γοτθικῆς βοηθείας εἰς τὸν ἅγιον Ἰωάννην· καὶ ἐξαίφνης
εἰσῆλθεν εἰς τὸν ἅγιον οἶκον, καὶ εὗρεν ἐκεῖ ὑποκάτω τῆς ἁγίας
τραπέζης τοῦ θυσιαστηρίου τινὰ τῶν ἀτάκτων ὀνόματι Ἐλευ-
θέριον· καὶ κεντήσας αὐτὸν ξίφει ἐκεῖ, σύρας ἐκ τοῦ θυσιαστη-

2. Αἰδεσινοῦ] „Forte Ἐδεσσηνοῦ." Ch. 7. εἰσελασίας Ch., εἰς ἐλασίας Ox. 13. τὸν Ch., τῶν Ox.

itaque vacuum eo tempore Prasinorum stabulum occupavit, Aurigantium ubique Victor. Paulo autem post temporis Olympicorum, quae vocant, Solennia Daphne Antiochensi pro more celebrata sunt. Cumque populus Antiochensis numerosior ad Daphnem convenisset; qui ex Equitatu erant, una cum Calliopa Auriga, Synagogam Judaeorum ad Daphnem sitam invadentes, incendiis vastarunt, occisis plurimis abreptisque quae in Synagoga erant omnibus. Factum hoc Julii die IX, Indictionis XV. Tum vero defixa ibi Cruce venerabili, in D. Leontii Martyrium converterunt. Imperator autem Anastasius, his auditis, Orientis Comitem constituit, ex Commerciariis, Procopium quendam Antiochensem; qui et Byzantinum quendam, nomine Menam, divino Imperatoris ex Edicto, Nycteparchum sibi habuit. Tumultu autem a Prasinis in populo excitato, quosdam ex seditiosis comprehendere statuit Menas: quod ubi seditiosi isti intellexissent, ad D. Joannis Aedem, extra urbem sitam, confugerunt. Nycteparchus autem de hoc certior factus, sumpto sibi Gothico praesidio, eo contendit tempore meridiano: templumque subito ingressus, ex seditiosis quendam, nomine Eleutherium, sub sacra Altaris mensa latitantem, ibidem transfixit; truncoque inde extracto, caput ei amputavit: adeo ut sanctum

ρίου τὸ λείψανον αὐτοῦ, ἀπεκεφάλισεν· ὥστε τὸ ἅγιον θυσιαστήριον C πληρωθῆναι αἵματος. καὶ λαβὼν τὴν κεφαλὴν εἰσήρχετο ἐπὶ τὴν πόλιν Ἀντιόχειαν· καὶ ἐλθὼν ἕως τῆς γεφύρης τοῦ Ὀρόντου ποταμοῦ ἔῤῥιψε τὴν κεφαλὴν εἰς τὸν ποταμόν. καὶ εἰσῆλθεν ἔγγιστα Προκοπίου τοῦ κόμητος τῆς ἀνατολῆς, διηγούμενος αὐτῷ τὰ συμβάντα. καὶ μετὰ τὸ μεσημβρινὸν ἐγνώσθη τοῦτο τοῖς Πρασίνοις· καὶ ἐξελθόντες εἰς τὸν ἅγιον Ἰωάννην εὗρον τὸν κορμὸν Ἐλευθερίου. καὶ λαβόντες εἰς κραβαταρέαν τὸ λείψανον αὐτοῦ, εἰσήγαγον εἰς τὴν πόλιν βαστάζοντες αὐτό. καὶ ὑπηντήθησαν κατέναντι τῆς λεγομένης Ῥουφίνου βασιλικῆς ἐπὶ τὸ λουτρὸν τὸ λεγόμενον τῶν Ὀλβίης· καὶ συμβαλόντες εἰς τὴν ῥύμην τῶν θαλασσίων μετὰ τῆς βοηθείας καὶ τοῦ νυκτεπάρχου D καὶ τῶν τοῦ Βενέτου μέρους δημοτῶν μάχην, περιεγένετο ὁ δῆμος τοῦ Πρασίνου μέρους· καὶ παραλαβόντες τὴν Ῥουφίνου βασιλικὴν καὶ τὴν λεγομένην Ζηνοδότου ἔβαλον πῦρ, καὶ ἐκαύθη πᾶσα ἡ Ῥουφίνου καὶ τὰ δύο τετράπυλα τὰ ἐντεῦθεν κἀκεῖθεν καὶ τὸ πραιτώριον τοῦ κόμητος τῆς ἀνατολῆς, καὶ πάντα κατηνέχθη ὑπὸ τοῦ πυρὸς διαφθαρέντα. καὶ ἔφυγεν ὁ κόμης τῆς O 113 ἀνατολῆς εἰς Ἀλεξάνδρειαν τὴν Καμβύσου. καὶ πιάσαντες οἱ ἀπὸ τοῦ Πρασίνου μέρους τὸν νυκτέπαρχον Μηνᾶν καὶ ἀνακείραντες αὐτόν, ἐξέβαλον τὰ συκότια αὐτοῦ. καὶ μετὰ το σῦραι τὸ λείψανον αὐτοῦ ἐκρέμασαν αὐτὸ ἐν τῷ ἑστῶτι χαλκῷ ἀνδριάντι τῷ λεγομένῳ Κολονισίῳ τὸ μέσον τοῦ ἀντιφόρου· καὶ μεταγα-

19. *Καμβύσου*] Inepte pro *Καβιῶσαν*. De cuius nominis scriptura v. Wesseling. ad Itiner. Hierosol. p. 580. 581. et annotationem nostram ad Chron. P. p. 170. D. *ibid.* *οἱ* addidit Ch.

quoque Altare exinde totum sanguine conspurcaretur. Arrepto deinde capite, in urbem Antiochiam reversus est: Cumque ad Orontis pontem pervenisset, caput in flumen projecit. Tum vero ad Procopium Comitem ingressus, rem ei totam, sicut acciderat, enarravit. Tempore autem pomeridiano, ubi hujus rei fama Prasinis innotuerat, D. Joannis Aedem adeuntes, Eleutherii truncum ibi invenerunt: quem lecticae impositum in urbem detulerunt. Balneo autem *Olbio* dicto appropinquantes, e regione Rufini Basilicae, Nycteparchus eos adortus est, copiis suis Civibusque ex Veneta Factione stipatus: pugnaque in *Nauticorum* vico commissa, Prasini superiores evaserunt. Rufini itaque et Zenodoti Basilicis occupatis, ignes injecerunt: unde Rufini Basilica tota conflagravit, una cum duobus, quae utrinque steterunt Tetrapylis, et Praetorio Comitis Orientis; quae vastata incendiis omnia corruerunt. Comes interim Orientis in Alexandriam Cambysis fuga evasit: Menam vero Nycteparchum Prasini prehendentes, caputque ei detondentes, testiculos ejus execarunt; ipsumque passim per urbem tractum, de aenea tandem statua, *Colonisia* vocata, ex opposito medii Fori sita, suspenderunt: Cadaverque ejus, extra

E γόντες τὸ λείψανον, σύραντες ἔξω τῆς πόλεως Ἀντιοχείας ἔκαυσαν φρυγάνοις. ὁ δὲ βασιλεὺς Ἀναστάσιος διδαχθεὶς προεχειρίσατο κόμητα ἀνατολῆς Εἰρηναῖον τὸν Πενταδιαστήν, Ἀντιοχέα· καὶ ἐποίησεν ἐκδίκησιν καὶ φόβον ἐν τῇ πόλει.

Ὁ δὲ αὐτὸς βασιλεὺς ἐκούφισε τὴν λειτουργίαν τοῦ λεγομένου χρυσαργύρου πᾶσαν διαιωνίζουσαν ἀπὸ θείου τύπου, ἥτις ἐστὶ
V 41 μεγάλη καὶ φοβερὰ φιλοτιμία, ἀντεισάξας ταῖς θείαις λαργιτιῶσι πρόσοδον ἀντ᾽ αὐτοῦ ἐκ τῶν ἰδίων αὐτοῦ.

O 114 Ἔκτισε δὲ ὁ αὐτὸς βασιλεὺς ἐν Ἀντιοχείᾳ καὶ τὴν λεγομένην Ῥουφίνου καὶ κατὰ πόλιν τῆς Ῥωμανίας διάφορα κτίσματα.

Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας παρελήφθη Ἄμιδα, μητρόπολις ὀχυρὰ πάνυ τῆς Μεσοποταμίας, καὶ Θεοδοσιούπολις, πολέμῳ ληφθεῖσα ὑπὸ Κωάδου, βασιλέως Περσῶν, ἐπελθόντος τοῦ βασιλέως μετὰ δυνάμεως πολλῆς. ἔλαβε δὲ παραλήπτους ὁ αὐτὸς βασιλεὺς Περσῶν Κωνσταντῖνον, στρατηγὸν Ῥωμαίων δυνατόν, φυλάττοντα τὴν αὐτὴν Θεοδοσιούπολιν, καὶ ἄλλους δὲ πολλούς· οἵτινες καὶ ἐτελεύτησαν ἐν τοῖς Περσικοῖς μέρεσι. καὶ ἐπεστρά-
B τευσε κατὰ Περσῶν ὁ αὐτὸς Ἀναστάσιος βασιλεύς, πέμψας Ἀρεόβινδον τὸν Δαγαλαΐφου υἱόν, στρατηλάτην ἀνατολῆς, τὸν ἄνδρα Ἰουλιάνας, καὶ Πατρίκιν, στρατηλάτην τοῦ μεγάλου πραισέντου, καὶ Ὑπάτην, στρατηλάτην πραισέντου, τὸν υἱὸν Σεκουνδίνου τοῦ πατρικίου, καὶ τὸν πατρίκιον Ἀππίονα, ποιήσας αὐτὸν ἔπαρχον πραιτωρίων ἀνατολῆς, καὶ πλῆθος ἄπειρον στρατιᾶς

Antiochiam urbem projectum, cremiis combusserunt. Imperator autem Anastasius, ubi haec audierat, Orientis Comitem constituit Irenaeum Pentadiastem, Antiochenum: qui poenis populum coercens, terrorem omnibus incussit.

Idem Imperator, divino suo Edicto, perpetuum illud *Chrysarguri* Tributum penitus sustulit: sacrisque Largitionibus, in locum ejus, reditus de proprio subministravit. Egregium hoc Regiae magnificentiae et mirandum plane exemplum.

Idem etiam Antiochiae Rufini Basilicam instauravit: varia etiam Romaniae per urbes aedificia excitavit.

Eodem Imperante, Persarum rex Coades, ingenti exercitu instructus, Theodosiopolim atque Amidam, munitissimam Mesopotamiae Metropolim, bello cepit: Constantinum quoque, Ducem Romanorum fortissimum, et urbis Theodosiopolitanae Custodem, cum pluribus aliis, captivum abduxit; qui diem suum omnes in Perside obierunt. Imperator itaque Anastasius bellum Persis intulit, in expeditionem hanc missis Areobindo Dagalaiphi filio, Julianae conjuge, et militum in Oriente Magistro; Patricio etiam, Magni Praesentis Militiae Magistro; et Hypatio, Secundini Patricii filio, Praesentis Militiae Magistro; Appione quoque Patricio, quem et Praetorio Praefectum Orientis constituit: horum vero sub ductu exercitum emisit, ex Equestribus et Pedestribus Copiis, instructissimum. Praelio autem

μετ' αὐτῶν πεζικῆς καὶ ἱππικῆς δυνάμεως. καὶ συνέβαλον μετ' O 115 ἀλλήλων τὰ ἀμφότερα τάγματα, καὶ ἐσφάγησαν πολλοὶ καὶ ἔπεσαν ἐξ ἀμφοτέρων τῶν μερῶν· περὶ οὗ πολέμου Εὐστάθιος ὁ σοφώτατος χρονογράφος συνεγράψατο· ὅστις καὶ εὐθέως ἐτελεύτησε, μήτε εἰς τέλειον τὴν ἔκθεσιν αὐτοῦ συντάξας. ὁ δὲ αὐτὸς βασιλεὺς Ἀναστάσιος μετεστείλατο τὸν στρατηλάτην Ὑπάτιον τὸν C Σεκουνδίνου ἐν Κωνσταντινουπόλει, καὶ ἔπεμψεν ἀντ' αὐτοῦ τὸν ἐνδοξότατον Κέλερα τὸν Ἰλλυριόν, ἄνδρα σοφόν· καὶ ἀνεδόθησαν αἱ πόλεις αἱ κατεχόμεναι ὑπὸ Περσῶν διὰ τοῦ αὐτοῦ Κέλερος μαγίστρου. καὶ ἐγένετο εἰρήνη καὶ ἔνδοσις τοῦ πολέμου, καὶ ἀνεχώρησαν τὰ ἐξέρκετα καὶ ὁ στρατὸς ὅλος Ῥωμαίων τε καὶ Περσῶν.

Ὁ δὲ θειότατος Ἀναστάσιος εὐθέως ἐτείχισε τὸ Δοράς, χωρίον ὄντα τῆς Μεσοποταμίας, μέγα δὲ ὄντα πάνυ καὶ ὀχυρόν, κείμενον μέσον τῶν ὅρων Ῥωμαίων τε καὶ Περσῶν· καὶ ἐποίησεν ἐν αὐτῷ δημόσια λουτρὰ δύο καὶ ἐκκλησίας καὶ ἐμβόλους καὶ ὡρεῖα εἰς ἀπόθετα σίτου καὶ κιστέρνας ὑδάτων. τὸ δὲ αὐτὸ χωρίον διὰ τοῦτο ἐκλήθη Δορὰς ὑπὸ Ἀλεξάνδρου τοῦ Μακε- D δόνος, διότι τὸν βασιλέα Περσῶν ἐκεῖ συνελάβετο, κἀκεῖθεν ἔχει τὸ ὄνομα· νυνὶ δὲ λαβόντα δίκαιον πόλεως μετεκλήθη Ἀναστασιούπολις. καὶ στήλας τοῦ αὐτοῦ Ἀναστασίου ἀνέστησαν ἐκεῖ.

5. μήτε] μηδὲ? 8. Ἰλλύριον Ch., Ἰλύριον Ox. 15. ὀρέων Ox., ὁρίων Ch., ὀρῶν Chron. ὅρων dedi ex Cedreno p. 359. C. 19. βασιλέα] Clarius Chron. p. 329. D Δαρεῖον τὸν βασιλέα — ἐκεῖ δόρατι ἔκρουσεν, unde apparet Chronico et Malalae scripturam Δοράς oppidi, quod aliis est Δαράς, relinquendam esse. Conf. p. 65. B.

commisso, quamplurimi utrinque ceciderunt: Belli autem hujus historiam exorsus est sapientissimus Chronographus Eustathius; quam tamen, morte praeoccupatus, ad exitum non perduxit. Anastasius vero Imperator Hypatium, Secundini filium, [Praesentis] Militiae Magistrum, ex Perside Constantinopolim revocavit; suffecto in locum ejus Celere Illyrico, viro illustrissimo et prudentissimo; cujus sub auspiciis occupatae a Persis urbes iterum redditae sunt; pacisque conditionibus initis et induciis belli factis, exercitus utrinque se subduxerunt.

Tum vero divinissimus Anastasius *Doras*, oppidum Mesopotamiae magnum et munitissimum, in Romani et Persici Imperiii finibus situm, muro statim cinxit: ubi etiam Balnea duo Publica, Ecclesias, Porticus, Horrea etiam ad frumentum recondendum, et cisternas aquarum extruxit. Oppidum autem hoc ab Alexandro Macedone ideo *Doras* appellatum tradunt; quod ibi Persarum Regem bello ceperit. Nunc vero demum civitatis jure donata, Anastasiopolis vocata est; statuis etiam Anastasio a civibus excitatis.

O 116 Ἐν δὲ τῇ αὐτοῦ βασιλείᾳ καθῃρέθη Εὐφήμιος ὁ πατριάρ-
χης Κωνσταντινουπόλεως· καὶ ἐξώρισεν αὐτὸν εἰς Εὐχαΐταν ἐπὶ
τὸν Πόντον ὡς Νεστοριανόν· καὶ ἐγένετο ἀντ' αὐτοῦ πατριάρ-
χης Κωνσταντινουπόλεως Μακεδόνιος, ὅστις καὶ αὐτὸς καθῃρέ-
θη ὡς Νεστοριανός. ὁμοίως δὲ καὶ ὁ πατριάρχης Ἀντιοχείας
Φλαβιανὸς ὡς Νεστοριανὸς ἐξωρίσθη εἰς Πέτρας, πόλιν οὕτω
καλουμένην, οὖσαν τῆς τρίτης Παλαιστίνης. καὶ ἐγένετο ἀντ'
E αὐτοῦ Σέβηρος πατριάρχης ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ ἀπὸ μονα-
ζόντων, μηνὶ νοεμβρίῳ ς', ἔτους χρηματίζοντος κατὰ τοὺς Ἀν-
τιοχεῖς φξα'.

Ὁ δὲ αὐτὸς βασιλεὺς κουφίσας Ἰωάννην τὸν Παφλαγόνα ἐκ
τοῦ τρακτεύειν τὰ δημόσια χαρτία τοῦ πραιτωρίου τῶν ἐπάρχων
ἐποίησεν αὐτὸν ἀπὸ ὑπάτων, ἀντ' αὐτοῦ ποιήσας τρακτευτὴν
καὶ λογοθέτην Μαρῖνον τὸν Σύρον· ὅστις τοὺς πολιτευομένους
V 42 ἅπαντας ἐπῆρε τῆς βουλῆς, καὶ ἐποίησεν ἀντ' αὐτῶν τοὺς λεγο-
O 117 μένους βίνδικας εἰς πᾶσαν πόλιν τῆς Ῥωμανίας. ὁ δὲ αὐτὸς
βασιλεὺς προεχειρίσατο κόμητα λαργιτιώνων ἐν Κωνσταντινουπό-
λει τὸν ἀπὸ ὑπάτων Ἰωάννην τὸν Παφλαγόνα τὸν λεγόμενον
Καϊάφαν· ὅστις ἅπαν τὸ προχωρὸν κέρμα τὸ λεπτὸν ἐποίησε
φολλερὰ προχωρεῖν εἰς πᾶσαν τὴν Ῥωμαϊκὴν κατάστασιν ἔκ-
τοτε.

Ὁ δὲ αὐτὸς Ἰωάννης τὰ χαλκουργήματα τῆς πλατείας Κων-
σταντινουπόλεως ἐχώνευσεν, ἅπερ ὁ θειότατος βασιλεὺς Κων-

1. 4. καθῃρέθη bis Ch., καθαιρέθη Ox. 2. Εὐχαΐταν] Εὐχάϊτα p. 33. B. 17. λαργιτιόνων Ox. V. p. 41. A. 19. προχωρὸν] Fort. προχωροῦν.

Eodem Imperante Euphemius Patriarcha Constantinopolitanus, ut qui Nestorii partibus adhaeserat, sede sua deturbatus, in Euchaitam Ponti relegatus est, suffecto in locum ejus Macedonio; qui et ipse ob haeresim Nestorianam ejectus est. Consimiliter quoque Flavianus Patriarcha Antiochenus, tanquam Nestorianus, ad *Petras* Palaestinae Tertiae urbem, relegatus est: cui in Patriarchatu Antiochensi suffectus est Severus, Monachus, Novembris VI, anno Aerae Antiochenae DLXI.

Idem Imperator Joannem Paphlagonem, publicas Praetorii Praefecti chartas tractandi munere liberatum, Exconsulem fecit: et in locum ejus Tractatorem et Logothetam substituit Marinum Syrum. Idem etiam Magistratus Senatorii ordinis omnes muneribus suis levavit; *Vindicibus*, quos vocant, per singulas Romaniae urbes, in locum eorum suffectis. Idem Imperator Joannem Paphlagonem, Exconsulem, cognomine Caipham, Comitem Largitionum Constantinopoli constituit. Nummos hic *Minutos* dictos, in *Follerales* commutatos, exinde per totum imperium signari jussit.

Idem etiam Joannes statuas aereas omnes, a divinissimo Constantino Imperatore Constantinopolitanae urbis ad ornatum ex omnibus undique

σταντῖνος ὡς καλλιστεύοντα ἀπὸ ἑκάστης πόλεως συναγαγὼν
ἤνεγκεν εἰς κόσμησιν τῆς αὐτῆς Κωνσταντινουπόλεως δι' ἀρετῆς.
ὁ δὲ αὐτὸς Ἰωάννης χωνεύσας αὐτὰ ἐποίησεν ἐξ αὐτῶν στήλην
μεγάλην εἰς πᾶσαν ὑπερβολὴν τῷ αὐτῷ Ἀναστασίῳ βασιλεῖ· ἥν- B
τινα ἔστησεν εἰς τὸν κίονα τὸν μέγαν, ἑστῶτα ἀργὸν εἰς τὸν φόρον
τοῦ Ταύρου τοῦ λεγομένου· ὅστις κίων πρῴην μὲν εἶχε στήλην
Θεοδοσίου τοῦ μεγάλου, καὶ ἦν πεσοῦσα εἰς τοὺς φόβους ἡ αὐτὴ O 118
στήλη μόνη.

Ἐν αὐτῷ δὲ τῷ χρόνῳ ἐξεφώνησεν ὁ αὐτὸς βασιλεὺς διάταξιν, ὥστε μὴ ποιεῖν τινα ἔγγραφον κοπιδερμίας, μήτε δὲ αὐτὸ τὸ ὄνομα τοῦ κοπιδέρμου ὀνομάζεσθαι, μήτε τὸ πρᾶγμα γίνεσθαι, τῆς αὐτοῦ νομοθεσίας ἐχούσης οὕτως· ὅτι ἡμῖν ἐστιν εὐχὴ τοὺς ἐν ζυγῷ δουλείας ἐλευθεροῦν· πῶς οὖν ἀνεξόμεθα τοὺς ἐν ἐλευθερίᾳ ὄντας ἄγεσθαι εἰς δουλικὴν τύχην; ὁ δὲ αὐτὸς βασιλεὺς
ἕτερον ἐξέθετο θεῖον τύπον, ὥστε μηδένα δίχα σάκρας τινὰ C
τεκνοποιεῖσθαι, μήτε ἄῤῥεν μήτε θῆλυ, ἀλλὰ ἀπὸ θείας σάκρας, διὰ τὸ καὶ τὸ τεκνοποιούμενον ἔχειν δίκαιον υἱοῦ νομίμου καὶ θυγατρὸς εἰς τὸ καὶ ἐξ ἀδιαθέτου κληρονομεῖν τὴν οὐσίαν τοῦ τεκνοποιουμένου αὐτόν.

Ἐν δὲ τῷ αὐτῷ χρόνῳ τῆς αὐτοῦ βασιλείας οἱ δῆμοι Ἀλεξανδρείας τῆς μεγάλης ἐστασίασαν καὶ ἐφόνευσαν τὸν αὐγουστάλιον αὐτῶν Θεοδόσιον ὀνόματι, τὸν καταγόμενον ἀπὸ Ἀντιοχείας, τὸν υἱὸν Καλλιοπίου τοῦ πατρικίου, διὰ λεῖψιν ἐλαίου,
ἔτους χρηματίζοντος κατὰ τοὺς Ἀντιοχεῖς φξδ', ἰνδικτιῶνος θ'. O 119

6. *κίων* Ch., *κίον* Ox.

urbibus advectas, refudit; statuamque exinde magnitudinis plane stupendae Anastasii ejusdem Imperatoris conflavit; columnaeque ingenti, quae in Tauri Foro stetit vacua, imposuit: Quae quidem Columna Theodosii Magni statuam, terraemotuum priorum vi jam exinde excussam, olim sustinuerat.

Eodem tempore Edicto suo cavit Imperator Anastasius, ne quis *Copidermiae* Chirographum faceret: sed nec *Copidermum*, vel nomine tenus, uspiam vigere voluit. Edicti autem verba sic se habent: „Quoniam nobis in votis est, uti omnes a Jugo servitutis essent liberi; quonam igitur pacto liberos homines in Conditionem servilem induci patiamur?" Idem etiam Imperator, divino suo Edicto sancivit, ne quis, absque Literis Imperatoriis, quoscunque, sive mares sive foeminas, in Liberos sibi adoptaret: ex eo, quod Liberi Adoptitii Legitimorum jus habeant, in bonis Adoptantis, etiam ex Intestato, succedendi.

Eodem imperii ejus tempore, tumultu in populo Alexandrino, ob olei defectum, concitato, Theodosius, Augustalis eorum, ex Antiochia oriundus, Calliopii Patricii filius, interfectus est, anno Aerae Antiochenae DLXIV, In-

καὶ ἀγανακτήσας ὁ αὐτὸς βασιλεὺς πολλοὺς ἐτιμωρήσατο ἐξ αὐτῶν τῶν Ἀλεξανδρέων, ὡς τυραννήσαντας τὸν ἄρχοντα αὐτῶν.

D *Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας ἐτυράννησε Βιταλιανὸς ὁ Θρᾲξ διὰ πρόφασίν τινα, φησί, λέγων ὅτι διὰ τοὺς ἐξορισθέντας ἐπισκόπους. καὶ παρέλαβε τὴν Θρᾴκην καὶ Σκυθίαν καὶ Μυσίαν ἕως Ὀδησσοῦ καὶ Ἀγχιάλου, ἔχων μεθ' ἑαυτοῦ πλῆθος Οὔννων καὶ Βουλγάρων. καὶ ἔπεμψεν ὁ αὐτὸς βασιλεὺς Ὑπάτιον τὸν στρατηλάτην Θρᾴκης· καὶ παρετάξατο αὐτῷ, καὶ προδοθεὶς παρελήφθη ὑπὸ τοῦ αὐτοῦ Βιταλιανοῦ· καὶ δοθέντων χρημάτων πολλῶν ἀνεδόθη Ῥωμαίοις. καὶ διαδεχθέντος τοῦ αὐτοῦ Ὑπατίου, μετὰ τὴν ἐν Κωνσταντινουπόλει ἐπάνοδον αὐτοῦ προήχθη ἀντ' αὐτοῦ στρατηλάτης Θρᾴκης Κύριλλος Ἰλλυρικιανός. καὶ εὐθέως ἀπελθὼν παρετάξατο τῷ αὐτῷ Βιταλιανῷ· καὶ συνέκρου-*
E *σαν, καὶ ἔπεσαν πολλοὶ ἐξ ἀμφοτέρων τῶν μερῶν· καὶ περιγενόμενος ὁ Κύριλλος εἰσῆλθεν ἐν Ὀδησσῷ τῇ πόλει, καὶ διῆγεν ἐκεῖ, Βιταλιανοῦ ἀναχωρήσαντος ἐκ τῶν μερῶν ἐκείνων. διὰ δόσεως δὲ χρημάτων ἐξηγόρασεν ὁ αὐτὸς Βιταλιανὸς τοὺς φυλάττοντας*
O 120 *τῆς αὐτῆς Ὀδησσοῦ πόλεως τὰς πόρτας, πέμψας διά τινων συγγενῶν τῶν αὐτῶν πορταρίων χρήματα καί τινας ἐπαγγελίας.*
V 43 *προδοσίας δὲ γενομένης, εἰσῆλθε νυκτὸς εἰς τὴν Ὄδησσον πόλιν ὁ αὐτὸς Βιταλιανός, καὶ παρέλαβε τὸν στρατηλάτην Θρᾴκης Κύριλλον καὶ ἀνεῖλεν αὐτόν. καὶ ἦλθε πραιδεύων πάλιν πᾶσαν*

5. *Μυσίαν* Ch., *Μυσσίαν* Ox. Tum *Ὀδύσσου* Ox. frequenti vitio. Apud Hieroclem p. 636. veram scripturam servavit liber Wesselingii Proleg. p. 630. 12. *Ἰλλυρικιανός* Ch., *Ἰουλλιρυκιανός* Ox. Fort. addendum *ὁ*. 15. *Ὀδύσῳ* et 18. 20. *Ὀδύσσου* et *Ὄδυσσον* Ox.

dict. IX. Quo Alexandrinorum facto commotus Imperator, a multis eorum, ob vim Praefecto suo illatam, poenas exegit.

Ejusdem sub Imperio Vitalianus Thrax, vindictam praetexens Episcoporum exulantium, arma sumpsit; et collecto sibi Hunnorum et Bulgarorum numeroso exercitu, Thraciam, Scythiam, Mysiamque, Odyssum usque et Anchialum occupavit. Adversus hunc Imperator Hypatium, Thraciae militum Magistrum, emisit: qui, praelio cum eo commisso, proditione quadam captus, in Vitaliani manus devenit: numeratoque pecuniarum ingenti pondere, Romanis iterum restitutus est. Constantinopolim vero post reversum, Imperator magistratu abdicavit; subrogato in locum ejus Cyrillo Illyriciano; qui et ipse cum Vitaliano armis decertabat. Praelio autem commisso, plurimi utrinque ceciderunt: Cyrillus autem superior factus, Odyssum urbem se recepit; Vitaliano etiam ex regionibus illis recedente. Vitalianus interim, missis per cognatos eorum qui ad portas Odyssi excubias agebant, pecuniis, factisque etiam pollicitationibus aliis quibusdam, Custodes corruperat. Proditione itaque facta, Vitalianus urbem noctu ingreditur, captumque ibi Thraciae Militum Magistrum, Cyrillum interfe-

τὴν Θρᾴκην καὶ τὴν Εὐρώπην, ἕως οὗ ἦλθεν ἐν Σύκαις καὶ ἐπὶ τὸν ἀνάπλουν πέραν Κωνσταντινουπόλεως, βουλόμενος καὶ αὐτὴν Κωνσταντινούπολιν λαβεῖν. καὶ ἐκάθητο ἐν τῷ ἀνάπλῳ ἐπὶ τὸ λεγόμενον Σωσθένην ἐν τῷ εὐκτηρίῳ τοῦ ἀρχαγγέλου Μιχαήλ. ὁ δὲ βασιλεὺς Ἀναστάσιος πρῴην μὲν ἦν μεταστειλάμενος διὰ Μαρίνου τὸν φιλόσοφον Πρόκλον τὸν Ἀθηναῖον, ἄνδρα περιβόητον, καὶ εἶπεν αὐτῷ ὁ βασιλεὺς Ἀναστάσιος, Τί ἔχω ποιῆσαι τῷ κυνὶ τούτῳ, ὅτι οὕτως ταράσσει με καὶ τὴν πολιτείαν, φιλόσοφε; ὁ δὲ Πρόκλος εἶπεν αὐτῷ, Μὴ ἀθυμήσεις, B *βασιλεῦ· φεύγει γὰρ καὶ ἀπέρχεται, ἢ μόνον πέμψεις κατ᾽ αὐτοῦ τινας. καὶ εὐθέως ὁ βασιλεὺς Ἀναστάσιος εἶπε Μαρίνῳ τῷ Σύρῳ τῷ ἀπὸ ἐπάρχων, ἑστῶτι πλησίον ὅτε διελέγετο ὁ βασιλεὺς τῷ φιλοσόφῳ Πρόκλῳ, ὁπλίσασθαι κατὰ τοῦ αὐτοῦ Βιταλιανοῦ, ὄντι εἰς τὸ πέραν Κωνσταντινουπόλεως. καὶ λέγει Πρόκλος ὁ φιλόσοφος ἔμπροσθεν τοῦ βασιλέως Μαρίνῳ τῷ Σύρῳ, Ὃ δίδωμί* O 121 *σοι λάβε, καὶ ἔξελθε κατὰ τοῦ αὐτοῦ Βιταλιανοῦ. καὶ ἐκέλευσεν ὁ αὐτὸς φιλόσοφος ἐνεχθῆναι τὸ λεγόμενον θεῖον ἄπυρον πολύ, εἰπὼν τριβῆναι αὐτὸ ὡς εἰς μῖγμα λεπτόν, καὶ δέδωκε τῷ αὐτῷ Μαρίνῳ, εἰρηκὼς αὐτῷ ὅτι Ὅπου ῥίψεις ἐξ αὐτοῦ* C *εἴτε εἰς οἶκον εἴτε ἐν πλοίῳ μετὰ τὸ ἀνατεῖλαι τὸν ἥλιον, εὐθέως ἅπτεται ὁ οἶκος ἢ τὸ πλοῖον καὶ ὑπὸ πυρὸς ἀναλίσκεται. ὁ δὲ Μαρῖνος παρεκάλεσε τὸν βασιλέα ἵνα ἕνα τῶν στρατηλατῶν αὐτοῦ πέμψῃ λαμβάνοντα τὸ βοήθημα· καὶ εὐθέως μετε-*

9. ἀθυμήσεις] Malim ἀθυμήσῃς.

cit. Tum vero Thraciam rursus omnem et Europam depraedabatur, ad Sycas etiam ipsas perveniens Trajectumque Constantinopolitanum; urbem etiam ipsam invadere in animo habens. Itaque in Trajectu ipso, ad S. Michaelis Archangeli, quae in Sosthenio est, Aedem Oratoriam, cum suis consedit. Imperator autem, accersito prius per Marinum Proclo, Philosopho Atheniensi, magni nominis viro: „Dic Philosophe, inquit ei Anastasius Imperator, quid de Cane hoc facturus sum, qui sic Me Rempublicamque perturbat?“ Respondet ei Proclus: „Animum ne despondeas Imperator; quamprimum enim armatos aliquot in illum emiseris, fugam sine mora capessurus est.“ Edixit itaque Imperator Marino Syro, Expraefecto, qui ei cum Proclo verba facienti adstabat, uti ipse Vitalianum, qui e regione Constantinopolis cum copiis suis consederat, adoriretur. Proclus autem Philosophus Marinum Syrum, coram Imperatore, in hunc modum allocutus; „Tu, inquit, Vitalianum adorturus, quod tibi dabo, modo sumas velim.“ Jussit itaque Philosophus ingens vivi sulphuris pondus adduci; quod in partes minutissimas contritum, Marino dedit: „Hoc, inquiens, quibuscunque tu tectis aut navigiis superinjeceris, ea statim ab exortu solis accensa conflagrare videbis, adeoque ab ignibus absumi. Sed Marinus quoque Imperatorem adhortatus est, uti aliquem ex Magistris Militum, ar-

στείλατο ὁ βασιλεὺς Πατρίκιον τὸν Φρύγα, τὸν στρατηλάτην, καὶ Ἰωάννην τὸν Βαλεριανῆς, καὶ εἶπεν αὐτοῖς ὁπλίσασθαι κατὰ τοῦ αὐτοῦ Βιταλιανοῦ εἰς τὸ πέραν, λαμβάνοντας πλοῖα δρομώνων καὶ στρατιώτας. καὶ ἔπεσαν ἐπὶ τοὺς πόδας τοῦ βασιλέως, λέγοντες ὅτι Καὶ αὐτοῦ καὶ τοῦ πατρὸς αὐτοῦ οἱ δύο ἡμεῖς φίλοι ἤμεθα· καὶ μὴ συμβῇ τινα ἀποτυχίαν γενέσθαι, D *καὶ ὑπονοηθῶμεν ὡς προδόται. καὶ ἀγανακτήσας κατ' αὐτῶν ὁ βασιλεὺς ἔβαλεν αὐτοὺς ἔξω τοῦ παλατίου, καὶ κελεύσας Μαρίνῳ τῷ Σύρῳ λαβεῖν τοὺς δρόμωνας καὶ τὸ θεῖον ἄπυρον καὶ τὴν στρατιωτικὴν βοήθειαν ὁπλισαμένην, καὶ ἐξελθεῖν κατὰ τοῦ αὐτοῦ Βιταλιανοῦ. ἀκούσας δὲ Βιταλιανὸς ὅτι μετὰ πολλῆς βοηθείας ἐξέρχεται ὁ Μαρῖνος κατ' αὐτοῦ, ὅσα εὗρε πλοῖα ἐκράτησε καὶ ἐγόμωσεν αὐτὰ Οὐννικὴν καὶ Γοτθικὴν χεῖρα ὡπλισμέ-* O 122 *νους. καὶ ὥρμησεν εἰσελθεῖν εἰς Κωνσταντινούπολιν, θαῤῥῶν ὅτι πάντως αὐτὴν λαμβάνει, καὶ Μαρῖνον δὲ ἀπαντῶντα ἀναλίσκει μεθ' ἧς ἔχει βοηθείας. ὁ δὲ Μαρῖνος ἐῤῥόγευσε τὸ θεῖον ἄπυρον, ὃ ἔδωκεν αὐτῷ ὁ φιλόσοφος, εἰς ὅλα τὰ πλοῖα τῶν δρομώ-* E *νων, εἰρηκὼς τοῖς ναύταις καὶ τοῖς στρατιώταις ὅτι οὐ χρεία ὅπλων, ἀλλ' ἵνα ῥίπτετε ἐκ τούτου εἰς τὰ ἐρχόμενα κατέναντι ὑμῶν πλοῖα καὶ καίονται. εἰ δὲ πέραν ἀπέλθωμεν εἰς τοὺς οἴκους, ἔνθα εἰσὶν οἱ ἐχθροὶ τοῦ βασιλέως, ἐκεῖ ῥίψατε. ὁ δὲ Μαρῖνος, καθὼς εἶπεν αὐτῷ ὁ φιλόσοφος ὅτι ἀνάπτονται ὑπὸ*

3. *δρομώνων*] *δρομόνων* Ox. Sic et v. 17. 16. *ἐῤῥόγευσε* Ch., *ἐρόγευσε* Ox.

mata manu instructum, belli socium sibi daret. Accersitis itaque Patricio Phryge, Militum Magistro, et Joanne, Valerianae F. edixit illis Imperator; uti cum militum et navigiorum apparatu trajicientes, Vitalianum adorirentur. Ad pedes itaque ejus hi procidentes; „Nos, inquiunt, Tui ipsius Patrisque tui amicissimi semper fuimus: [veremur autem] ne, si quid secius acciderit, Nos proditionis postularemur.“ Sed movebant haec Imperatori stomachum: itaque duobus illis ex Palatio ejectis, Marino Syro negotium dedit; uti dromonibus et armata manu acceptis, et assumpto secum vivo sulphure, Vitalianum ipse aggrederetur. Vitalianus autem ubi audierat Marinum, copiis magnis instructum, sibi imminere adversarium; navigiorum quodcunque potuit corrasit: quibus Gothicis Hunnicisque copiis onustis, Constantinopolim ipsam aggredi in animo habuit; inani scilicet spe fretus ipsam occupandi, Marinumque obviam sibi prodeuntem, cum copiis ejus omnibus, opprimendi. Marinus autem de vivo illo Sulphure, quod a Philosopho acceperat, navigiis undique distribuit; Nautis insuper indicans et militibus, nil armis opus esse; modo ut de vivo illo sulphure acciperent jussit, navibusque in adversum occurrentibus immitterent; quae exinde statim conflagraturae essent. Quod si ulteriorem etiam ripam occupare potuerint, hoc ipsum tectis hostium Imperatoris uti injicerent, in mandatis dedit. Marinus itaque, ubi prae-

τοῦ πυρὸς τὰ πλοῖα καὶ ποντίζονται αὔτανδρα, παρήγγειλεν αὐτοῖς
ῥίπτειν· καὶ ὥρμησεν εἰς τὸ πέραν κατὰ Βιταλιανοῦ καὶ τῶν ἀν-
θρώπων αὐτοῦ. καὶ κατήντησαν καὶ τὰ πλοῖα Βιταλιανοῦ, καὶ
εὑρέθησαν ἔγγιστα ἀλλήλων κατέναντι τῆς ἁγίας Θέκλης τῆς ἐν Σύ- V 44
καις εἰς τὸν τόπον τοῦ ῥεύματος ὅπου λέγεται τὸ βυθάριν. καὶ γί-
νεται ἐκεῖ ἡ ναυμαχία ὥραν τρίτην τῆς ἡμέρας· καὶ ἀνήφθησαν
ἐξαίφνης ὑπὸ πυρὸς τὰ πλοῖα ἅπαντα Βιταλιανοῦ τοῦ τυράννου καὶ O 123
ἐποντίσθησαν εἰς τὸν βυθὸν τοῦ ῥεύματος μεθ' ὧν εἶχον Γότθων
καὶ Οὕννων καὶ Σκυθῶν στρατιωτῶν συνεπομένων αὐτῷ. ὁ δὲ Βι-
ταλιανὸς καὶ οἱ εἰς τὰ ἄλλα πλοῖα προσεσχηκότες τὸ γεγονός, ὅτι
ὑπὸ πυρὸς αἰφνίδιον ἀνάπτονται τὰ ἑαυτῶν πλοῖα, ἔφυγον καὶ ὑπέ-
στρεψαν ἐπὶ τὸν ἀνάπλουν. Μαρῖνος δὲ ὁ ἀπὸ ἐπάρχων περά-
σας ἐν Σύκαις, ὅσους εὗρε τῶν Βιταλιανοῦ εἰς τὰ προάστεια ἢ
εἰς οἴκους, ἀνεῖλε, καταδιώκων αὐτοὺς ἕως τοῦ ἁγίου Μάμαντος·
καὶ γενομένης ἑσπέρας ἔμεινε Μαρῖνος καὶ ἡ βοήθεια αὐτοῦ φυ- B
λάττουσα τὰ ἐκεῖ. ὁ δὲ Βιταλιανὸς ἔφυγε νυκτὸς μετὰ τῶν
ὑπολειφθέντων αὐτῷ ἐκ τοῦ ἀνάπλου, ὁδεύσας ἐν τῇ αὐτῇ νυ-
κτὶ μίλια ξ'· καὶ πρωίας γενομένης οὐδεὶς εὑρέθη εἰς τὸ πέραν
ἐκ τοῦ αὐτοῦ Βιταλιανοῦ, καὶ ἐνίκησεν ὁ σωτὴρ Χριστὸς καὶ O 124
ἡ τοῦ βασιλέως τύχη. καὶ ἐποίησε πρόκεσσον ὁ βασιλεὺς Ἀνα-
Μετὰ δὲ τὴν βασιλείαν Ἰουστίνου ἐβασίλευσεν ὁ θειότατος A Ἰουστινιανὸς ἔτη λή καὶ μῆνας ζ' καὶ ἡμέρας ιγ' ἐν μηνὶ ἀπριλλίῳ πρώτῃ, ἰνδικτιῶνι πέμπτῃ, ἔτους χρηματίζοντος κατὰ Ἀντιόχειαν πεντακοσιοστοῦ ἑβδομηκοστοῦ πέμπτου, ἐπὶ τῆς ὑπατείας Μαβορτίου. ἦν δὲ τῇ ἰδέᾳ κονδοειδής, εὔστηθος, εὔρινος, λευκός, οὐλόθριξ, στρογγύλοψις, εὔμορφος, ἀναφάλας, ἀνθηροπρόσωπος, μιξοπόλιος τὴν κάραν καὶ τὸ γένειον, O 152 μεγαλόψυχος, χριστιανός. ἔχαιρε δὲ τῷ Βενέτῳ μέρει, καὶ αὐτὸς δὲ ὢν Θρᾷξ ἀπὸ Βεδεριάνας.

Ὁ δὲ αὐτὸς βασιλεὺς ἐπὶ τῆς ἕκτης ἐπινεμήσεως τῷ ὀκτωβρίῳ μηνὶ προηγάγετο κόμητα ἀνατολῆς ἐν Ἀντιοχείᾳ ὀνόματι B Πατρίκιον, Ἀρμένιον· ᾧτινι δέδωκε χρήματα πολλά, κελεύσας

5. κοντοειδής Ox. 9. Θρᾶξ Ox. Eadem Βεδεριανᾶς.

LIBER XVIII.

DE TEMPORIBUS JUSTINIANI IMPERATORIS.

Post Justinum mortuum imperium tenuit divinissimus Justinianus, annos XXXVIII, menses VII et dies XIII, inauguratus Aprilis die I, Indictione V, Mavortio tum Cos. anno autem Aerae Antiochensis DLXXV. Erat hic statura curta, pectore firmo, naso justo, candidus, capillo crispo, facie rotunda, formosus, recalvaster, vultu florido, capite mentoque subcanescentibus et Christianae religionis strenuus propugnator. Factioni autem *Prasinae* studebat; ex Bederiana vero Thracum et ipse ortum suum habuit.

Idem Imperator mense Octobri, Indict. VI, Comitem Orientis Antiochiae designavit, Patricium Armenium nomine: traditaque ei pecuniarum vi magna, mandavit uti profectus ipse urbem Phoeniciae, Palmyram vo-

αὐτῷ ἀπελθεῖν καὶ ἀνανεῶσαι πόλιν τῆς Φοινίκης εἰς τὸ λίμιτον τὴν λεγομένην Πάλμυραν καὶ τὰς ἐκκλησίας καὶ τὰ δημόσια, κελεύσας καὶ ἀριθμὸν στρατιωτῶν μετὰ τῶν λιμιτανέων καθέζεσθαι ἐκεῖ καὶ τὸν δοῦκα Ἐμίσσης πρὸς τὸ φυλάττεσθαι τὰ Ῥωμαϊκὰ καὶ Ἱεροσόλυμα. ἡ δὲ Πάλμυρα πρῴην μὲν μεγάλη ὑπῆρχεν, ἐπειδὴ ὁ Δαβὶδ ἐν αὐτῷ τῷ τόπῳ πρὸ τοῦ κτισθῆναι πόλιν ἐμονομάχησε μετὰ τοῦ Γολιὰθ ὡπλισμένου ὄντος. ὅστις Γολιὰθ λίθῳ λαβὼν ἔπεσε, καὶ δραμὼν ὁ Δαβὶδ ἀπεκεφάλισεν αὐτὸν εἰς ὃ ἐπεφέρετο ὁ Γολιὰθ ξίφος, καὶ τὴν κεφαλὴν
C αὐτοῦ λαβὼν κατέσχεν ἐπὶ ἡμέρας, καὶ εἶθ' οὕτως ἐν Ἱεροσολύμοις εἰσήγαγεν αὐτὴν μετὰ νίκης ἔμπροσθεν αὐτοῦ εἰς κοντὸν βασταζομένην. διὰ τοῦτο Σολομὼν ὁ βασιλεὺς ὑπὲρ τῆς νίκης τοῦ αὐτοῦ πατρὸς Δαβὶδ ἐποίησεν αὐτὴν πόλιν μεγάλην, ἐπι-
O 153 θεὶς αὐτῇ τὸ ὄνομα Πάλμυραν, ὡς γενομένην μοῖραν τῷ Γολιάθ. τὸ δὲ πρῴην ἐφύλαττεν ἡ αὐτὴ πόλις καὶ τὰ Ἱεροσόλυμα, ὅθεν καὶ Ναβουχοδονόσορ ὁ βασιλεὺς Περσῶν δι' αὐτῆς παρελθὼν πρώτην αὐτὴν παρέλαβε πολλῷ κόπῳ· ἐφοβεῖτο γὰρ ὄπισθεν αὐτὴν ἐᾶσαι· πλῆθος γὰρ στρατιωτῶν Ἰουδαίων ἐκάθητο ἐκεῖ· ἥντινα παραλαβὼν καύσας ἔστρεψε, καὶ οὕτως τὴν Ἱερουσαλὴμ παρέλαβεν.

Ὁ δὲ αὐτὸς Ἰουστινιανὸς δέδωκεν ὑπατείαν τῇ ἕκτῃ ἐπινεμήσει τῷ ἰανουαρίῳ μηνί.

2. *Παλμυρὰν* Ox. hic et infra. 11. *κόντον* Ox. 14. *αὐτῇ*] *αὐτῆς* Ox. *ibid.* *μοῖραν*] Consulto hic omisit *πάλαι*, quod posuit vol. I. p. 60. B. 22. *Ἰαννουαρίῳ* Ox.

catam, ad Imperii fines sitam, et collapsas inibi ecclesias et aedificia publica de novo excitaret: Numerum etiam Militum Limitaneis adjici jussit, qui sub Duce Emisseno ibi considerent, in Hierosolymorum Romanique Imperii finium custodiam. Erat autem Palmyra olim urbs magna: hoc enim in loco, ante jacta ibi urbis fundamina, Davidus Goliam armatum singulari aggressus certamine lapillo prostravit, accurrensque caput Goliae sui ipsius gladio amputavit. Quod sibi sumens, per aliquod tempus secum habuit: contoque deinde affixum, in Victoriae signum, Hierosolymis, sibi praeferri voluit. Rex itaque Salomon, in memoriam Victoriae hujus, a Davide patre reportatae, speciosam ibi urbem condidit: nomenque ei, a Goliae fato, Palmyram dedit. Antehac enim urbs ista Hierosolymis cedebat in propugnaculum: unde Rex Persarum Nabuchadonosorus, Hierosolymam bello petens, urbemque hanc, numeroso Judaeorum praesidio instructam, a tergo relinquere haud tutum existimans, ipsam prius, multo licet labore, cepit, captamque incendiis vastavit: Hierosolymas vero ipsas deinde occupavit.

Justinianus autem mense Januario, Indict. vi, nummos Consulares in populum spargebat.

Ἐν δὲ τῷ αὐτῷ χρόνῳ ὁ Πέρσης ἐπολέμησε τῷ Λαζῶν βασιλεῖ V 54 Ζταθίῳ, ὡς προσρυέντι Ῥωμαίοις. ὁ δὲ Λαζῶν βασιλεὺς πέμψας ἐδεήθη τοῦ βασιλέως Ῥωμαίων, αἰτῶν βοήθειαν παρ' αὐτοῦ λαβεῖν· καὶ πέμψας αὐτῷ ὁ βασιλεὺς Ἰουστινιανὸς στρατηλάτας τρεῖς, Γιλδέριχ καὶ Κήρυκον καὶ Εἰρηναῖον, μετὰ πολλῆς βοηθείας Ῥωμαϊκῆς, καὶ συγκρούσαντες πόλεμον, ἔπεσον ἐξ ἀμφοτέρων πολλοί. καὶ ἀκούσας ὁ βασιλεὺς Ῥωμαίων ἠγανάκτησε κατὰ τῶν στρατηλατῶν, ὅτι φθόνῳ φερόμενοι πρὸς ἑαυτοὺς οἱ στρατηλάται Ῥωμαίων προδεδώκασιν ἀλλήλους. καὶ ἀγανακτήσας ὁ βασιλεὺς κατ' αὐτῶν διεδέξατο αὐτούς· καὶ κατελθόντος Πέτρου στρατηλάτου καὶ ἀποκινήσαντος αὐτοὺς O 154 τῆς ἐξαρχίας καὶ λαβόντος τὰ ἐξπέδιτα παρ' αὐτῶν, ἀνεχώρησεν B ἐκεῖθεν.

Ὁ δὲ αὐτὸς βασιλεὺς ἀνενέωσε πόλιν τῆς Ἀρμενίας ὀνόματι Μαρτυρόπολιν, μετονομάσας αὐτὴν Ἰουστινιανόπολιν, ποιήσας τὰ τείχη αὐτῆς καὶ τοὺς ἐμβόλους, ἦσαν γὰρ τῷ χρόνῳ φθαρέντες, μετενέγκας ἐκεῖ καὶ ἀνατολικὸν ἀριθμόν. ἐν δὲ τῷ αὐτῷ χρόνῳ προσεῤῥύη Ῥωμαίοις ὁ ῥὴξ τῶν Ἐρούλων ὀνόματι Γρέπης· καὶ ἦλθεν ἐν Βυζαντίῳ μετὰ ἰδικῆς βοηθείας, καὶ προσεκύνησε τὸν βασιλέα Ἰουστινιανὸν καὶ ᾔτησεν ἑαυτὸν γενέσθαι χριστιανόν. καὶ βαπτισθεὶς ἐν ἁγίοις θεοφανίοις ἀνάδοχος αὐτοῦ ἐγένετο τοῦ ἀχράντου βαπτίσματος ὁ αὐτὸς βασιλεὺς Ἰουστινιανός· ἐφωτίσθησαν δὲ σὺν αὐτῷ καὶ οἱ συγκλητικοὶ αὐ- C

12. ἐξπεδίτα Ch., ἐχρεδίτα Ox., ἐξπαιδίτα Chron. p. 335. B. Scriptum fuerat EXPEDITA. 18. Ἐρούλων Ch., Ἐρούλλων Ox.

Eodem tempore Persa Lazorum Regi Ztathio, quod Romanorum in partes discessisset, bellum intulit. Auxilium itaque Lazorum rex petit a Justiniano, Romanorum Imperatore; qui etiam votis ejus annuens, tres Duces, Gilderichum, Cerycum et Irenaeum, magnis instructos copiis Romanis, ei in auxilium mittit. Praelio deinde commisso, multi utrinque ceciderunt. Imperator autem edoctus Duces hosce, mutuo flagrantes odio, sese invicem hosti prodidisse, ira commotus, Magistratibus eos abdicavit; Petrumque misit, qui profectus, dignitate eos amovit; et Copiarum ipse Dux factus abinde recessit.

Idem Imperator Martyropolim, Armeniae urbem, instauravit, murisque ejus et porticibus vetustate collapsis, de integro excitatis, collocatoque ibi Numero Orientali, nomen Urbi Justinianopolim dedit. Sub id tempus Herulorum Rex Grepes, Societatem cum Romanis initurus, exercitu proprio stipatus, Byzantium venit, supplexque ab Imperatore petit, uti Christianus ipse fieret. Sanctis itaque Theophaniis ipse, cum proceribus suis et Cognatis duodecim, sacro Baptismatis lavacro illuminatus est, Imperatore ipso Justiniano eum ex immaculato fonte suscipiente. Tum vero Imperator abunde muneribus donatum eum in patriam suam cum

τοῦ καὶ συγγενεῖς αὐτοῦ δώδεκα. καὶ πολλὰ χαρισάμενος αὐτῷ ἀπέλυσεν αὐτόν, καὶ ὥδευσεν ἐπὶ τὴν ἰδίαν χώραν μετὰ τῆς ἑαυτοῦ βοηθείας, εἰπόντος αὐτῷ τοῦ βασιλέως Ῥωμαίων ὅτι Ὅταν βουληθῶ, δηλῶ σοι.

Ἐν δὲ τῇ αὐτοῦ βασιλείᾳ ἐκωλύθησαν αἱρέσεις διάφοροι, καὶ
O 155 ἀπεσπάσθησαν αἱ ἐκκλησίαι παρ' αὐτῶν δίχα τῶν λεγομένων Ἐξακιονιτῶν Ἀρειανῶν.

Γίνεται οὖν ὁ πᾶς χρόνος ἀπὸ τῆς ἀρχῆς Αὐγούστου τοῦ καὶ Ὀκταβιανοῦ Ἰμπεράτορος ἕως τῆς συμπληρώσεως τῆς δευτέρας ὑπατείας τοῦ βασιλέως Ἰουστινιανοῦ ἰνδικτιῶνος ζ' ἔτη φνθ', ὡς εἶναι τὰ πάντα ἔτη ἀπὸ τοῦ Ἀδὰμ ἕως τῆς αὐτῆς
D ἰνδικτιῶνος ἔτη ,ςυϟζ', καθὼς εὗρον τὸν ἀριθμὸν τῶν ἐνιαυτῶν ἐν τοῖς συντάγμασι Κλήμεντος καὶ Θεοφίλου καὶ Τιμοθέου τῶν χρονογράφων ὁμοφωνησάντων. ἐν δὲ τοῖς χρόνοις Εὐσεβίου τοῦ Παμφίλου εὗρον τὸν ἀριθμὸν τῶν ἐτῶν ἀπὸ Ἀδὰμ ἕως τῆς
O 156 ὑπατείας Ἰουστινιανοῦ βασιλέως τῆς ἑβδόμης ἰνδικτιῶνος ἔτη ,ςυλβ'. ἀκριβέστερον δὲ μᾶλλον οἱ περὶ Θεόφιλον καὶ Τιμόθεον ψηφίσαντες τοὺς χρόνους ἐξέθεντο. πάντων οὖν τὰ συγγράμματα φέρει ἕκτην χιλιάδα ἐνιαυτῶν περαιωθεῖσαν. ἔστι δὲ καὶ ἀπὸ κτίσεως Ῥώμης ἕως τῆς δευτέρας ὑπατείας τοῦ θειοτάτου Ἰουστινιανοῦ ἔτη ,ασπ' μικρῷ πλέον ἢ ἔλασσον, ἀπὸ δὲ τῆς κτίσεως Κωνσταντινουπόλεως ἕως τῆς προγεγραμμένης
E ὑπατείας Ἰουστινιανοῦ καὶ τῆς συμπληρώσεως τῆς ἑβδόμης ἰν-

8. τοῦ addidit Ch. 14. χρόνοις] „Forte scribendum χρονικοῖς." Ch. *ibid.* Εὐσεβίου] V. ad vol. I. p. 22. A. Conf. Schurzfleisch. Not. Bibl. Vinar. p. 56. s. 20. ἕως addidit Ch.

exercitu suo remisit. Discessuro autem Imperator dixit: „sicubi te velim, per literas certiorem te faciam."

Ejusdem sub Imperio Haeresibus variis interdictum est, ademptis etiam Haereticorum templis, Exocionitis Arianis solis exceptis.

Caeterum ab Augusti Octaviani imperii initio, ad secundum usque Justiniani Consulatum Indict. VII. absolutum, anni numerantur DLIX. Itaque ab Adamo, ad eandem Indictionem VII. in universum intercesserunt anni MMMMMMCCCCXCVII, juxta annorum Computum, quem in Clementis, Theophili, ac Timothei, Chronographorum inter se concordium, scriptis inveni. Eusebii enim Pamphili si ratiocinia sequamur, ab Adamo ad secundum Justiniani Consulatum, Indict. VII, anni habentur MMMMMMCCCCXXXII. Sed longe accuratior is est, quem Theophilus, ac Timotheus instituerunt, rationum calculus. Ut ut in eo omnes conveniunt, exitum suum habuisse sextum Mundi Millenarium. Ab urbe autem condita, ad secundum usque sacratissimi Justiniani Consulatum, anni plus minus intercesserunt MCCLXXX. A condita autem Constantinopoli, ad eundem Justiniani Consulatum et in-

δικτιῶνος ἔτη ρϟθ'. τῶν ἀρχαίων δὲ βασιλέων τοὺς χρόνους
οὐ δεῖ ψηφίζειν κατὰ τὸν προειρημένον ἀριθμὸν τῆς βασιλείας
αὐτῶν διὰ τὸ καὶ δύο ἅμα βασιλεῦσαι. ὡσαύτως δὲ καὶ τὰ
τέκνα αὐτῶν ἐκ παιδόθεν ἔστεφον οἱ πατέρες καὶ μετ' αὐτῶν ἐβα-
σίλευον. ὁ οὖν χρονογράφος ἀνάγκην ἔχει γράφειν τοὺς χρό-
νους ὅσους ἐβασίλευσεν ἕκαστος βασιλεύς. δεῖ οὖν τοὺς ἀναγι-
νώσκοντας χρονικὰ συγγράμματα τῇ ποσότητι προσέχειν τῶν δια- V 55
δραμόντων χρόνων καὶ μόνον ἐπὶ τῆς τῶν προγεγραμμένων πάν-
των βασιλείας.

Ἐν δὲ τοῖς χρόνοις τούτοις, ὡς προεῖπον, ἐβασίλευσεν ὁ θειό- O 157
τατος Ἰουστινιανός, τῶν δὲ Περσῶν βασιλεὺς Κωάδης ὁ Δα-
ράσθενος, ὁ υἱὸς Περόζου, ἐν δὲ Ῥώμῃ Ἀλλάριχος, ἔκγονος τοῦ
Οὐαλεμεριακοῦ, τῆς δὲ Ἀφρικῆς ῥὴξ Γιλδέριχ ὁ ἔκγονος Γινζι-
ρίχου, τῶν δὲ Ἰνδῶν Αὐξουμιτῶν ἐβασίλευσεν Ἄνδας ὁ γεγονὼς
χριστιανός, τῶν δὲ Ἰβήρων Σαμαναζός.

Ἐν δὲ τῷ προγεγραμμένῳ ἔτει τῆς βασιλείας Ἰουστινιανοῦ
κατεπέμφθη στρατηλάτης Ἀρμενίας ὀνόματι Ζτίττας. ἐν γὰρ
τοῖς προλαβοῦσι χρόνοις οὐκ εἶχεν ἡ αὐτὴ Ἀρμενία στρατηλάτην, B
ἀλλὰ δοῦκας καὶ ἄρχοντας καὶ κόμητας. δέδωκε δὲ ὁ αὐτὸς
βασιλεὺς τῷ αὐτῷ στρατηλάτῃ ἀριθμοὺς στρατιωτῶν ἐκ τῶν
δύο πραισέντων καὶ ἀνατολῆς. καὶ στρατεύσας ἐντοπίους σκρι-

12. Ἀλλάριχος] Ἀταλάριχος Ch. V. ad p. 35. A. 14. Ἄνδας] V. p. 57. B. Ἀδάδ est Cedreno p. 374. B. 16. Σαμαναζός] Ζαβαναρζός Cedrenus p. 371. B.

dictionis VII. exitum, enumerantur anni CXCIX. Imperatorum porro antecedentium tempora non est ut conficias tibi ex antedictis, per quae singuli regnarunt intervallis, ex eo quod nonnulli sceptrum bini tenuerint, filiosque, ab infantia prima diademate insignitos, in imperii societatem parentes asciverint. Et quidem Chronographum decet quot quisque imperator annos regnaverit exponere. At interim Chronica hujusmodi legentes, solis decurrentium annorum intervallis, per singula antecedentium imperatorum regna attendere oportet.

Quo autem tempore sacratissimus Justinianus imperium tenuit, Persarum Rex fuit Coades Darasthenus, Perozi filius.

Romanum vero regnum habuit Alarichus, Africanum, Gilderichus; ille Valemeriaci, hic Gensirici nepos. Indis autem Auxumitis regnavit Andas, qui Christianus factus est, Iberis vero Zamanazus.

Supradicto autem anno imperii Justiniani Ztittas, in Armenia Militum Magister constitutus est; quippe quae antehac Ducibus, Praefectis et Comitibus paruit; Militum vero Magistrum non habuit. Quinetiam ei dedit Imperator Militum Numeros, quos duobus Praesentibus Militiis Orientalique subtraxit. Tzittas autem, Magistratu suscepto, Scriniarios

νιαρίους ἐποίησεν ἑαυτῷ σκρινιαρίους στρατηλατιανοὺς ἀπὸ θείας
σάκρας, αἰτησάμενος τὸν βασιλέα αὐτόχθονας στρατεῦσαι, ὡς
εἰδότας τὰ μέρη τῆς Ἀρμενίας. καὶ παρέσχεν αὐτῷ τοῦτο καὶ
τὰ δίκαια τῶν Ἀρμενίων τῶν δουκῶν καὶ τῶν κομήτων καὶ
O 158 τοὺς ὑπάτους αὐτῶν, πρῴην μὲν ὄντας καστρισιανοὺς στρατιώ-
τας· ἦσαν γὰρ καταλυθεῖσαι αἱ πρῴην οὖσαι ἀρχαί. ἔλαβε δὲ
καὶ ἀπὸ τοῦ στρατηλάτου ἀνατολῆς ἀριθμοὺς τέσσαρας· καὶ γέ-
C γονεν ἔκτοτε μεγάλη παραφυλακὴ Ῥωμαίοις. ἦν δὲ καὶ ὁ ἀνὴρ
πολεμικός· ὅστις καὶ τὴν ἀδελφὴν Θεοδώρας τῆς Αὐγούστας
ἠγάγετο πρὸς γάμον, ὀνόματι Κομιτώ, νυμφευθεῖσαν ἐν τοῖς Ἀν-
τιόχου, πλησίον τοῦ Ἱππικοῦ Κωνσταντινουπόλεως.

Ἐν δὲ τῷ αὐτῷ χρόνῳ ἐξεφώνησεν ὁ αὐτὸς βασιλεὺς θεῖον
τύπον περὶ ἐπισκόπων καὶ ὀρφανοτρόφων καὶ οἰκονόμων καὶ
ξενοδόχων, εἰ μὴ ὅσα πρὸ τοῦ γενέσθαι ἕκαστος τῶν προειρημέ-
νων εἶχεν ἐν ὑποστάσει περιουσίας, εἰς ταῦτα καὶ μόνα ἵνα δια-
O 159 τίθηται, καὶ εὐθέως, ἢ μόνον προεχειρίσθη, ἐδηλοῦτο ἡ αὐτοῦ
περιουσία.

D Ἐν δὲ τῷ αὐτῷ χρόνῳ ἀνενεώθη τὰ μέρη Συκῶν καὶ τὸ
θέατρον καὶ τὰ τείχη, μετονομάσας αὐτὴν Ἰουστινιανούπολιν.

Ἐν αὐτῷ δὲ τῷ χρόνῳ προσεῤῥύη Ῥωμαίοις ῥήγισσα ἐκ τῶν
Σαβείρων Οὔννων, γυνή τις ἀνδρεία καὶ πλήθει καὶ φρονήσει,
ὀνόματι Βώα, χήρα, ἔχουσα δὲ μικροὺς υἱοὺς δύο καὶ ὑπ' αὐ-

10. *Κομιτώ* Ch., *Κομητῶ* Ox. 18. *ἀνενεώσθη* Ox. Quod potest etiam *ἀνενέωσε* scribi.

indigenas sibi accepit: Imperatorem etiam exoratum habuit, uti Divino suo ex Edicto, Scriniarii Militiae inservientes, ex indigenis (ut qui Armeniae regiones penitius callerent,) deinceps deligerentur. Et quidem Imperator ei non hoc solum, sed Armeniorum quoque Ducum, Comitumque jura, sicuti et Consulum, qui prius Castrenses fuerant Milites, dicendorum concessit: qui olim enim ibi obtinuerunt, Principatus in posterum exoluerunt. Sed et a Militum et Orientis Magistro Numeros etiam quatuor accepit: cessitque deinceps magnum Romanis in praesidium. Erat hic vir in bello strenuus; in uxorem autem duxit Theodorae Augustae sororem, nomine Comitonam, quam in aedibus Antiochi, prope Circum Constantinopolitanum sitis, sibi desponsatam habuit.

Sub idem tempus Imperator sacro suo Edicto de Episcopis, Orphanotrophis Oeconomis et Xenodochiariis cavit, ne nisi de iis quae ante munus susceptum habuerint bonis, testamentum emitterent; a munere vero suscepto statim ut bonorum suorum tabulae producerentur.

Eodem tempore Imperator Sycarum ruinas excitavit; et instauratis ibi Theatro moenibusque, Justinianopolim vocavit.

Circa id etiam tempus Romanis adjunxit sese vidua quaedam mulier; Hunnorum Sabirorum regina, nomine Boa, viribus prudentiaque praepol-

τὴν χιλιάδας ἑκατόν· ἥτις ἐδυνάστευσε τῶν Οὐννικῶν μερῶν μετὰ τὴν τοῦ ἰδίου ἀνδρὸς Βλὰχ ἀποβίωσιν. καὶ προτραπεῖσα ὑπὸ τοῦ βασιλέως Ἰουστινιανοῦ ξενίοις πολλοῖς βασιλικῆς φορεσίας καὶ σκευῶν διαφόρων ἐν ἀργύρῳ καὶ χρημάτων οὐκ ὀλίγων, συνελάβετο δορυαλώτους καὶ ἄλλους ῥῆγας δύο Οὔννους, οὕστινας ἦν προτρεψάμενος Κωάδης ὁ τῶν Περσῶν βασιλεὺς E εἰς τὸ συμμαχῆσαι αὐτῷ κατὰ Ῥωμαίων. καὶ παραλαβοῦσα αὐτοὺς ἡ αὐτὴ Βώα ῥήγισσα παριόντας ἐπὶ τὰ Περσικὰ πρὸς Κωάδην, βασιλέα Περσῶν, μετὰ πλήθους βοηθείας χιλιάδων κʹ. ὧντινων τὰ πλήθη κατεσφάγη ἐν τῇ συμβολῇ· τὸν δὲ ἕνα ῥῆγα αὐτῶν ὀνόματι Τύραγξ συλλαβομένη δέσμιον ἔπεμψεν ἐν Κωνσταντινουπόλει τῷ βασιλεῖ Ἰουστινιανῷ, καὶ ἐφούλκισεν O 160 αὐτὸν πέραν ἐν τῷ ἁγίῳ Κόνωνι. ὁ γὰρ Γλὼμ ὁ ἄλλος ῥὴξ V 56 τῶν αὐτῶν Οὔννων ἐσφάγη ἐν τῇ συμβολῇ ὑπὸ τῶν πολεμίων τῆς ῥηγίσσης.

Ἐν αὐτῷ δὲ τῷ χρόνῳ καὶ ὁ πλησίον Βοσπόρου ῥὴξ τῶν Οὔννων ὀνόματι Γρὼδ προσεῤῥύη τῷ αὐτῷ βασιλεῖ· καὶ ἦλθεν ἐν Κωνσταντινουπόλει καὶ ἐφωτίσθη· ὅντινα ὁ αὐτὸς βασιλεὺς ἐδέξατο εἰς φώτισμα, καὶ πολλὰ χαρισάμενος αὐτῷ ἀπέλυσεν αὐτὸν εἰς τὴν ἰδίαν χώραν εἰς τὸ φυλάττειν τὰ Ῥωμαϊκὰ καὶ τὴν Βόσπορον, ἥντινα πόλιν Ἡρακλῆς ὁ ἀπὸ Ἰσπανιῶν ἔκτισε καὶ ἐποίησε συντελεῖν Ῥωμαίοις ἀντὶ χρημάτων βόας O 161 κατ᾽ ἔτος, δεδωκὼς αὐτῇ τῇ πόλει ὄνομα Βοῶν φόρος, ὅπερ καὶ

1. χιλιάδας Ch., χιλιάδες Ox. 21. τὴν Ch., τὸν Ox. V. p. 56. D. 23. ὅπερ] Malim ὅνπερ.

lens. Mater erat haec filiorum duorum parvulorum; quae exercitum cccıↃↃↃ militum sub se habens, regionibus Hunnicis, post Blach conjugis sui obitum imperabat. Haec, quam Justinianus Imperator amplissimis Ornatus Regii muneribus, vasisque ex argento diversis, nec non pecuniarum vi maxima, sibi conciliaverat, alios duos Hunnorum Reges, quos Persarum Rex Coades in belli societatem adversus Romanos asciverat, captivos habuit, nempe eos in Persidem proficiscentes, ad Coadem Persarum regem, cum xx. armatorum Millibus, ipsa adorta est; praelioque commisso, copias eorum totas delevit; unumque etiam ex Regibus, cui Tyranx nomen, in vincula conjectum, Constantinopolim Justiniano Imperatori transmisit: qui etiam eum, in ripa ulteriore, juxta S. Cononem, in furcam egit. Alter enim Hunnorum rex, nomine Glom, in praelio ab Reginae copiis occisus est.

Eodem tempore societatem etiam cum Romanis iniit Hunnorum Rex quidam, qui prope Bosporum regnavit, nomine Grod. Hic Constantinopolim veniens illuminatus est Imperatore ipso eum suscipiente: a quo muneribus etiam abunde donatus, in patriam suam remissus est; ut Res ibi Romanas Bosporumque custodiret. Urbem hanc Hercules ille Hispanus olim condidit; imposito ei, pecuniae loco, Boum tributo, Romanis quot-

συντελεῖν αὐτὴν ἐκέλευσεν. ἐν αὐτῇ δὲ τῇ πόλει ἐκάθισεν ἀρι- B θμὸν στρατιωτῶν Ῥωμαίων, ἤτοι Ἰταλῶν, λεγομένων Ἱσπανῶν, δοὺς αὐτοῖς καὶ τριβοῦνον σὺν αὐτοῖς φυλάττοντα. ἦν δὲ ἐν τῇ πόλει συναλλαγαὶ Ῥωμαίων τε καὶ Οὔννων.

Ὁ δὲ αὐτὸς ῥὴξ ὁ γενόμενος χριστιανὸς ἀπελθὼν ἐπὶ τὴν ἰδίαν χώραν πλησίον Βοσπόρου εὗρε τὸν ἴδιον ἀδελφόν· καὶ ἐάσας αὐτὸν μετὰ βοηθείας Οὐννικῆς ἀνεχώρησεν. ἔσεβον δὲ οἱ αὐτοὶ Οὖννοι ἀγάλματα· καὶ λαβόντες αὐτὰ ἐχώνευσαν· O 162 ἦσαν γὰρ ἀργυρᾶ καὶ ἠλέκτρινα· καὶ κατήλλαξαν αὐτὰ ἐν Βοσπόρῳ, λαβόντες ἀντ᾽ αὐτῶν μιλιαρίσια. καὶ μανέντες οἱ ἱερεῖς τῶν αὐτῶν Οὔννων καὶ ἔσφαξαν τὸν ῥῆγα καὶ ἐποίησαν ἀντ᾽ αὐτοῦ C τὸν αὐτοῦ ἀδελφὸν Μοῦγελ. καὶ πτοηθέντες Ῥωμαίους ἦλθον ἐν Βοσπόρῳ καὶ ἐφόνευσαν τοὺς φυλάττοντας τὴν πόλιν.

Καὶ ἀκούσας ταῦτα ὁ αὐτὸς βασιλεὺς ἐποίησε κόμητα στενῶν τῆς Ποντικῆς θαλάσσης, ὃν ἐκέλευσε καθῆσθαι ἐν τῷ λεγομένῳ Ἱερῷ εἰς αὐτὸ τὸ στομίον τῆς Πόντου, Ἰωάννην τὸν ἀπὸ ὑπάτων, ἀποστείλας αὐτὸν μετὰ βοηθείας Γοτθικῆς. καὶ ἐπεστράτευσε κατὰ τῶν αὐτῶν Οὔννων ὁ αὐτὸς βασιλεὺς πέμψας O 163 διὰ τῆς αὐτῆς Ποντικῆς θαλάσσης πλοῖα γέμοντα στρατιωτῶν καὶ ἔξαρχον, ὁμοίως δὲ καὶ διὰ γῆς πέμψας πολλὴν βοήθειαν καὶ στρατηγὸν Βαδουάριον. καὶ ἀκούσαντες οἱ βάρβαροι, ἔφυ-

4. **συναλλαγαὶ] συναλλαγὴ** Ch., **συναλλάγματα** Theophanes p. 150. A. 17. **Γοττικῆς** Ox., ut aliquoties scriptum apud Cedrenum.

annis pendendo: unde et nomen urbi, a Tributo Boario, Bosphorum dedit. In hac autem urbe Militum Romanorum, nempe Italorum, qui Hispani vocantur, Numerum collocavit; cui Tribunum quoque praefecit, qui cum illis una [urbem] custodiret. Itaque in eadem urbe Romanis cum Hunnis commercia intercesserunt.

Praedictus autem Hunnorum Rex, Christianus factus, in patriam suam Bosphoro vicinam remeavit: ubi cum in fratrem suum incidisset copiis Hunnicis ei commissis, inde discessit ipse. Erant autem Hunni Idolorum Cultores; haec itaque sibi sumentes, (ex argento cum fuerint et electro) refundunt: massasque eorum Bospori pro Miliarisiis permutarunt. Sacerdotes interim ob hoc in furorem conversi, Regem suum e medio tollunt: et in ejus locum, Mugel, fratrem ejus sufficiunt. Sed et a Romanis sibi metuentes, Bosphorum veniunt; Urbisque ibi Custodes interficiunt.

Imperator vero de his certior factus Comitem Angustiarum Pontici Maris Johannem Exconsulem creavit; quem Gothica manu instructum, ad Hierum quod vocant, in ipsis Ponti faucibus consedere jussit. Quinetiam Imperator, adversus Hunnos hosce arma moturus, per mare Ponticum naves Militibus instructas, Classisque Praefectum emittit terrestrem quoque exercitum ingentem, Baduarii sub ductu expedit. Caeterum Barbari his

γον, καὶ γέγονεν ἐν εἰρήνῃ ἡ Βόσπορος, ὑπὸ Ῥωμαίων οἰκουμένη.

Ἐν αὐτῷ δὲ τῷ χρόνῳ συνέβη Ἰνδοὺς πολεμῆσαι πρὸς ἑαυτοὺς D οἱ ὀνομαζόμενοι Αὐξουμῖται καὶ οἱ Ὁμηρῖται· ἡ δὲ αἰτία τοῦ πολέμου αὕτη.

Ὁ τῶν Αὐξουμιτῶν βασιλεὺς ἐνδότερός ἐστι τῶν Ἀμεριτῶν, ὁ δὲ τῶν Ὁμηριτῶν πλησίον ἐστὶ τῆς Αἰγύπτου. οἱ δὲ πραγματευταὶ Ῥωμαίων διὰ τῶν Ὁμηριτῶν εἰσέρχονται εἰς τὴν Αὐξούμην καὶ ἐπὶ τὰ ἐνδότερα βασίλεια τῶν Ἰνδῶν. εἰσὶ γὰρ Ἰνδῶν καὶ Αἰθιόπων βασίλεια ἑπτά, τρία μὲν Ἰνδῶν, τέσσαρα δὲ Αἰθιόπων, τὰ πλησίον ὄντα τοῦ Ὠκεανοῦ ἐπὶ τὰ ἀνατολικὰ μέρη. τῶν οὖν πραγματευτῶν εἰσελθόντων εἰς τὴν χώραν τῶν Ἀμεριτῶν ἐπὶ τὸ ποιήσασθαι πραγματείαν, ἐγνωκὼς Δίμνος ὁ βασιλεὺς τῶν Ἀμεριτῶν, ἐφόνευσεν αὐτοὺς καὶ πάντα τὰ αὐτῶν E ἀφείλετο, λέγων ὅτι οἱ Ῥωμαῖοι οἱ χριστιανοὶ κακῶς ποιοῦσι τοῖς Ἰουδαίοις ἐν τοῖς μέρεσιν αὐτῶν καὶ πολλοὺς κατ᾽ ἔτος φονεύουσι· O 164 καὶ ἐκ τούτου ἐκωλύθη ἡ πραγματεία. ὁ δὲ τῶν Αὐξουμιτῶν βασιλεὺς ἐδήλωσε τῷ βασιλεῖ τῶν Ἀμεριτῶν ὅτι Κακῶς ἐποίησας φονεύσας Ῥωμαίους χριστιανοὺς πραγματευτὰς καὶ ἔβλαψας τὰ ἐμὰ βασίλεια. καὶ ἐκ τούτου εἰς ἔχθραν ἐτράπησαν μεγάλην καὶ συνέβαλον πρὸς ἀλλήλους πόλεμον. ἐν τῷ V 57 δὲ μέλλειν τὸν βασιλέα τῶν Αὐξουμιτῶν πολεμεῖν συνετάξατο

4. V. ad vol. I. p. 54. A. 6. s. Ἀμεριτῶν] Conf. p. 67. Nonnosum Photii cod. 3. 10. βασίλεια Ch., βασιλεῖαι Ox.

auditis fugam capessunt; Bosporumque Romani tranquille deinceps incoluerunt.

Contigit autem eodem tempore bellum Auxumitis cum Homeritis Indis mutuum intercedere, ex causa scilicet ista.

Homeritarum Rex cum propius ab Aegypto absit quam qui interiora occupat rex Auxumitarum, Negotiatores Romani Auxumam interioraque Indorum regna petentes, iter suum per Homeritas faciunt. Indorum enim et Aethiopum septem sunt regna, quorum tria Indorum sunt, quatuor vero, quae Oceano contermina in Orientem vergunt, Aethiopicae sunt ditionis. Negotiatores itaque Romanos ob mercaturam exercendam Partes Homeritarum pertranseuntes Dimnus, Homeritarum rex, aggressus, bonis eos omnibus, vitaque spoliavit: Quippe, dicebat, Judaei a Romanis Christianis, proprios etiam intra fines, male habiti sunt, plurimis eorum quotannis occisioni datis: Exinde igitur Negotiatoribus interdictum est. Rex vero Auxumitarum Homeritensem regem „per litteras interpellans, Male, inquit, egisti, quod Romanorum Christianorum Negotiatores occideris: quod et meo pariter regno detrimentum cessurum est.“ Exinde vero odium inter eos ortum est: quod in bellum tandem mutuum prorupit. Caeterum rex Auxumitarum in bellum profecturus vovebat, si Dimnum Homeritensem regem bello superaverit, Christianum se futurum. „Pro

λέγων ὅτι Ἐὰν νικήσω Δίμνον τὸν βασιλέα τῶν Ἀμεριτῶν, χριστιανὸς γίνομαι· ὑπὲρ γὰρ τῶν χριστιανῶν πολεμῶ αὐτῷ. καὶ νικήσας ὁ βασιλεὺς τῶν Αὐξουμιτῶν καὶ παραλαβὼν αὐτὸν αἰχμάλωτον, ἀνεῖλεν αὐτὸν καὶ πᾶσαν τὴν βοήθειαν αὐτοῦ, καὶ τὴν χώραν καὶ τὰ βασίλεια αὐτοῦ ἔλαβε.

Καὶ μετὰ τὴν νίκην ἔπεμψε συγκλητικοὺς αὐτοῦ δύο καὶ μετ' αὐτῶν διακοσίους ἐν Ἀλεξανδρείᾳ, δεόμενος τοῦ βασιλέως Ἰουστινιανοῦ ὥστε λαβεῖν αὐτὸν ἐπίσκοπον καὶ κληρικοὺς καὶ κατηχηθῆναι καὶ διδαχθῆναι τὰ χριστιανῶν μυστήρια καὶ φω-
O 165 τισθῆναι καὶ πᾶσαν τὴν Ἰνδικὴν χώραν ὑπὸ Ῥωμαίους γενέσθαι.
B καὶ ἐμηνύθη τῷ βασιλεῖ Ἰουστινιανῷ πάντα διὰ Λικινίου, αὐγουσταλίου Ἀλεξανδρείας· καὶ ἐθέσπισεν ὁ αὐτὸς βασιλεὺς ὅντινα βούλονται ἐπίσκοπον λαβεῖν αὐτούς. καὶ ἐπελέξαντο οἱ αὐτοὶ πρεσβευταὶ Ἰνδοὶ τὸν παραμονάριον τοῦ ἁγίου Ἰωάννου τοῦ ἐν Ἀλεξανδρείᾳ, ἄνδρα εὐλαβῆ, παρθένον, ὀνόματι Ἰωάννην, ὄντα ἐνιαυτῶν ὡς ἑξήκοντα δύο. καὶ λαβόντες τὸν ἐπίσκοπον καὶ τοὺς κληρικούς, οὓς αὐτὸς ἐπελέξατο, ἀπήγαγον εἰς τὴν Ἰνδικὴν χώραν πρὸς Ἄνδαν τὸν βασιλέα αὐτῶν.

Ἐν αὐτῷ δὲ τῷ χρόνῳ συνέβη ἔχθραν γενέσθαι τοῦ δουκὸς Παλαιστίνης Διομήδου, σιλεντιαρίου μετὰ τοῦ φυλάρχου Ἀρέ-
C θα. ὁ δὲ Ἀρέθας φοβηθεὶς εἰσῆλθεν εἰς τὸ ἐνδότερον λίμιτον ἐπὶ τὰ Ἰνδικά. καὶ μαθὼν τοῦτο ὁ Ἀλαμούνδαρος ὁ Σαρακηνὸς τῶν Περσῶν, ἐπιῤῥίψας αὐτῷ τῷ φυλάρχῳ Ῥωμαίων, πα-

20. *Διομήδου*] Sic *Διομήδῃ* vol. I. p. 46. C, *Παλαμήδῃ* ibid. p. 45. D, omnia, ut arbitror, mendose. 23. *φυλάρχῳ* Ch., *φιλάρχῳ* Ox.

Christianis enim, inquit, adversus eum arma sumo. Auxumitarum vero rex victoria tandem potitus, Homeritarum regem bello captum occidit, deleto exercitu ejus toto regionibus etiam regnisque ejus occupatis.

Post partam vero victoriam duos, ex proceribus suis ducentis aliis stipatos, Alexandriam misit; per quos Justinianum Imperatorem rogatum habuit, uti Episcopus sibi Clericique darentur, a quibus Christianae Religionis rudimentis et Mysteriis imbutus, sacro Baptismatis lavacro intingeretur: insuper etiam petens, uti tota Indorum regio sub Romano esset imperio. Imperator autem a Licinnio, Augustali Alexandriae, per literas de his certior factus, Rescripto suo jussit, Episcopum quemcunque vellent sibi acciperent. Deligebant itaque Indorum Legati Joannem, S. Joannis in Alexandria Paramonarium, virum pium, et caelibem, annosque circiter LXII. natum. Hunc igitur, una cum Clericis Episcopum Legati sumentes secum, in Indiam ad Regem suum Andam abduxerunt.

Contigit autem per id tempus Diomedi silentiario, Palaestinae Duci, cum Aretha Phylarcho inimicitias intercedere. Arethas autem sibi metuens, in interiores Indiae fines se recepit, quod ubi Alamundaro Saraceno, Persarum Duci, nunciatum fuit, Phylarchum ipse Romanorum ador-

ραλαβὼν ἐφόνευσεν αὐτόν· ἦν γὰρ μετὰ χιλιάδων τριάκοντα.
καὶ μαθὼν ταῦτα ὁ βασιλεὺς Ἰουστινιανὸς γράφει τοῖς δουξὶ
Φοινίκης καὶ Ἀραβίας καὶ Μεσοποταμίας καὶ τοῖς τῶν ἐπαρ- O 166
χιῶν φυλάρχοις ἀπελθεῖν κατ' αὐτοῦ καὶ καταδιῶξαι αὐτὸν καὶ
τὸ πλῆθος αὐτοῦ. καὶ εὐθέως ἀπελθόντες Ἀρέθας ὁ φύλαρχος
καὶ Γνούφας καὶ Ναμὰν καὶ Διονύσιος ὁ δοὺξ Φοινίκης καὶ
Ἰωάννης ὁ τῆς Εὐφρατησίας καὶ Σεβαστιανὸς ὁ χιλίαρχος μετὰ
τῆς στρατιωτικῆς βοηθείας· καὶ μαθὼν Ἀλαμούνδαρος ὁ Σα-
ρακηνὸς ἔφυγεν εἰς τὰ Ἰνδικὰ μέρη μεθ' ἧς εἶχε βοηθείας Σα- D
ρακηνικῆς. καὶ εἰσελθόντες οἱ δοῦκες Ῥωμαίων καὶ οἱ φύλαρ-
χοι μετὰ βοηθείας συνεπομένης, καὶ μηδαμοῦ αὐτὸν καταλα-
βόντες, ὥρμησαν ἐπὶ τὰ Περσικὰ μέρη, καὶ παρέλαβον τὰς
σκηνὰς αὐτοῦ, καὶ αἰχμαλώτους δὲ ἔλαβον πλῆθος ἀνδρῶν καὶ
γυναικῶν καὶ παιδίων καὶ ὅσας εὗρον καμήλους δρομωναρίας
καὶ ἄλλα διάφορα κτήνη. ἔκαυσαν δὲ καὶ κάστρα Περσικὰ τέσ-
σαρα παραλαβόντες καὶ τοὺς ἐν αὐτοῖς ὄντας Σαρακηνούς τε
καὶ Πέρσας, καὶ ὑπέστρεψαν εἰς τὰ Ῥωμαϊκὰ μετὰ νίκης.

Ὁ δὲ αὐτὸς βασιλεὺς ἀνεπλήρωσε καὶ τὸ δημόσιον τὸ ἐν Κων- O 167
σταντινουπόλει, ὃ ἤρξατο κτίζειν Ἀναστάσιος ὁ βασιλεύς, τὸ E
ἐπίκλην Δαγισθέου. ἔκτισε δὲ καὶ τὸ μεσίαυλον τῆς βασιλικῆς

5. Ἀρέθας] Idem fortasse qui redit p. 70. A. 6. καὶ Ἰ.] ὁ Ἰ. Ox. 7. Σεβαστειανὸς Ox. 14. δρομοναρίας Ox. 20. Δαγισθέου] Δαγισθαίου recte Chron. p. 338. C. ibid. μεσίαυλον Ch., Chron., μεσίαυτον Ox. Eadem κιγστέρνας.

tus est, captumque trucidavit: numerabat enim in exercitu suo xxx Millia Militum: Imperator vero Justinianus ubi haec audisset, Phoeniciae, Arabiae et Mesopotamiae Ducibus, Provinciarum etiam Phylarchis, per literas imperavit, uti egressi omnes Alamundarum exercitumque ejus insequerentur. Sine mora igitur Arethas Phylarcha, Gnuphas, cum Naamane, Dionysius etiam Phoeniciae Dux, et Joannes Dux Euphratesiae, cum Sebastiano Chiliarcho, copiis suis junctis omnibus exierunt. Quod ubi audivisset Alamundarus Saracenus, in regiones Indicas, una cum copiis quas habuit Saracenicis, se recepit: Quem Duces et Phylarchae Romani cum copiis suis insecuti cum prehendere non poterant, iter inde suum in Persidem ducunt: ubi Alamundari tentoriis direptis, ingentem etiam virorum, mulierum, puerorumque turbam captivam inde abduxerunt: camelos etiam dromades jumentaque alia diversa, quotquot inveniri poterant, pro praeda habuerunt. Quinetiam Castellis Persarum quatuor incendio datis, captisque qui in eis erant Persis et Saracenis, victores domum revertuntur.

Porro Imperator Dagisthei quod vocant Balneum Publicum, Constantinopoli olim ab Anastasio inchoatum, exaedificavit. Extruxit etiam Me-

κινστέρνας, βουλόμενος εἰσαγαγεῖν ἐν αὐτῇ τὸ ὕδωρ τὸ Ἀδριάνιον. ἀνενέωσε δὲ καὶ τὸν ἀγωγὸν τῆς πόλεως.

Ἐν αὐτῷ δὲ τῷ χρόνῳ διεβλήθησάν τινες τῶν ἐπισκόπων ἀπὸ διαφόρων ἐπαρχιῶν, ὡς κακῶς βιοῦντες περὶ τὰ σωματι-
V 58 κὰ καὶ ἀρσενοκοιτοῦντες. ἐν οἷς ἦν Ἡσαΐας ὁ τῆς Ῥόδου ὁ ἀπὸ νυκτεπάρχων Κωνσταντινουπόλεως, ὁμοίως δὲ καὶ ὁ ἀπὸ Διὸς πόλεως τῆς Θρᾴκης, ὀνόματι Ἀλέξανδρος. οἵτινες κατὰ θείαν πρόσταξιν ἠνέχθησαν ἐν Κωνσταντινουπόλει, καὶ ἐξετασθέντες καθῃρέθησαν ὑπὸ Βίκτωρος ἐπάρχου πόλεως, ὅστις ἐτιμωρήσατο αὐτούς, καὶ τὸν μὲν Ἡσαΐαν πικρῶς βασανίσας ἐξώρισε, τὸν δὲ Ἀλέξανδρον καυλοτομήσας ἐπόμπευσεν εἰς
O 168 κραβαταρίαν· καὶ εὐθέως προσέταξεν ὁ αὐτὸς βασιλεὺς τοὺς ἐν παιδεραστίαις εὑρισκομένους καυλοτομεῖσθαι. καὶ συνεσχέθησαν ἐν αὐτῷ τῷ καιρῷ πολλοὶ ἀνδροκοῖται, καὶ καυλοτομηθέντες ἀπέθανον. καὶ ἐγένετο ἔκτοτε φόβος κατὰ τῶν νοσούντων τὴν τῶν ἀῤῥένων ἐπιθυμίαν.

B Ἐν αὐτῷ δὲ τῷ χρόνῳ ἔπαθεν ὑπὸ θεομηνίας ἐν τῇ Μυσίᾳ Πομπηιούπολις· τῆς γὰρ κινήσεως γενομένης ἐξαίφνης ἐσχίσθη ἡ γῆ καὶ ἐχαώθη τὸ ἥμισυ τῆς πόλεως μετὰ τῶν οἰκούντων, καὶ ἦσαν ὑπὸ τὴν γῆν, καὶ τὸ ἦχος αὐτῶν ἐφέρετο τοῖς περισωθεῖσι. καὶ πολλὰ ἐφιλοτιμήσατο ὁ αὐτὸς βασιλεὺς εἰς τὴν ἐκχόϊσιν

5. Ῥόδου καὶ ὁ Ox. 6. ὁ ἀπὸ] Immo ὁ. 17. *Πομπειούπολις* Ox. 21. ἐκχόϊσιν] ἐκχόησιν Ox. hic et 61. B. V. vol. I. p. 95. B. Monitum de vitio etiam ab editoribus Stephani c. 10558. D.

saulum Cisternae Basilicae, Adriani aquas in eam immittere volens. Urbis etiam Aquaeductum renovavit.

Iisdem temporibus diversarum provinciarum Episcopi libidinis nefandae cumque Masculis impurissimi concubitus rei peragebantur: inter quos Isaias Rhodi, Constantinopolitanus olim Nycteparchus, et Alexander Diospolis in Thracia Episcopi fuerunt. Hi itaque divino Imperatoris ex Edicto Constantinopolim adducti, post examen initum, a Victore Urbis Praefecto gradu suo deturbati, poenas dederunt. Et Isaias quidem, graves cruciatus perpessus, in exilium missus est. Alexander vero, veretro amputato, lecticae impositus, populo in spectaculum datus est. Quin et Legem quoque dein Imperator tulit, Libidinis Masculae reos quoscunque virilibus mutilari. Multique eodem tempore Masculi concubitus rei deprensi sunt, qui virilibus execti perierunt. Metus hinc malo hoc laborantibus incussus est.

Circa haec tempora divinam iram perpessa est Pompeiopolis, urbs Mysiae. Ex tremoribus enim terra subito dehiscente, dimidia civitas una cum incolis absorpta est: obrutorum interim clamoribus ad superstitum

τοῦ περισωθῆναι τοὺς ὄντας ὑπὸ τὴν γῆν, ὡσαύτως δὲ καὶ τοῖς ζήσασι καὶ τῇ πόλει εἰς ἀνανέωσιν.

Ὁ δὲ αὐτὸς βασιλεὺς ἀνενέωσε τοὺς νόμους τοὺς ἐκ τῶν προλαβόντων βασιλέων θεσπισθέντας, καὶ ποιήσας νεαροὺς νόμους ἔπεμψε κατὰ πόλιν, ὥστε τὸν ἄρχοντα ἐν ᾧ τὴν ἀρχὴν ἔχει μὴ κτίζειν οἶκον ἢ ἀγοράζειν κτῆμα, εἰ μή τις συγγενὴς αὐτοῦ ὑπάρχει, διὰ τὸ μὴ βιάζεσθαι τοὺς συγκεκτημένους ἢ ἀναγ- O 169 C *κάζεσθαί τινα διὰ τὴν ἀρχικὴν προστασίαν εἰς αὐτὸν διατίθεσθαι.*

Ὁμοίως δὲ καὶ περὶ τῶν φυσικῶν παίδων, ὥστε κληρονομεῖν κατὰ τὸν Ἀναστασίου τοῦ βασιλέως νόμον.

Καὶ περὶ τοῦ κληρονομοῦντος, ὥστε ἐξεῖναι αὐτῷ παραιτεῖσθαι τὴν κληρονομίαν ὅτε δ' ἂν βούληται, καὶ μὴ ἀποκλείεσθαι χρόνῳ.

Περὶ δὲ τῶν μαρτύρων, ὥστε ἀναγκάζεσθαι τοὺς ἰδιώτας καὶ ἄκοντας μαρτυρεῖν.

Ὁ δὲ αὐτὸς βασιλεὺς ἐδωρήσατο τὸ Γοτθικὸν ξυλέλαιον, κουφίσας τοὺς ὑποτελεῖς ἐκ τοῦ βάρους. D

Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας δύο στρατηγοὶ Οὔννων ἐπιῤῥίψαντες μετὰ πλήθους εἰς τὴν Σκυθίαν καὶ τὴν Μυσίαν, ὄντος ἐκεῖ στρατηλάτου Ῥωμαίων Βαδουαρίου καὶ Ἰουστίνου, καὶ ἐξελθόντων αὐτῶν κατὰ τῶν Οὔννων, καὶ συμβολῆς γενομένης, ἐσφάγη Ἰουστῖνος ἐν τῷ πολέμῳ· καὶ ἐγένετο ἀντ' αὐτοῦ O 170

13. *ἀποκλεῖσθαι* Ox.

aures pervenientibus. Imperator autem effodiendis, qui sub terra erant, urbique instaurandae, ejusque incolis plurima largitus est.

Idem Justinianus, renovatis antecedentium Imperatorum Legibus, *Novellas* etiam *Constitutiones* ipse edidit: quas in urbes emisit: quibus etiam cavit; „Ne Praefectorum aliquis, intra Praefecturam suam, vel domum extrueret, vel agrum nisi a cognatis suis, sibi acquireret: scilicet ne quo modo violarentur agrorum possessores; vel cogeretur aliquis invitus, Praefectum, ob Praefectoriam ejus autoritatem haeredem scribere.“

„Similiter etiam jus Haereditarium liberis Naturalibus concessit; juxta Legem ab Anastasio Imperatore latam.“

„Statuit etiam, Haeredi licere sortem suam quandocunque vellet deposcere; nec tempore ullo excludi debere.“

„Ad Testimonium autem ferendum Privatos, etiam invitos, cogi voluit.“

Idem etiam Imperator, donavit Xylelaeum Gothicum; tributariis suis hoc onere levatis.

Eodem imperante, duo Hunnorum Duces, cum magno exercitu, Scythiam Mysiamque invaserunt: quibus occursum iverunt Baduarius, Militum Magister et Justinus: praelioque commisso, Justinus occisus est. Ita-

*Κωνσταντίολος ὁ Φλωρεντίου στρατηλάτης τῆς Μυσίας. καὶ
ἦλθον οἱ Οὖννοι πραιδεύοντες ἕως τῆς Θρᾴκης· καὶ ἐξελθὼν
κατ' αὐτῶν ὁ στρατηλάτης Κωνσταντίολος καὶ Γοδιλᾶς καὶ ὁ
τοῦ Ἰλλυρικοῦ στρατηλάτης Ἀσκοὺμ ὁ Οὖννος, ὃν ἐδέξατο ὁ
βασιλεὺς Ἰουστινιανὸς ἐν ἁγίῳ βαπτίσματι, καὶ μεσολαβηθέν-
E των τῶν Οὔννων ἐν τῷ πολέμῳ, καὶ πολλῶν ἐξ αὐτῶν πιπτόντων,
ἀπέφυγεν ἡ πραῖδα πᾶσα, καὶ ἐγένοντο Ῥωμαῖοι ἐπικρατέστεροι,
φονεύσαντες καὶ τοὺς δύο ῥῆγας. καὶ ὡς ὑποστρέφουσιν, ὑπην-
τήθησαν ὑπὸ ἄλλων Οὔννων· καὶ συμβαλόντες ἀπὸ κόπου, καὶ
ἀσθενέστεροι ὄντες οἱ Ῥωμαίων στρατηγοί, δέδωκαν νῶτα· καὶ
καταδιώξαντες οἱ Οὖννοι ἐσόκευσαν φεύγοντας τοὺς ἐξάρχους
Ῥωμαίων. καὶ ὁ μὲν Γοδιλᾶς ἀποσπάσας τὸ ἴδιον ξίφος ἔκοψε
V 59 τὸν σόκον καὶ ἐξείλησεν, ὁ δὲ Κωνσταντίολος ἠνέχθη ἀπὸ τοῦ
ἵππου ἐπὶ τὸ ἔδαφος· καὶ ὁ Ἀσκοὺμ δὲ συνελήφθη. καὶ λαβόν-
τες τοὺς δύο αἰχμαλώτους, τὸν μὲν Κωνσταντίολον ἀνέδωκαν,
λαβόντες παρὰ τοῦ βασιλέως Ῥωμαίων νομίσματα μύρια, καὶ
ἀνῆλθεν ἐν Κωνσταντινουπόλει· τὸν δὲ Ἀσκοὺμ τὸν Οὖννον
κρατήσαντες ἀνεχώρησαν ἐπὶ τὴν χώραν αὐτῶν μετὰ καὶ ἄλ-
λων πολλῶν αἰχμαλώτων· καὶ εἰρήνευσε λοιπὸν τὰ Θρᾳκικὰ
μέρη.*

O 171 *Ἐν αὐτῷ δὲ τῷ χρόνῳ ἠγανακτήθη ὁ πατρίκιος Πρόβος,
ὅστις συγγενὴς ἦν Ἀναστασίου τοῦ βασιλέως, ὡς λοιδορήσας
τὸν αὐτὸν βασιλέα Ἰουστινιανόν. καὶ γενομένου σιλεντίου κομ-*

10. δέδωκε] ἔδωκαν Ch. Debebat δέδωκαν, quae forma redit p. 70. A. 11. ἐσσόκευσαν Ox.

que in ejus locum Magister Militum in Mysia suffectus est Constantiolus, Florentii filius. Caeterum grassantes interim Hunni, regiones undique ad usque Thraciam depraedati sunt: adversus quos egressi sunt Constantiolus Militum Magister et Godilas, Illyricique Magister Militum Ascum, Hunnus, quem Justinianus Imperator e sacro Baptismatis lavacro susceperat. Hunnorum itaque ab his undique cinctorum, plurimi in praelio ceciderunt; praedaque omnis dilapsa est: Ducemque eorum utrumque Romani, superiores facti, interfecerunt. Reversuris autem cum nova vis Hunnorum supervenisset, Romani Duces, jamjam viribus lassati, nec alterius praelii impetum qui essent sustinendo, terga dederunt. Hunni itaque fugientes insecuti, Romanorum Duces laqueis implicantes ceperunt. Ex quibus Godilas, stricto gladio laqueum discindens, ex manibus eorum evasit; Constantiolum vero, equo excussum, Ascumque captivos habuerunt: quorum illum Romanus Imperator x. Millibus nummorum redemit. Ascum vero Hunnum, cum pluribus aliis mancipiis, in regionem suam captivum abduxerunt. Pax deinde erat Thracum ditionibus.

Eodem ipso tempore delatio in Probum Patricium, Imperatoris Anastasii cognatum, instituta est; eo quod Justinianum Imperatorem convitiis

βέντου ἐπὶ πράξεως ὑπομνημάτων ἐγγράφως, καὶ τῶν πεπραγμένων πάντων ὑπαναγνωσθέντων τῷ βασιλεῖ μετὰ τὸ ἐλεγχθῆναι B
τὸν αὐτὸν Πρόβον ἐπὶ κοινοῦ τῆς συγκλήτου, λαβὼν ὁ αὐτὸς βασιλεὺς τὰ πεπραγμένα ἔσχισεν, εἰπὼν τῷ αὐτῷ Πρόβῳ ὅτι Ἐγὼ τὸ ἁμάρτημα συγχωρῶ σοι, ὃ κατ' ἐμοῦ ἔπραξας· εὖξαι οὖν ἵνα καὶ ὁ θεὸς συγχωρήσῃ σοι. καὶ ἀνυμνήθη ὁ αὐτὸς βασιλεὺς ὑπὸ τῆς συγκλήτου.

Ἐν αὐτῷ δὲ τῷ χρόνῳ Εὐλάλιός τις, κόμης δομεστίκων, ἀπὸ εὐπόρων πένης γενόμενος τῷ τρόπῳ τούτῳ· ἐμπρησμοῦ γενομένου ἔνθα ἔμενε, γυμνὸς ἔφυγε μετὰ καὶ τῶν τριῶν αὐτοῦ τέκνων· οὐκ ὀλίγοις δὲ δανείοις ὑποκείμενος, καὶ μέλλων τελευτᾶν, διαθήκας συνεστήσατο εἰς τὸν αὐτὸν βασιλέα, εἰπὼν ἐν τῇ διαθήκῃ, ὥστε τὸν εὐσεβέστατον Ἰουστινιανὸν παρασχεῖν C
ταῖς ἐμαῖς θυγατράσιν ἡμερησίας ἀνὰ φόλεις ιε'· καὶ γινομένης O 172
αὐτῶν τελείας ἡλικίας καὶ ἐρχομένας ἐπὶ γάμον λαμβάνειν προῖκα ἑκάστην δέκα χρυσίου λιτρῶν. ἀποπληρωθῆναι δὲ καὶ τοὺς ἐμοὺς δανειστὰς παρὰ τοῦ ἐμοῦ κληρονόμου. καὶ ἐπὶ τούτοις ἐτελεύτα ὁ αὐτὸς Εὐλάλιος· καὶ ἀνηνέχθη ἡ διαθήκη τῷ βασιλεῖ διὰ τοῦ κουράτωρος. καὶ ἐκέλευσεν αὐτὸν ὑπεισελθεῖν τῇ κληρονομίᾳ· ὅστις ἀπελθὼν εἰς τὸν οἶκον ἔνθα κατέμεινεν ὁ αὐτὸς Εὐλάλιος, καὶ ποιήσας ἀναγραφὴν τῆς ὑποστάσεως αὐτοῦ, εὑρέθη ἡ περιουσία αὐτοῦ ἄχρι νομισμάτων φξδ'. καὶ ἀπελθὼν

14. ἡμερησίας Ch., ἡμερισίας Ox.

incessisset. Facto igitur super hac re Silentio Conventuali, quaeque hinc inde in causa agitabantur in scripta relatis, et coram Imperatore perlectis; Probus communi Concilii suffragio, reus peragebatur. Caeterum Imperator, Decreta in manus sumens rescidit. „Ego, inquiens, Probe, quod in me commissum est, ignosco tibi: Deum itaque precare, ut ipse etiam tibi condonet.“ Quod Imperatoris factum totus Concessus magnopere praedicavit.

Eodem tempore Eulalius quidam, Comes Domesticorum, de divite pauper factus, ab incendio in habitatione ejus facto, unde ipse cum tribus liberis suis nudus evaserat; cumque multus esset in aere alieno, moriturus Imperatorem ipsum Haeredem sibi, in haec verba conscripsit. „Testamento hoc meo volo, religiosissimum Justinianum singulis filiabus meis, singulos per dies; xv. folles annumerare: Ubi vero justam in aetatem adoleverint, virisque maturae fuerint, auri libras x. pro dote singulae ut accipiant. Insuper volo, Haeredem meum debita mea omnia Creditoribus persolvere.“ Deinde vero diem suum obiit Eulalius. Hujus itaque Testamentum Imperatori detulit Curator; cui etiam Imperator mandavit, haereditatem ut adiret. Curator itaque Eulalii aedes petens, et inito facultatum ejus Catalogo, invenit eum in bonis esse ad valorem DLXIV.

ἀνήγαγε τῷ βασιλεῖ τὴν διατίμησιν τῆς ὑποστάσεως καὶ τὰ ὑπ᾽
D αὐτοῦ καταλειφθέντα ληγᾶτα. καὶ ταῦτα ἀκούσας ὁ αὐτὸς βα-
σιλεὺς ἐπιτρέπει τῷ κουράτωρι Μακεδονίῳ ὑπεισελθεῖν τῇ
κληρονομίᾳ. καὶ δὴ τοῦ κουράτωρος ἀντειπόντος τῷ αὐτῷ βα-
σιλεῖ μὴ αὐταρκεῖν τὰ τῶν ληγάτων πρὸς τὰ τῆς διαθήκης,
ἐπέτρεψεν ὁ αὐτὸς βασιλεύς, εἰπών, Τί με κωλύεις ὑπεισελθεῖν
τῇ κληρονομίᾳ, εὐσεβὲς θέλοντα ποιῆσαι; ἄπελθε, ἀποπλή-
ρωσον πάντας τοὺς δανειστὰς αὐτοῦ καὶ τὰ ληγᾶτα τὰ ὑπ᾽ αὐ-
O 173 τοῦ διατυπωθέντα· τὰς δὲ τρεῖς θυγατέρας αὐτοῦ ἀχθῆναι κε-
λεύω παρὰ τῇ Αὐγούστᾳ Θεοδώρᾳ τοῦ φυλάττεσθαι αὐτὰς ἐν
τῷ δεσποτικῷ κουβικλείῳ, κελεύσας τοῦ δοθῆναι αὐταῖς χάριν
E προικὸς ἀνὰ χρυσίου λιτρῶν εἴκοσι καὶ πᾶσαν τὴν ὑπόστασιν,
ἣν εἴασεν αὐταῖς ὁ αὐτῶν πατήρ.

Ἐν αὐτῷ δὲ τῷ καιρῷ ἡ εὐσεβὴς Θεοδώρα μετὰ καὶ τῶν
ἄλλων αὐτῆς ἀγαθῶν ἐποίησε καὶ τοῦτο. οἱ γὰρ ὀνομαζόμε-
νοι πορνοβοσκοὶ περιῆγον ἐν ἑκάστῳ τόπῳ περιβλεπόμενοι πέ-
νητας ἔχοντας θυγατέρας, καὶ διδόντες αὐτοῖς, φησίν, ὅρ-
κους καὶ ὀλίγα νομίσματα ἐλάμβανον αὐτάς, ὡς ἐπὶ συγκρο-
V 60 τήσει, καὶ προΐστων αὐτὰς δημοσίᾳ, κατακοσμοῦντες ἐκ τῆς
αὐτῶν ἀτυχίας, κομιζόμενοι παρ᾽ αὐτῶν τὸ τοῦ σώματος αὐ-
τῶν δυστυχὲς κέρδος, καὶ ἠνάγκαζον αὐτὰς τοῦ προΐστασθαι.
καὶ τοὺς τοιούτους πορνοβοσκοὺς ἐκέλευσε συσχεθῆναι μετὰ
πάσης ἀνάγκης· καὶ ἀχθέντων αὐτῶν μετὰ τῶν κορασίων, ἐκέ-

5. αὐταρκεῖν] Immo ἀνταρκεῖν. Sic et p. 78. C. 11. αὐταῖς Ch., αὐτὰς Ox. 17. ἔχοντας Ch., ἐχούσας Ox.

nummorum. Reversus itaque, Justinianum de facultatum ejus aestimatione, sicut etiam de iis, quae Testamento legaverat Eulalius, certiorem fecit. Jubenti autem rursus Imperatori, Haereditatem ut adiret, respondit Macedonius Curator tenuiores esse demortui opes, quam quae Legatariis sufficiant. „Cui Imperator; Quorsum, inquit, tu me impedis, quo minus pium hoc Haeredis officium perficiam? Age vero, Creditoribus ejus omnibus satisfacias; Legataque etiam omnia persolvas. Tres autem filiae ejus jubeo ad Theodoram Augustam ut deducantur, Augustali cubiculo custodiendae, quibus etiam singulis, Dotis nomine, libras auri xx. dari volo; et praeterea, quodcunque est facultatum, quas pater moriens illis legavit."

Eodem tempore religiosissima Theodora, aliis egregie a se factis, etiam hoc adjecit. Per id tempus Lenones qui vocantur passim per urbes agebant Circumforanei, perquirentes undique pauperum filias; quas a parentibus stipulatione cum eis facta, numulisque paucis datis, acceptas, secum abducebant; ornatasque, publice prostituebant, etiam invitas; turpissimum hoc lucrum, ex illarum infortuniis, sibi comparantes. Hujusmodi vero Lenones Imperatrix jussit omnino omnes comprehendi; comprensosque, cum puellis una coram adduci; adductosque, juramento adhibito,

λευσεν εἰπεῖν ἕκαστον αὐτῶν μεθ᾽ ὅρκου δόσεως τί παρέσχον τοῖς αὐτῶν γονεῦσι· καὶ εἶπον δεδωκέναι ἀνὰ πέντε νομίσματα. καὶ πάντων ἐπιδεδωκότων γνῶσιν μεθ᾽ ὅρκου, δεδωκυῖα τὰ χρήματα ἡ αὐτὴ εὐσεβὴς βασίλισσα ἠλευθέρωσεν αὐτὰς τοῦ ζυγοῦ τῆς δυστυχοῦς δουλείας, κελεύσασα τοῦ λοιποῦ μὴ εἶναι πορ- O 174 *νοβοσκούς, ἀλλὰ χαρισαμένη ταῖς αὐταῖς κόραις τὴν τοῦ σώματος ἔνδυσιν καὶ ἀπὸ νομίσματος ἑνὸς ἀπέλυσεν αὐτάς.*

Ἐν δὲ τῇ συμπληρώσει τῆς αὐτῆς ἰνδικτιῶνος ἐξώρμησεν ἡ B *αὐτὴ Αὔγουστα Θεοδώρα εἰς τὸ λεγόμενον Πύθιον μετὰ πατρικίων καὶ κουβικουλαρίων, οὖσα σὺν χιλιάσι τέτρασι. καὶ πολλὰ χαρισαμένη ταῖς κατὰ τόπον ἐκκλησίαις ὑπέστρεψεν ἐν Κωνσταντινουπόλει.*

Ἐν αὐτῷ δὲ τῷ χρόνῳ ἀπηγγέλθη Ἰουστινιανῷ τῷ βασιλεῖ ὅτι συμβολῆς γενομένης μεταξὺ Περσῶν καὶ Ῥωμαίων, ἐπὶ τὴν Μεσοποταμίαν ἐπιῤῥιψάντων τῶν Περσῶν μετὰ χιλιάδων λʹ, καὶ Ξέρξου τοῦ υἱοῦ τοῦ βασιλέως Κωάδου· ὁ γὰρ Περόζης ὁ μείζων υἱὸς αὐτοῦ ἐπὶ τὴν Λαζικὴν καὶ τὴν Περσαρμενίαν ἐπολέμει μετὰ βοηθείας πολλῆς· ὁ γὰρ πατὴρ αὐτῶν Κωάδης ἐν αὐτῷ τῷ καιρῷ οὐκ ἦλθεν ἐπὶ τὰ Ῥωμαϊκά· ἐξῆλ- C *θον δὲ κατὰ τοῦ Μέραν καὶ Ξέρξου ὁ ἀπὸ δουκῶν Δαμασκοῦ Κουζτὶς ὁ Βιταλιανοῦ, ἀνὴρ μαχιμώτατος, καὶ Σεβαστιανὸς* O 175 *μετὰ τῆς Ἰσαυρικῆς χειρὸς καὶ Προκληιανὸς ὁ δοὺξ Φοινίκης καὶ Βασίλειος ὁ κόμης. ἦν δὲ καὶ Βελισάριος μετ᾽ αὐτῶν καὶ Ταφαρὰς ὁ φύλαρχος. τοῦ δὲ ἵππου Ταφαρᾶ προσκόψαντος*

9. *Αὐγούστα* Ox. *ibid. Πύθιον*] Conf. Theophanes p. 158. C.
17. *ὁ υἱὸς* Ox., *υἱὸς* Ch. 22. *Προκλειανὸς* Ox.

profiteri, quanti puellas a parentibus acceperant. Nummosque quinque pro singulis eis dedisse se juramento fidem facientibus, pecunias reddidit pientissima Imperatrix, ipsasque a servitutis turpissimae jugo liberavit; Prohibitis etiam in posterum Lenociniis quibuscunque. Quin et vestitu illis integro de propriis sumptibus suppeditato, puellas demum demisit.

Caeterum Indictionis hujus sub exitum, Theodora Augusta, Patriciis, cubiculariis et IV. millibus virorum stipata, Pythium profecta est: Cunctisque in quas inciderat, Ecclesiis magnifice donatis, Constantinopolim reversa est.

Eodem tempore ad Justinianum Imperatorem nuncium allatum est de praelio inter Romanos et Persas commisso; qui XXX millibus armatorum instructi, Xerxis, Coadis Persarum regis filii, sub auspiciis, Mesopotamiam invaserant. Perozes enim; Coadis filius natu major, eodem tempore Lazicam et Persarmeniam, numeroso cum exercitu petebat; nec pater ipse Coades hoc tempore in Romanas prodiit ditiones. Xerxi autem et Meran in occursum iverunt Damasci Exdux Cuztis, Vitaliani F. vir bellicosissimus; et Sebastianus, copiis Isauricis instructi: Phoeniciae etiam Dux, Proclianus, cum Basilio Comite: Praeter hos etiam aderat Belisarius et

κατενεχθεὶς ἐπὶ τὴν γῆν ἐσφάγη, ὁμοίως δὲ καὶ Προκληιανός· Σεβαστιανὸς δὲ καὶ Βασίλειος ἐλήφθησαν αἰχμάλωτοι, Κουζτὶς δὲ πληγᾶτος γενόμενος παρελήφθη, Βελισάριος δὲ φυγῇ χρησάμενος διεσώθη. καὶ ἀπηγγέλθη τὰ γενόμενα τῷ βασιλεῖ Ἰουστινιανῷ, καὶ ἐλυπήθη σφόδρα. ἔπεσον δὲ καὶ ἐκ τῶν Περ-
D σῶν στρατηγοὶ μετὰ βοηθείας αὐτῶν πολλῆς· καὶ ὑπέστρεψαν εἰς τὴν ἰδίαν αὐτῶν χώραν.

Ἔπεμψε δὲ ὁ αὐτὸς βασιλεὺς συγκλητικοὺς ἀπὸ Κωνσταντινουπόλεως φυλάττειν τὰς πόλεις τῆς ἀνατολῆς μετὰ τῆς αὐτῶν βοηθείας, τὸν μὲν πατρίκιον Πλάτωνα ἐν Ἀμηδίᾳ, τὸν δὲ Θεόδωρον τὸν πατρίκιον ἐν Ἐδέσῃ, Ἀλέξανδρον δὲ τὸν Ἱερίου ἐν Βεροίᾳ, καὶ ἄλλους δὲ συγκλητικοὺς ἐπὶ τὸ Σοῦρον καὶ Κωνσταντῖναν εἰς τὸ φυλάττειν τὰς πόλεις. ἐπέμφθη δὲ ἐν αὐτῷ τῷ καιρῷ καὶ ὁ πατρίκιος Πόμπιος μετὰ πολλῆς βοηθείας, ἔχων μεθ' ἑαυτοῦ Ἰλλυρικιανοὺς καὶ Σκύθας καὶ Ἰσαύρους καὶ
O 176 Θρᾷκας· καὶ ἔνδοσις ἐγένετο τοῦ πολέμου κατὰ σύνταξιν Ῥωμαίων τε καὶ Περσῶν διὰ τὸ γενέσθαι χειμῶνας βαρεῖς.

E Συνέβη δὲ ἐν αὐτῷ τῷ καιρῷ ὑπὸ θεομηνίας παθεῖν Ἀντιόχειαν τὸ ἕκτον αὐτῆς πάθος. ὁ δὲ γεγονὼς σεισμὸς κατέσχεν ἐπὶ μίαν ὥραν, καὶ μετὰ τούτου βρυγμὸς φοβερός, ὥστε τὰ ἀνανεωθέντα κτίσματα ὑπὸ τῶν πρῴην γενομένων φόβων καταπεσεῖν καὶ τὰ τείχη καί τινας ἐκκλησίας. τὰ δὲ συμβάντα

1. κατενεχθεὶς Ch., κατενεγχεὶς Ox. *ibid.* Προκλειανός Ox. 10. Ἀμηδίᾳ] Conf. p. 52. D. 12. Σοῦρον] Σούρων Ch. 14. Πόμπιος] Immo Πομπήιος. 22. τινας ἐκκλησίας Ch., τινες ἐκκλησίαι Ox.

Tapharas Phylarcha. Tapharas vero equo impingente excussus, interfectus est: simili etiam modo periit et Proclianus. Sebastianus et Basilius ab hostibus capti sunt: Cuztis etiam, vulnere accepto, in manus hostium devenit: caeterum Belisarius fuga evasit. Imperator autem Justinianus, ubi haec audisset, ingenti ira commotus est. Sed etiam ex Persarum quoque Ducibus et Exercitu, ceciderunt quamplurimi; caeteris regionem suam repetentibus.

Porro Imperator ex Proceribus suis a Constantinopoli in Orientem emisit quosdam, qui urbibus ibi prospicerent: ex quibus Amida Platoni, Edessa Theodoro Patriciis; Alexandro autem, Hierii filio, Beroea; caeterisque aliis, Surorum urbs et Constantina tuendae cesserunt. Eodem tempore Pompius etiam Patricius, cum ingenti Illyriorum, Scytharum, Isaurorum, Thracumque exercitu emissus est; sed ob gravissimas quae ingruebant Hyemes, ex pacto Romanos inter Persasque inito, induciae factae sunt.

Contigit autem per id tempus Antiochiam irati Numinis vicissitudinem sextam subire, per unius horae spacium terrae tremoribus concussam: quos etiam rugitus ingens insecutus est; corruentibus interim, quae a prioribus terrae motibus de novo excitata fuerant, aedificiis, moeniis,

ἠκούσθη καὶ ἐν ταῖς ἄλλαις πόλεσι, καὶ πᾶσαι πενθοῦσαι ἐλιτάνευον. ἔπαθε δὲ καὶ μέρη τῶν πέριξ τῆς πόλεως· τελευτῶσι δὲ ἐν αὐτῷ τῷ σεισμῷ ἄχρι ψυχῶν πεντακισχιλίων. οἱ δὲ περι- V 61
σωθέντες πολῖται εἰς τὰς ἄλλας πόλεις, φανεροὶ δὲ ἐν τοῖς ὄρεσιν ᾤκουν. ὁ δὲ πατριάρχης Ἐφραΐμιος πάντα τὰ γενόμενα ἀνήγαγε τῷ βασιλεῖ· καὶ ἀκούσαντες οἱ ἐν τῷ Βυζαντίῳ τὰ συμβάντα ἐλιτάνευον ἐπὶ ἡμέρας ἱκανάς.

Ἐν δὲ τῷ αὐτῷ χρόνῳ συνέβη παθεῖν ὑπὸ σεισμοῦ Λαοδίκειαν τὸ πρῶτον αὐτῆς πάθος· κατηνέχθη δὲ ὑπὸ τοῦ φόβου τὸ ἥμισυ τῆς αὐτῆς πόλεως καὶ αἱ συναγωγαὶ τῶν Ἰουδαίων. ἀπώλοντο δὲ ἐν αὐτῷ τῷ φόβῳ χιλιάδες ἑπτὰ ἥμισυ, Ἑβραίων O 177
τε πλῆθος καὶ χριστιανῶν ὀλίγοι· αἱ δὲ ἐκκλησίαι τῆς αὐτῆς πόλεως ἔμειναν ἀῤῥαγεῖς, περισωθεῖσαι ὑπὸ θεοῦ. ὁ δε αὐτὸς βασιλεὺς ἐχαρίσατο τοῖς Λαοδικεῦσιν εἰς ἐκχόϊσιν τῆς αὐτῶν B
πόλεως κεντηνάρια δύο.

Ἐν αὐτῷ δὲ τῷ χρόνῳ μετεκλήθη Ἀντιόχεια Θεούπολις κατὰ κέλευσιν τοῦ ἁγίου Συμεὼν τοῦ θαυματουργοῦ. εὑρέθη δὲ καὶ ἐν τῇ αὐτῇ Ἀντιοχείᾳ χρησμὸς ἀναγεγραμμένος, περιέχων οὕτως· Καὶ σύ, τάλαινα πόλις, Ἀντιόχου οὐ κληθήσῃ. ὁμοίως δὲ καὶ ἐν τοῖς χαρτίοις εὑρέθη τῶν τὰ ἄκτα γραφόντων τῆς αὐτῆς πόλεως ὅτι ἔκραζον κληδόνα διδοῦντες εἰς τὸ μετακληθῆναι τὴν αὐτὴν πόλιν. καὶ ἀνηνέχθη ταῦτα τῷ αὐτῷ βασιλεῖ

9. κατηνέχθη Ch., κατηνέχθε Ox. 14. ἐκχόϊσιν] V. ad p. 58. B. 17. θαυματούργου Ox.

Ecclesiisque nonnullis. Hujus vero cladis fama per urbes sese spargente, lugentes omnes litaniis Deum propitiabant. Divinam etiam iram expertae sunt partes urbem circumjacentes: perierunt vero ab excidio hoc animarum v. Millia recipientibus sese, qui supererant, in alias urbes: sed et plurimi etiam montes incoluerunt. Quae quidem omnia, ab Ephraemio Patriarcha Imperatori nunciata, Byzantini quamprimum accepissent, supplicationes Deo multos per dies fundebant.

Contigit autem eodem tempore Laodicaeam etiam terrae motibus tum primum trepidare, dimidia urbis parte collabente, una cum Judaeorum synagogis. In hac clade perierunt vii. Mortalium millia cum semisse: inter quos Hebraeorum plurimi, Christianorum quoque nonnulli interierunt. Christianorum vero Ecclesiae, nutu Divino, inconcussae steterunt. Caeterum Imperator Laodicenses, in urbem a ruderibus repurgandam, centenariis duobus donavit.

Iisdem temporibus Antiochia, mutato nomine, Theopolis vocata est; imponente hoc eidem S. Symeone Thaumaturgo: nempe ob repertum ibi Oraculum, quod sic se habuit. „Erit, cum tu infoelix urbs, Antiochi non vocaberis.“ Ad novum vero nomen, urbi inditum, acclamarunt incolae, bene eidem ominantes: uti proditum est ab iis, qui Acta Publica hujus

Ἰουστινιανῷ. καὶ ἐδωρήσατο θείαν φιλοτιμίαν τοῖς Ἀντιοχεῦσι
καὶ Λαοδικεῦσι καὶ Σελευκέσιν, ὥστε κουφισθῆναι τὴν αὐτῶν
C συντέλειαν ἐπὶ ἔτη τρία, χαρισάμενος ταῖς αὐταῖς πόλεσι λίτρας
διακοσίας καὶ τοῖς κτήτορσιν ἀξίας ἰλλουστρίων.

Ἐν δὲ τῷ αὐτῷ χρόνῳ ἀνεφάνη ἐν τοῖς Περσικοῖς μέρεσι
O 178 δόγμα Μανιχαϊκόν· καὶ μαθὼν ὁ τῶν Περσῶν βασιλεὺς ἠγα-
νάκτησεν· ὡσαύτως δὲ καὶ οἱ ἀρχιμάγοι τῶν Περσῶν· ἦσαν
γὰρ ποιήσαντες οἱ αὐτοὶ Μανιχαῖοι καὶ ἐπίσκοπον, ὀνόματι Ἰν-
δαράζαρ. ὁ δὲ βασιλεὺς Περσῶν σιλέντιον ποιήσας, καὶ πάν-
τας αὐτοὺς κατεσχηκὼς καὶ τὸν ἐπίσκοπον τῶν Μανιχαίων,
κελεύει τῇ παρεστώσῃ αὐτῷ ἐνόπλῳ στρατιᾷ, καὶ κατέκοψαν ξί-
φεσι πάντας τοὺς Μανιχαίους καὶ τὸν ἐπίσκοπον αὐτῶν σὺν τῷ
κλήρῳ αὐτοῦ· καὶ ἐφονεύθησαν πάντες ἐπ᾽ ὄψεσι τοῦ αὐτοῦ βα-
D σιλέως καὶ τοῦ ἐπισκόπου τῶν χριστιανῶν. ἐδημεύθησαν δὲ καὶ
αἱ ὑποστάσεις αὐτῶν, καὶ τὰς ἐκκλησίας αὐτῶν δέδωκε τοῖς χριστι-
ανοῖς, ἐκπέμψας θείας αὐτοῦ σάκρας ἐν τῇ ὑπ᾽ αὐτοῦ διοικουμένῃ
πολιτείᾳ, ὥστε τὸν εὑρισκόμενον Μανιχαῖον πυρίκαυστον γενέσθαι·
καὶ τὰς βίβλους δὲ αὐτῶν πάσας κατέκαυσεν. ἅτινα διηγήσατο
βασταγάριος Περσῶν, ὅστις βαπτισθεὶς μετεκλήθη Τιμόθεος.

Ἐν αὐτῷ δὲ τῷ χρόνῳ ὁ Ῥωμαίων βασιλεὺς τὸ κάστρον τὸ
λεγόμενον Ἀνάσαρθον μετεκάλεσε Θεοδωριάδα εἰς τὸ ὄνομα τῆς
O 179 Αὐγούστας, παρεσχηκὼς καὶ δίκαια πόλεως. ὁμοίως δὲ τὸ ἐν
Σούσοις κάστρον μετωνόμασεν Ἰουστινιανούπολιν.

2. Σελευκέσιν] V. ad p. 47. B.

Urbis conscripserunt. Justinianus autem de his omnibus certior factus, pro divina sua munificentia, Antiochensibus, Laodicenis, et Seleucensibus tributa omnia in triennium remisit: concessis etiam, in urbium harum [singularum] instaurationem, libris ducentis; Primoribus etiam urbium singularum Illustrium dignitate auctis.

Eodem tempore Manichaeorum Dogma, in Persicis regionibus repullulans, radices eo usque egerat, ut Episcopum etiam sibi, nomine Indarazar, constituerent. Quod Rex Persarum ubi rescivisset; et ipse Archimagique ejus ira commoti sunt. Rex itaque silentio convocato, Manichaeos omnes, una cum Episcopo suo comprehendi jussit: quibus coram adductis, exercitui, in procinctu astanti in mandatis dedit, uti eos neci darent. Milites itaque Manichaeos omnes cum Episcopo cleroque ejus gladio peremerunt; rege ipso et Christianorum Episcopo spectantibus. Quin et publicatis etiam facultatibus eorum, librisque igni traditis, Ecclesias quoque Christianis addixit: sacris insuper undique promulgatis; si quis, per imperium Persicum, Manichaeus inveniretur, uti igne absumeretur: sicuti haec narravit Persarum Bastagarius, qui post susceptum Baptismum, Timotheus dictus est.

Eodem tempore Romanus Imperator Castrum Anasarthum, civitatis jure donatum, ab Augustae nomine, Theodoriadem vocavit. Consimiliter quoque Susianum Castrum Justinianopolim vocavit.

Τῷ δὲ αὐτῷ χρόνῳ Ἀλαμούνδαρος ὁ τῶν Περσῶν Σαρακηνὸς ἐλθὼν μετὰ Περσικῆς καὶ Σαρακηνικῆς βοηθείας ἐπραίδευσε τὴν πρώτην Συρίαν ἕως τῶν ὅρων Ἀντιοχείας, καύσας καὶ τόπους τῆς αὐτῆς χώρας. καὶ ἀκούσαντες τὰ γεγονότα οἱ ἔξαρχοι Ῥωμαίων ἐξῆλθον κατ᾽ αὐτῶν· καὶ γνόντες οἱ Σαρακηνοί, λαβόντες πᾶσαν τὴν πραῖδαν διὰ τοῦ ἐξωτέρου λιμίτου ἔφυγον. E

Ἐν αὐτῷ δὲ τῷ καιρῷ καὶ ὁ ἀγωγὸς Ἀλεξανδρείας τῆς μεγάλης ἀνενεώθη ὑπὸ τοῦ βασιλέως Ἰουστινιανοῦ. V 62

Ἀκούσας δὲ ὁ αὐτὸς βασιλεὺς τὰ γενόμενα ὑπὸ τῶν Σαρακηνῶν, πέμψας οὐκ ὀλίγην βοήθειαν πεζικὴν ἐκ τῆς Φρυγῶν χώρας, τοὺς λεγομένους Λυκοκρανίτας, ἀπῆλθεν ἐπὶ τὰ Σαρακηνικὰ καὶ τὰ Περσικὰ μέρη. ἐν αὐτῷ δὲ τῷ καιρῷ προεβλήθη ἔξαρχος Ῥωμαίων Βελισσάριος ὑπὸ τοῦ αὐτοῦ βασιλέως· ἦν γὰρ διαδεχθεὶς Ὑπάτιος ὁ πατρίκιος, ὁ πρὸ αὐτοῦ ὢν στρατηλάτης, καταπιστευθεὶς δὲ Βελισσάριος τὰ ἐξέρκετα καὶ τοὺς δοῦκας εἰς τὴν κατὰ Περσῶν μάχην. ἐν αὐτῷ δὲ τῷ χρόνῳ ἐπέμφθη εἰς τὰ Περσικὰ Ἑρμογένης ὁ ἀπὸ μαγίστρων, ὁ Σκύθης, ἀνὴρ σοφός. O 180 B τῷ δὲ ἰουνίῳ μηνὶ τῆς ἑβδόμης ἰνδικτιῶνος ταραχῆς γενομένης ἐθνικῆς, συμβαλόντων γὰρ τῶν Σαμαρειτῶν μεταξὺ χριστιανῶν καὶ Ἰουδαίων, πολλοὶ τόποι ἐνεπρήσθησαν ἐν Σκυθοπόλει ἐκ τῶν αὐτῶν Σαμαρειτῶν. καὶ τοῦτο ἀκούσας ὁ αὐτὸς βασιλεὺς ἠγανάκτησε κατὰ τοῦ ἄρχοντος Βάσσου· ὅντινα διαδεξάμενος ἀπεκεφάλισεν ἐν αὐτῇ τῇ χώρᾳ. οἱ δὲ Σαμαρεῖται

20. γὰρ expunctum malim.

Eisdem temporibus, Alamundarus Saracenus, Persarum [socius] copiis Persicis et Saracenicis instructus, Syriam Primam depraedatus est; adusque Antiochiae fines omnia vastans. Haec ubi audivissent Romanorum Duces, contra eum egressi sunt: quo cognito, Saraceni, arrepta praeda, per limitem exteriorem evaserunt.

Eorum tempore Justinianus Imperator Aquaeductum Alexandriae magnae instauravit.

Imperator vero certior factus de Saracenorum Incursionibus, pedestribus copiis ingentibus collectis ex Phrygum Lycocranitarum regione dicta, in Persarum et Saracenorum partes eas emittit. Eodem tempore, Hypatio Patricio, Militum Magistro, dignitate exuto, Belisarius ab Imperatore in locum ejus suffectus est, qui exercitus Romanos, Ducesque et totum Belli Persici negotium sibi commissum habuit. Eodem etiam tempore in Persidem missus est Hermogenes Scytha, Exmagister, vir prudentissimus. Mense autem Junio, Indictionis VII, tumultus Gentilis exortus est: Samaritanis enim, Judaeisque, cum Christianis conflictantibus quamplurima in Scythopoli aedificia a Samaritanis combusta sunt. Imperator autem de his certior factus Basso Praefecto iratus, officio eum abdicavit: caputque etiam ei, eadem ipsa in regione, amputavit. Samari-

γνόντες τὴν καθ' ἑαυτῶν ἀγανάκτησιν, ἐτυράννησαν καὶ ἔστεψαν λῄσταρχον ὀνόματι Ἰουλιανόν, Σαμαρείτην, καὶ ἔκαυσαν κτήματα καὶ ἐκκλησίας καὶ ἐφόνευσαν πολλοὺς χριστιανούς. καὶ εἰσελθὼν ἐν Νεαπόλει ἐθεώρησεν ἱπποδρόμιον μετὰ πλήθους Σαμαρειτῶν· καὶ τὸ πρῶτον βάϊον ἐνίκησε Νικέας τις, ἡνίοχος
C χριστιανός. ἦσαν δὲ καὶ ἄλλοι ἐν τῇ αὐτῇ Νεαπόλει ἡνίοχοι, Σαμαρεῖται καὶ Ἰουδαῖοι, οὕστινας ἐνίκησεν ὁ αὐτὸς Νικέας ἡνίοχος. καὶ ἐλθὼν πρὸς τὸν τύραννον, ὀφείλων τιμηθῆναι, ἐπηρώτησε δὲ αὐτὸν ποίας ὑπάρχει θρῃσκείας; καὶ μαθὼν ὅτι χριστιανός ἐστι, καὶ εἰς σύμβολον δεξάμενος τὴν τῶν χριστιανῶν εὐθέως πρώτην νίκην κατ' αὐτοῦ, ὅπερ καὶ γέγονεν, εὐθέως πέμψας ἀπεκεφάλισε τὸν ἡνίοχον ἐν τῷ ἱπποδρομίῳ. ἐχρήσατο κακῶς καὶ τῷ ἐπισκόπῳ τῆς αὐτῆς πόλεως. τοῦτο δὲ γνόντες οἱ
O 181 ἄρχοντες Παλαιστίνης καὶ ὁ δοὺξ Θεόδωρος ὁ σιμὸς τὸ τῆς τυραννίδος τόλμημα ἐμήνυσεν εὐθέως τῷ βασιλεῖ Ἰουστινιανῷ· καὶ ἀπελθὼν ὁ δοὺξ κατ' αὐτοῦ μετὰ πολλῆς βοηθείας, λαβὼν μεθ'
D ἑαυτοῦ καὶ τὸν φύλαρχον Παλαιστίνης· καὶ γνοὺς τοῦτο ὁ τύραννος Ἰουλιανὸς ὁ Σαμαρείτης, φυγὼν ἐξῆλθεν ἀπὸ Νεαπόλεως. καὶ κατεδίωξεν αὐτὸν ὁ δοὺξ μετὰ τῆς ἑαυτοῦ βοηθείας, καὶ συνέκρουσαν πόλεμον· καὶ ἔκοψεν ὁ δοὺξ ἐκ τῶν Σαμαρειτῶν πλῆθος, καὶ παρέλαβεν αὐτὸν Σαμαρείτην Ἰουλιανόν, τοῦ θεοῦ πα-

8. ἐπηρώτησε Ch., ἐπερώτησε Ox. 15. ἐμήνυσεν] „Forte scribend. ἐμήνυσαν." Ch.

tae interim ubi intellexissent Imperatorem sibi infensum esse, res novas moliti sunt; et Julianum quendam, Samaritam, Latronum principem, corona adornantes, praediis passim et Ecclesiis ignes injecerunt; quamplurimis etiam Christianis e medio sublatis. Quin et Neapolim ingressus Julianus numerosa Samaritarum turba stipatus, Circensia etiam spectabat: ubi Niceas quidam, Christianus auriga Palmam primam tulit: qui caeteris etiam qui ibi aderant omnibus, tam Samaritis, quam Judaeis aurigis, superior factus est. Tyrannum itaque adientem, victoriae praemium ab eo ut acciperet; Tyrannus, cujus sectae esset, eum interrogavit. Cumque Christianum esse intellexisset, (pro malo in se omine habens, Christianos primam statim palmam suis praeripere; quod et factum est:) misso carnifice, Aurigae in ipso Circo caput amputavit, sed et Episcopum quoque ejusdem urbis pessime habuit. Palaestinae autem Praefecti, cum Theodoro Simo Duce, de his certiores facti; Tyranni hujus impudentem audaciam Justiniano Imperatori protinus per litteras repraesentant. Contra eum vero, ingenti cum exercitu, egreditur Theodorus Dux; qui Phylarcham etiam Palaestinae sibi socium adjunxit. Quo audito, Julianus Samarita, Tyrannus, Neapoli relicta, fugam capessit: quem Palaestinae Dux cum copiis suis insecutus, cumque eo praelio congressus, Samaritas late prosternit; comprehensum quoque Julianum ipsum, Deo tradente eum,

ῥαδόντος αὐτόν. καὶ ἀποκεφαλίσας αὐτὸν ἔπεμψε τὴν κεφαλὴν αὐτοῦ μετὰ τοῦ διαδήματος τῷ βασιλεῖ Ἰουστινιανῷ. καὶ ὅτε ἐγνώσθη τῷ αὐτῷ βασιλεῖ τὰ γενόμενα, τὸ τῆς τυραννίδος τῶν Σαμαρειτῶν καὶ τοῦ δυστυχοῦς Ἰουλιανοῦ, ἡ παρὰ τῶν ἀρχόντων μήνυσις εὐθέως κατέλαβεν ἐν Κωνσταντινουπόλει καὶ ἡ τοῦ τυράννου κεφαλή. ἔπεσον δὲ ἐκ τῶν Σαμαρειτῶν ἐν τῷ πολέμῳ χιλιάδες εἴκοσι· καὶ οἱ μὲν ἔφυγον εἰς τὸ ὄρος τὸ λεγόμενον Ἀρπαρίζιν, ἄλλοι δὲ εἰς τὸν Τραχῶνα εἰς τὸ λεγόμενον σιδηροῦν ὄρος. ἔλαβε δὲ καὶ ὁ φύλαρχος Σαρακηνὸς ὁ τῶν Ῥωμαίων πραῖδαν ἐξ αὐτῶν χιλιάδας εἴκοσι παίδων καὶ κορασίων· οὕστινας λαβὼν αἰχμαλώτους ἐπώλησεν ἐν τοῖς Περσικοῖς καὶ Ἰνδικοῖς μέρεσιν. E O 182

Ὁ δὲ αὐτὸς βασιλεὺς γνοὺς ὅτι πολλὰ κτήματα τῆς Παλαιστίνης ἔκαυσαν οἱ Σαμαρεῖται τὴν ἀρχὴν ὅτε ἐτυράννησαν, ἠγανάκτησε κατὰ τοῦ δουκὸς Παλαιστίνης, διότι πρὸ τοῦ ἐπιῤῥίψωσιν εἰς τὰ κτήματα ἢ εἰς τὴν πόλιν, ἢ μόνον ἤκουσεν ὅτι συνάγονται, οὐχ ὥρμησε κατ' αὐτῶν καὶ ἐσκορπίζοντο. καὶ διαδεξάμενος τὸν αὐτὸν δοῦκα ἀσχήμως ἐκέλευσεν αὐτὸν ἀσφαλισθέντα φυλάττεσθαι. καὶ ἐπέμφθη ἀντ' αὐτοῦ δοὺξ Εἰρηναῖος, Ἀντιοχεύς· ὅστις ὁρμήσας κατὰ τῶν ἀπομεινάντων Σαμαρειτῶν ἐν τοῖς ὄρεσι, πολλοὺς ἀπώλεσε πικρῶς τιμωρησάμενος. V 63

Ὁ δὲ τῶν Περσῶν βασιλεὺς Κωάδης δεξάμενος Ἑρμογένην

7. Ἀρπαρίζιν] Ἀργαρίζιν Ch. *Garizin* autem dicit. V. ad p. 34. A.
15. ἐπιῤῥίψωσιν Ch., ἐπιῤίψωσιν Ox.

capite truncat; caputque ejus, una cum Diademate, Justiniano Imperatori mittit. Quo tempore vero miseri Juliani Samaritarumque Tyrannidis fama prima innotuerat; continuo etiam rerum a Ducibus in illos gestarum nuncium, Tyrannique caput, Constantinopolim perlata sunt. Ceciderunt autem ex Samaritis, in hoc bello xx. Millia hominum: caeteri nonnulli in montem Arparizim vocatum, alii in Trachonitidem, ad Ferreum montem recipientes sese, evaserunt. Saracenus etiam Romanorum Phylarcha xx Millia juniorum utriusque sexus ex eis pro praeda cepit; quos captivos abducens in regionibus Persicis Indicisque vendidit.

Caeterum Imperator, audito Samaritas sub ipsis agitatae Tyrannidis initiis plurima per Palaestinam praediola ignibus absumpsisse, illud in Palaestinae Duce indigne tulit; eo quod non eos, antequam praedia haec urbemque occupassent, quamque primum in unum coactos subintellexerat, sine mora aggressus dissipasset. Ducem itaque hunc munere suo turpiter abdicatum, arcte custodiri jussit; suffecto in locum ejus Irenaeo, Antiochensi: qui Samaritarum reliquias, montibus incubantes, acrius insecutus, late exitio dedit, graviter in eos animadvertens.

Mense autem Julio Coades, Persarum Rex, Hermogenem Magistrum,

μάγιστρον, ἐν φιλίᾳ πρεσβείας πεμφθέντα μετὰ καὶ δώρων τῆς B *ἀναγορεύσεως τοῦ βασιλέως Ἰουστινιανοῦ ἐν μηνὶ ἰουλίῳ.*

O 183 *Συνέβη δὲ κατ' ἐκεῖνο καιροῦ παθεῖν ὑπὸ θεομηνίας Ἀμάσειαν ἐν τῇ Ποντικῇ καὶ αὐτῆς τῆς περιχώρου μέρη. ὁ δὲ αὐτὸς βασιλεὺς τῇ αὐτῇ πόλει πολλὰ ἐχαρίσατο.*

Ἐν αὐτῷ δὲ τῷ χρόνῳ ἀνακωδίκευσις ἐγένετο τῶν παλαιῶν νόμων· καὶ ποιήσας ἰδίους νόμους κατέπεμψεν ἐν πάσαις ταῖς πόλεσι πρὸς τὸ τοὺς δικαζομένους μὴ περιπίπτειν θλίψεσι καὶ ζημίαις, ἀλλὰ ταχεῖαν ἔχειν τὴν ἀπαλλαγήν· ὅπερ μονόβιβλον κατασκευάσας ἔπεμψεν ἐν Ἀθήναις καὶ ἐν Βηρυτῷ.

Ὁ δὲ αὐτὸς βασιλεὺς ἀπεμέρισεν ἀπὸ Ἀντιοχείας τῆς πρώτης C *Συρίας Λαοδίκειαν καὶ Γάβαλα καὶ Πάλτον τὰς πόλεις, καὶ ἀπὸ Ἀπαμείας τῆς δευτέρας Συρίας Βαλανέας πόλιν, καὶ ἐποίησεν ἐπαρχίαν, ἥντινα ἐπωνόμασε Θεοδωριάδα, δοὺς αὐτῇ καὶ μητροπολιτικὸν δίκαιον. τὸν δὲ ἐπίσκοπον Λαοδικείας οὐκ ἠλευθέρωσε τοῦ ὑποκεῖσθαι τῷ πατριάρχῃ τῆς Ἀντιοχέων πόλεως.*

Ἐν δὲ τῷ αὐτῷ χρόνῳ ἔπαθεν ὑπὸ θεομηνίας μητρόπολις τῆς Λυκίας τὰ Μύρα· καὶ πολλὰ ἐχαρίσατο τοῖς ὑπολειφθεῖσι καὶ τῇ πόλει εἰς κτίσματα ὁ αὐτὸς βασιλεύς.

Ἐν δὲ τῷ αὐτῷ χρόνῳ ἐγένετο ταραχὴ ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ ἐν τῷ θεάτρῳ. καὶ τὰ τῆς ταραχῆς ἀνηνέχθη τῷ αὐτῷ βασιλεῖ. καὶ ἀγανακτήσας ἐξ ἐκείνου ἐκώλυσε τὴν θέαν τοῦ

12. *Δαβαλὰ* Ox., *Γάβαλα* supra p. 32. B. 16. *ἐλευθέρωσε* Ox.

ab Imperatore Justiniano cum Legatione donisque salutatoriis missum, peramice excepit.

Contigit autem per id tempus, Amasiam, Ponticae ditionis urbem, una cum regionibus circumvicinis, divinam iram subire: cui etiam urbi Imperator plurima largitus est.

Eodem tempore Leges omnes veteres in Codicem unum coactae sunt: quin et Leges a se latas, per singulas Imperii urbes Justinianus emisit, nempe, ut in jus vocati, celerius et minori cum dispendio, Causidicis sese expedirent. Leges vero has, in volumen unum digestas, Athenas et Berytum transmisit.

Idem Imperator Laodicaeam, Gabalam, Paltumque urbes ab Antiochia Syriae primae, ab Apamia autem Syriae secundae Balaneas urbem dirimens, in Provinciae formam redegit; quam etiam jure Metropolitico donatam, Theodoriadem nominavit. Episcopum tamen Laodicensem Antiocheno Patriarchae nihilo secius, uti antea, subesse voluit.

Eodem tempore divinam iram perpessa est Myra, Lyciae Metropolis; cui instaurandae, ut etiam civibus superstitibus, Imperator plurima suppeditavit.

Sub id ipsum tempus Antiochiae magnae Tumultus ingens in Theatro obortus est; de quo certior factus Imperator, exinde in iram commo-

θεάτρου πρὸς τὸ μὴ ἐπιτελεῖσθαι τοῦ λοιποῦ ἐν τῇ τῶν Ἀντιο- D χέων πόλει.

Ἐν αὐτῷ δὲ τῷ χρόνῳ διωγμὸς γέγονεν Ἑλλήνων μέγας, καὶ O 184 πολλοὶ ἐδημεύθησαν, ἐν οἷς ἐτελεύτησαν Μακεδόνιος, Ἀσκληπιόδοτος, Φωκᾶς ὁ Κρατεροῦ, καὶ Θωμᾶς ὁ Κοιαίστωρ· καὶ ἐκ τούτου πολὺς φόβος γέγονεν. ἐθέσπισε δὲ ὁ αὐτὸς βασιλεὺς ὥστε μὴ πολιτεύεσθαι τοὺς ἑλληνίζοντας, τοὺς δὲ τῶν ἄλλων αἱρέσεων ὄντας ἀφανεῖς γενέσθαι τῆς Ῥωμαϊκῆς πολιτείας, προθεσμίαν τριῶν μηνῶν λαβόντας εἰς τὸ γενέσθαι αὐτοὺς κοινωνοὺς τῆς ὀρθοδόξου πίστεως. ὅστις θεῖος τύπος ἐνεφανίσθη ἐν πάσαις ταῖς ἐξωτικαῖς πόλεσιν.

Ἐν αὐτῷ δὲ τῷ καιρῷ ἠγανακτήθη ὁ ἀπὸ ὑπάτων Πρίσκος, ὁ ἀπὸ νοταρίων τοῦ αὐτοῦ βασιλέως, καὶ δημευθεὶς ἐγένετο διά- E κονος καὶ ἐπέμφθη ἐν Κυζίκῳ.

Ἐν αὐτῷ δὲ τῷ καιρῷ Ἑρμογένης ὁ μάγιστρος ὑποστρέψας ἐκ τῶν Περσικῶν δοὺς τὰ δῶρα ἀνήγαγεν ἀποκρίσεις παρὰ Κωάδου, βασιλέως Περσῶν, πρὸς Ἰουστινιανόν, βασιλέα Ῥωμαίων, ἐπιφερόμενος σάκρας περιεχούσας οὕτως.

Κωάδης βασιλεὺς βασιλευόντων, ἡλίου ἀνατολῆς, Φλαβίῳ O 185 V 64 Ἰουστινιανῷ Καίσαρι σελήνης δύσεως. ηὕραμεν ἐν τοῖς ἡμετέροις ἀρχαίοις ἀναγεγραμμένα ἀδελφοὺς ἡμᾶς ἀλλήλων εἶναι, καὶ

9. **λαβόντας Ch., λαβόντες Ox.**

tus, Ludi Theatrici deinceps Antiochiae ne amplius ederentur prohibuit.

Eodem tempore Graecae religionis homines persecutionem gravem perpessi sunt, publicatis etiam quamplurimorum facultatibus; inter quos Macedonius, Asclepiodotus, Phocas etiam Crateri F. cum Thoma Quaestore, diem suum interea obierunt: Exinde vero metus ingens omnibus incessit. Quin et edicto Imperatorio cautum est, Graecissantes in posterum ne publicum aliquod in Rep. munus obirent. Reliquarum vero Haeresium sectatores quoscunque Romani Imperii finibus excedere jussit Imperator; indulta tamen eis per tres menses licentia, si qui per id tempus fidem Orthodoxam amplecterentur. Quod quidem Edictum in omnibus urbibus extraneis promulgatum est.

Eodem tempore Priscus quidam, Exconsul, et Imperatoris hujus olim Notarius; qui in Imperatoris iram inciderat, bonis publicatis, Diaconus factus est, Cyzicumque relegatus.

Iisdem Temporibus Hermogenes Magister, ex Perside redux, munera secum, et Coadis Persarum Regis Justiniano Imperatori Responsum retulit, his verbis conscriptum:

„Coades, Rex Regum, solis, Orientis, Flavio Justiniano, Caesari, Lunae, Occidentis."

„Priscis Archivorum regni Nostri ex Monumentis compertum habuimus, Nos Fratres esse: et quod, si cuivis Nostrum vel hominibus, vel

ἐάν τις ἐπιδεηθῇ σωμάτων ἢ χρημάτων, παρέχειν τὸν ἕτερον. καὶ μεμενήκαμεν ἐξ ἐκείνου καὶ μέχρι τοῦ παρόντος οὕτως διατελοῦντες· καὶ ποτὲ μὲν ἐθνῶν ἡμῖν ἐπανισταμένων, τοῖς μὲν παρατάξασθαι ἠναγκάσθημεν, τοὺς δὲ καὶ διὰ δόσεως χρημάτων ὑποταγῆναι ἐπείσαμεν, ὥς δῆλον εἶναι πάντα τὰ ἐν τοῖς ἡμετέροις θησαυροῖς ἀναλωθῆναι. ταῦτα δὲ καὶ Ἀναστασίῳ καὶ Ἰουστίνῳ τοῖς βασιλεῦσι γεγραφήκαμεν, καὶ ἠνύσαμεν πλέον οὐ-
B δέν· ὅθεν ἠναγκάσθημεν παρατάξασθαι πολέμου χάριν, καὶ πλησίον τῶν Ῥωμαϊκῶν γενόμενοι τοὺς ἐν μέσῳ μηδὲν ἁμαρτήσαντας προφάσει τῆς ἐκείνων ἀπειθείας ἀπολέσαι. ἀλλ', ὡς χριστιανοὶ καὶ εὐσεβεῖς, φείσασθε ψυχῶν καὶ σωμάτων, καὶ μετάδοτε ἡμῖν χρυσίον· εἰ δὲ μὴ τοῦτο ποιεῖτε, εὐτρεπίσατε ἑαυτοὺς πρὸς πόλεμον, προθεσμίαν ἔχοντες ὅλου τοῦ ἐνιαυτοῦ, ἵνα
O 186 μὴ νομισθῶμεν κλέπτειν τὴν νίκην καὶ δόλῳ περιγίνεσθαι τοῦ πολέμου.

Τῷ δὲ αὐτῷ χρόνῳ ὁ αὐτὸς βασιλεὺς Ἰουστινιανὸς ἐδωρήσατο τοῖς Ἀντιοχεῦσι τὴν ἰδίαν τόγαν, ἔχουσαν καὶ λίθους βασιλι-
C κούς· καὶ ἡπλώθη ἐν τῇ ἐκκλησίᾳ τῇ λεγομένῃ Κασσιανοῦ.

Ἐπὶ δὲ τῆς ὑπατείας Δεκίου προσεῤῥύη Ῥωμαίοις Μοῦνδος ὁ ἐκ γένους τῶν Γηπέδων καταγόμενος, υἱὸς ὢν ῥηγός, μετὰ τὴν τελευτὴν τοῦ ἰδίου αὐτοῦ πατρὸς πρὸς Θραυστίλαν, θεῖον αὐτοῦ, γεγονώς, καὶ διῆγεν ἐν τῷ Σιρμίῳ. καὶ γνοὺς τοῦτο ὁ

10. ἐκείνων Ch., ἐκείνου Ox. *ibid.* ἀπολέσθαι Ox. 11. φείσασθε Ch., φείσασθαι Ox. 18. Κασιανοῦ Ox. 20. Γηπεδῶν Ox. 22. γεγονότα Ox., γεγονώς Ch.

pecuniis opus fuerit, ab altero subministrandos esse. Quam quidem Nos Fidem, in praesentem hunc usque diem, vobis integram praestitimus. Caeterum ab hostibus quandoque impetiti, in praelium cum nonnullis eorum descendere coacti fuimus: reliqui vero, datis pecuniis, Imperium Nostrum ut admitterent effecimus. Unde Fiscum Nostrum penitus exhaustum esse, sat liquido constat. Super his vero cum ad Imperatores Anastasium ac Justinum referentes nihil ita profecerimus, arma deinde sumere necesse habuimus. Propius itaque a finibus vestris cum abfuerimus, intermedios quosque, licet innoxios, e medio sustulimus, violatae a vobis fidei sub praetextu. Vos vero, Christiani, cum satis et pietatem colatis; parcite potius hominibus vestris et pecunias date. Sin aliter, ad bellum vos accingite: cujus tamen inducias vobis in annum integrum permittimus, ne suffurari victoriam, vel ea per dolum potiri videremur."

Eodem tempore Justinianus Imperator Togam suam, regiis lapillis insignitam, Antiochenis dono transmisit; quam Antiocheni S. Cassiani in Ecclesia suspenderunt explicatam.

Caeterum Decii sub Consulatu Romanis sese adjunxit Mundus quidam, Gepidis oriundus, et regio sanguine prognatus. Hic patris sui post obitum, apud Thraustilam, avunculum suum, Sirmii degebat: quo Romae

ῥὴξ Ῥώμης ὁ Οὐαλεμεριακὸς ὁ καὶ Θευδερίχος, πέμψας προετρέψατο τὸν αὐτὸν Μοῦνδον· καὶ πεισθεὶς ἀπῆλθε πρὸς αὐτὸν μετὰ τῶν ἀνθρώπων αὐτοῦ καὶ διέτριψε πρὸς αὐτόν, ὑπερμαχῶν ὑπὲρ τοῦ Οὐαλεμεριακοῦ τοῦ καὶ Θευδερίχου. ἀναχωρήσας δὲ Μοῦνδος ἀπὸ Ῥώμης ἀνῆλθεν ἐπὶ τὸν Δανούβιον ποταμόν· καὶ πέμψας πρὸς τὸν βασιλέα Ἰουστινιανὸν πρεσβευτὰς ᾔτησεν αὐτὸν ὑπὸ τὴν βασιλείαν αὐτοῦ γενέσθαι. καὶ ἐδέξατο D
αὐτὸν σὺν τοῖς ἀνθρώποις αὐτοῦ, ποιήσας αὐτὸν στρατηλάτην τοῦ Ἰλλυριῶν ἔθνους, καὶ ἀπέλυσεν αὐτὸν ἐν τῇ ἰδίᾳ στρατηλασίᾳ. καὶ καταλαβόντος αὐτοῦ τὴν χώραν τοῦ Ἰλλυρικοῦ, ἐπέρ- O 187
ριψαν αὐτῷ Οὖννοι μετὰ πολλοῦ πλήθους διαφόρων βαρβάρων· καὶ ἐξελθὼν ὥρμησε κατ' αὐτῶν, καὶ πάντας κατανήλωσε· καὶ ἔπεμψε πραῖδαν ἐξ αὐτῶν καὶ ἕνα ῥῆγα αὐτῶν· καὶ ἐγένετο εἰρήνη ἐν τῇ Θρᾴκῃ, καὶ ἐκ τούτου φόβος κατεῖχε τὰ βάρβαρα ἔθνη.

Ἐπὶ δὲ τῆς ὑπατείας τοῦ αὐτοῦ Δεκίου ὁ αὐτὸς βασιλεὺς θεσπίσας πρόσταξιν ἔπεμψεν ἐν Ἀθήναις, κελεύσας μηδένα διδάσκειν φιλοσοφίαν μήτε νόμιμα ἐξηγεῖσθαι μήτε κόττον ἐν E
μιᾷ τῶν πόλεων γίνεσθαι, ἐπειδὴ ἐν Βυζαντίῳ εὑρεθέντες τινὲς τῶν κοττιστῶν καὶ βλασφημίαις δειναῖς ἑαυτοὺς περιβαλόντες χειροκοπηθέντες περιεβωμβήθησαν ἐν καμήλοις.

3. ὑπερμαχῶν Ch., ὑπερμαχὴν Ox. 9. Ἰλλυρίων Ox. 21. περιεβωμβήθησαν] „Lego, περιεπομπεύθησαν." Ch. V. Ch. ad p. ed. Bonn. 436. 9.

Rex, Valemeriacus, qui et Theuderichus, ubi intellexisset, per literas eum hortatus est ad se uti veniret. Persuasus itaque Mundus, ad Theuderichum cum suis profectus est; ubi diutius degens propugnatorem se ei in omnibus exhibuit. Tandem vero inde discedens, Danubium fluvium accessit, Imperatorem Justinianum exoratum habens, uti sibi liceret ejus subesse Imperio. Imperator Mundum excepit; Militumque in Illyrio Magistrum factum, in demandatum ei munus, cum suis demisit. Quamprimum autem Illyricam regionem occupasset Mundus, ab Hunnis, numerosum diversorum Barbarorum exercitum ducentibus, bello petitus est. Hos vero Mundus bello aggressus, ad unum omnes delevit; quin et praedam quoque, comprehensumque ex Regulis unum, [Constantinopolim] transmisit. Exinde pax Thraciae reddita, timorque Magnus Barbaris gentibus incussus est.

„Ejusdem Decii sub Consulatu, Edicto Athenas misso, Imperator sancivit, ne cui liceret Philosophiam publice profiteri, aut Leges interpretari. Sed et Aleatoriam etiam exerceri, universum per imperium, prohibuit." Quin et Aleatores quidam Byzantii comprehensi, qui diris Blasphemiis sese immerserant, manibus truncati, camelis imponebantur, et per urbem quasi in triumpho ferebantur.

Ἐν αὐτῷ δὲ τῷ χρόνῳ παρεσχέθη ἐτησία πρόσοδος ἐν τῷ ξενῶνι Ἀντιοχείας νομισμάτων τετρακισχιλίων ὑπὸ τοῦ αὐτοῦ εὐσεβοῦς βασιλέως.

V 65 Εὑρέθη δὲ ἐν αὐτῷ τῷ χρόνῳ καὶ τὸ τίμιον λείψανον τοῦ
ἁγίου μάρτυρος Μαρίνου εἰς τὴν πρώτην Συρίαν ἔξω τῆς λεγο-
O 188 μένης Γινδάρου πόλεως, τοῦ περιοδευτοῦ τῆς χώρας ἐν ὀπτα-
σίᾳ πλειστάκις ἑωρακότος τὸν τόπον ἔνθα ἔκειτο ὁ ἅγιος, ἔχων ἀπὸ τῆς κεφαλῆς κατὰ παντὸς τοῦ σώματος αὐτοῦ ἥλους σιδηροῦς, εἰς σανίδα παραπλωθεὶς προσηλώθη, καὶ ἐτέθη εἰς πέτραν γλυφεῖσαν αὐτῷ τάφον. καὶ ἐπήρθη τὸ λείψανον αὐτοῦ, καὶ ἠνέχθη καὶ κατετέθη ἔξω τῆς Ἀντιοχέων πόλεως ἐν τῷ ἁγίῳ Ἰουλιανῷ.

Ἐν αὐτῷ δὲ τῷ χρόνῳ κατεπέμφθησαν πρέσβεις Ῥωμαίων ἐν τοῖς Περσικοῖς μέρεσιν Ἑρμογένης καὶ Ῥουφῖνος ὁ στρατηλά-
B της, ἐπὶ τῆς ὑπατείας Λαμπαδίου καὶ Ὀρέστου. καὶ φθασάν-
των αὐτῶν τὸ Δόρας τὸ μετακληθὲν Ἀναστασιούπολις, μήνυσιν κατέπεμψαν τῷ βασιλεῖ Περσῶν Κωάδῃ· καὶ ὑπερέθετο ὁ αὐτὸς βασιλεὺς τοῦ δέξασθαι αὐτούς. καὶ ἐν τῷ διάγειν αὐτοὺς εἰς τὸ Δόρας ἅμα Βελισαρίῳ τῷ στρατηλάτῃ σὺν τοῖς ἄλλοις ἐξάρχοις καὶ τῇ στρατιωτικῇ βοηθείᾳ, καὶ ἀπληκευόντων αὐτῶν ἔξω τοῦ Δόρας, τὴν ἀπόκρισιν τοῦ βασιλέως Περσῶν δε-
O 189 χόμενοι, ὁ Μηρὰμ ὁ πρῶτος ἔξαρχος Περσῶν καὶ ὁ υἱὸς τοῦ
βασιλέως Περσῶν σὺν ἄλλοις ἐξάρχοις Περσῶν καθήμενοι εἰς τὸ Νίσιβι, καὶ γνόντες ὅτι ἔξω τοῦ Δόρας ἀπληκεύουσιν οἱ Ῥω-

6. Γινδαρουπόλεως Ox. 13. πρεσβεῖς Ox.

Eodem tempore pius Imperator Hospitium Antiochenum reditu annuo IV nummorum millibus donavit.

Eisdem etiam temporibus venerandae S. Marini Martyris Reliquiae, (cujus sepulturae locus regionis istius Circitori, saepiuscule per somnium obversatus est,) extra Gindaropolim Syriae Primae urbem repertae sunt. Excisum huic erat in petra sepulchrum, ubi totus super asserem explicatus jacebat, clavis ei ferreis per totum corpus ejus actis affixus. Sublatas autem inde Martyris hujus reliquias, ad S. Julianum, extra Antiochiam urbem reposuerunt.

Eodem tempore, Lampadio et Oreste Coss. Romanorum Legati, Hermogenes et Rufinus, Militum Magister, in Persidem missi sunt. Hi itaque Doras olim, Anastasiopolim nunc vocatam urbem advenientes, adventum suum Coadi Persarum Regi notum fecerunt: quorum tamen admissionem Rex procrastinavit. Interim vero dum Legati ad Doras, una cum Belisario Militum Magistro, caeterisque Romanorum Exarchis et exercitu, qui castra sua extra urbem posuerant, commorantes; Responsa Regis Persarum expectarent; Meram, primarius Persarum filius, Ducesque qui, ad Nisibim concedentes, Romanos extra Doras castrametatos esse intellexe-

μαῖοι, ἐπέῤῥιψαν Πέρσαι μετὰ ἑβδομήκοντα χιλιάδων, διελόντες αὐτοὺς εἰς τρεῖς ἀρχάς.

Καὶ γνόντες οἱ ἔξαρχοι Ῥωμαίων, ὁρμήσαντες κατὰ Περσῶν C *συνέκρουσαν· καὶ συμβολῆς γενομένης ἐμίγησαν τὰ Περσῶν καὶ Ῥωμαίων στρατόπεδα, καὶ ἔκοψαν Ῥωμαῖοι Πέρσας κατὰ κράτος, λαβόντες καὶ σίγνον Περσικόν. ὁ δὲ Μηρὰμ μετὰ ὀλίγων φυγὼν σὺν τῷ υἱῷ τοῦ βασιλέως διεσώθη εἰς τὸ Νισίβιον. ἐν αὐτῇ δὲ τῇ συμβολῇ καὶ ἔξαρχος Περσῶν κατεσφάγη ὀνόματι Σάγος, Σουνίκα τοῦ δουκὸς καὶ ἐξάρχου Ῥωμαίων εἰς μονομαχίαν αὐτὸν προτρεψαμένου· καὶ ἦν ἰδεῖν νίκην Περσικῆς ἀπονοίας, εἰς ἔδαφος ἡπλωμένων νεκρῶν.*

Καὶ γνοὺς τοῦτο Κωάδης ὁ Περσῶν βασιλεὺς ἐπέτρεψεν εἰσελθεῖν τὸν πατρίκιον Ῥουφῖνον ἅμα τῷ κόμητι Ἀλεξάνδρῳ D *εἰς τὴν πρεσβείαν.*

Ἐν αὐτῷ δὲ τῷ χρόνῳ ἀνεφάνη τις ἐκ τῆς Ἰταλῶν χώρας κωμοδρομῶν, ἔχων μεθ' ἑαυτοῦ κύνα ξανθόν, ὅστις κελευόμενος ὑπὸ τοῦ ἀναθρεψαμένου ἐποίει τινὰ θαύματος ἄξια. ὁ γὰρ O 190 *αὐτὸν ἀναθρεψάμενος ἑστὼς ἐν τῇ ἀγορᾷ, καὶ ὄχλου περιεστῶτος εἰς τὸ θεάσασθαι, λάθρα τοῦ κυνὸς ἐκομίζετο παρὰ τῶν ἑστώτων δακτυλίδια, καὶ ἐτίθει εἰς τὸ ἔδαφος περισκέπων αὐτὰ ἐν χώματι. καὶ ἐπέτρεπε τῷ κυνὶ ἐπᾶραι καὶ δοῦναι ἑκάστῳ τὸ ἴδιον· καὶ ἐρευνῶν ὁ κύων τῷ στόματι ἐπεδίδου ἑκάστῳ τὸ γνωριζόμενον. ὁ δὲ αὐτὸς κύων καὶ διαφόρων βασιλέων νομίσματα μυρία ἐπεδίδου κατ' ὄνομα. παρεστῶτος δὲ ὄχλου ἀν-*

24. *μυρία*] *μιγνύμενα* Theophanes p. 190. A, Cedrenus 375. A.

rant; cum septuaginta Persarum Millibus, in tres partes divisis, in illos egressi sunt.

Quod ubi Romanis Ducibus notum fuit, et ipsi in impetum Persarum suscipiendum sese parant; praelioque commisso, et exercitibus Romano Persicoque inter se confusis, Romani Persas penitus fuderunt; vexillo etiam Persico ablato. Caeterum Meram Regisque filius paucis admodum stipati, fuga sibi consulentes, ad Nisibim evaserunt. Hac autem pugna cecidit Sagus quidam, Persarum Exarchus; quem Sunica, Dux Romanus, singulare ad certamen provocatum prostravit. Atque diffusis ibi per terram undique cadaveribus, videre erat Confidentiae Persicae triumphum.

Certior autem de his factus Persarum Rex Coades, Rufinum Patricium, Comitemque Alexandrum, Legationem suam obire jussit.

Iisdem temporibus Italus quidam circumforaneus innotuit; qui canem fulvum circumduxit, qui domini ad nutum miranda quaedam perficeret. Dominus enim in foro stans, et circumstante undique spectaculum populo clam cane, adstantium annulos accipiebat, quos in solo depositos, terra aggesta tegebat: Canem deinde eos tollere, et suum cuique reddere jubebat. Canis itaque indagatos annulos ore prehendens, cuique suum redhibuit. Idem etiam Canis diversorum quoque Imperatorum Numismata

E δρῶν τε καὶ γυναικῶν, ἐπερωτώμενος ἐδείκνυε τὰς ἐν γαστρὶ
ἐχούσας καὶ τοὺς ὄντας πορνοβοσκοὺς καὶ μοιχοὺς καὶ κνιποὺς
καὶ μεγαλοψύχους· καὶ ἀπεδείκνυε πάντα μετὰ ἀληθείας. ὅθεν
ἔλεγον πολλοὶ ὅτι πνεῦμα Πύθωνος ἔχει.

Ἐπὶ δὲ τῆς αὐτῆς βασιλείας ἐφάνη ἀστὴρ μέγας καὶ φοβερὸς
κατὰ τὸ δυτικὸν μέρος, πέμπων ἐπὶ τὴν ἄνω ἀκτῖνα λευκήν, ὁ
V 66 δὲ χαρακτὴρ αὐτοῦ ἀστραπὰς ἀπέπεμπεν· ὃν ἔλεγόν τινες εἶναι
λαμπαδίαν. ἔμεινε δὲ ἐπὶ ἡμέρας εἴκοσιν ἐκλάμπων, καὶ ἐγένον-
το ἀνυδρίαι καὶ κατὰ πόλιν δημοτικοὶ φόνοι καὶ ἄλλα πολλὰ
ἀπειλῆς πεπληρωμένα.

Τῇ δὲ συμπληρώσει τοῦ σεπτεμβρίου μηνὸς οἱ πρέσβεις
O 191 Ῥωμαίων οἱ πεμφθέντες ἐν τοῖς Περσικοῖς ὑπέστρεψαν ποιή-
σαντες πάκτα. καὶ γνοὺς τοῦτο ὁ βασιλεὺς Ἰουστινιανός, ὅτι
εἰρήνην ἔχει πρὸς Ῥωμαίους, χαρᾶς ἐπλήσθη. δεξάμενος γὰρ τὰ
γράμματα τῶν πάκτων καὶ ἀναγνοὺς εὗρε περιέχοντα οὕτως.

Ἀνελθόντες πρὸς ἡμᾶς οἱ ἡμέτεροι πρεσβευταὶ οἱ πρὸς τὴν
B σὴν σταλέντες ἡμερότητα ἀπήγγειλαν ἡμῖν τὴν ἀγαθὴν προαίρε-
σιν τῆς πατρικῆς ὑμῶν διαθέσεως. καὶ ἐπὶ πᾶσιν εὐχαριστήσα-
μεν τῷ δεσπότῃ θεῷ ὅτι πρέπον τῇ αὐτοῦ ἀγαθότητι πρᾶγμα γέ-
γονε καὶ προέβη σὺν θεῷ εἰρήνη εἰς ὠφέλειαν τῶν δύο πολιτειῶν.
ὅτι δὲ μεγάλη δόξα καὶ ἔπαινός ἐστιν ἐν πάσῃ τῇ γῇ παρὰ θεῷ
καὶ ἀνθρώποις τὸ εἰρήνην γενέσθαι μεταξὺ τῶν δύο κόσμων ἐπὶ

6. δυτικὸν Ch., δυσικὸν Ox. *ibid.* τὴν] τὰ Theophanes p. 154. B. 8. εἴκοσι Ox. 14. Ῥωμαίους] „Omnino scribendum Πέρσας.“ Ch. 21. Addidi καί.

quotquot producta, ad cujusque nomen reddidit: Quinimo turba virorum, mulierumque adstante, interrogatus de ea gravidas, Lenones, scortatores, sordidos, magnanimosque demonstrabat. Sed et haec omnia pro rei veritate Canis iste prodebat: multis ideo, Pythonis eum spiritu praeditum affirmantibus.

Eodem Imperante stella ingens et tremenda, in Occidente comparuit; radium album sursum emittens, quam, quod fulguris emissionem prae se ferebat, *Facem Ardentem*, nonnulli vocitabant. Per dies autem xx. refulsit; unde siccitates, et ubique per Imperium in populo caedes, aliaque plurima Mortalibus infausta insequuta sunt.

Mensis autem Septembris sub exitum, Legati Romanorum, qui in Persidem missi fuerant, pace facta reversi sunt. Quo audito Imperator Justinianus summo gaudio affectus est. Acceptis enim de Pace literis, perlectisque, eas in haec verba conscriptas invenit.

„Propensum paterni vestri in Nos animi studium reduces Nostri, quos ad Clementiam vestram misimus, Legati nobis renunciarunt. Domino autem Deo gratias ubique agimus, quod Bonitate ejus Consentaneum Opus effectum est; paxque mutua quae in utriusque Reip. Emolumentum et Nostram utriusque laudem cessura est stabilitur. Rem enimvero summe gloriosam esse et apud Deum hominesque universos laude dignam,

τῆς σῆς ἡμερότητος καὶ ἡμῶν τῶν γνησίως ὑμᾶς ἀγαπώντων πρόδηλόν ἐστι· καὶ οἱ ἐχθροὶ δὲ ἑκατέρας πολιτείας καταπεσοῦνται ταύτης σὺν θεῷ γενομένης. διὰ τάχους τοίνυν ἐπικαταλήψονται οἱ ἡμέτεροι πρεσβευταί, ὀφείλοντες ἀναπληρῶσαι τὰ πρὸς ἀσφάλειαν τῆς εἰρήνης. εὐχόμεθα γοῦν ἐν πολλοῖς χρό- C νοις τὴν πατρικὴν ὑμῶν διάθεσιν περισώζεσθαι.

*Καὶ ἐκπεμφθεὶς ὑπὸ Ῥωμαίων πάλιν Ῥουφῖνος, δευτέρας ἀποκρίσεως καταπεμφθείσης ἐν τοῖς Περσικοῖς μέρεσιν, εὗρε τὸν O 192 βασιλέα Περσῶν ἀναδυέντα πρὸς τὰ δόξαντα μεταξὺ αὐτῶν ἕνεκεν τῆς εἰρήνης. φημισθέντος γὰρ τούτου, ὡς τῶν Σαμαρειτῶν Ῥωμαίων ἀγανακτηθέντων ὑπὸ τοῦ βασιλέως Ἰουστινιανοῦ, ὡς προγέγραπται, φυγόντων καὶ ἀπελθόντων πρὸς Κωάδην, βασιλέα Περσῶν, ἀπὸ τῆς ἑαυτῶν χώρας Παλαιστίνης, καὶ ἐπαγγειλαμένων αὐτῷ συμμαχεῖν· τὸ δὲ πλῆθος αὐτῶν ἦν χιλιάδες πεντήκοντα, ἐπηγγείλαντο δὲ τῶν Περσῶν βασιλεῖ προδιδόναι τὴν ἑαυτῶν χώραν, τὴν Παλαιστίνην πᾶσαν καὶ τοὺς ἁγίους D τόπους, πόλιν ἔχουσαν διαφόρων βασιλέων χαρίσματα· χρυσοῦ τε γὰρ πλῆθος πολὺ καὶ λίθων τιμίων ἀναρίθμητος ποσότης· καὶ ἀκούσας ταῦτα ὁ βασιλεὺς Περσῶν, καὶ πεισθεὶς τοῖς παρ' αὐτῶν λεγομένοις, ἀνεδύη περὶ τὸ ποιῆσαι τὰ πάκτα. ἀφορμὴν δὲ λαβὼν περὶ τῶν χρυσοῤῥύτων τῶν εὑρεθέντων πρῴην ἐπὶ Ἀναστασίου τοῦ βασιλέως, ὄντων ὑπὸ Ῥωμαίους· ἦν γὰρ πρῴην τὰ αὐτὰ ὄρη ὑπὸ τὴν Περσῶν πολιτείαν· τὰ δὲ χρυσόῤῥυτα ὄρη ὑπάρχει μεταξὺ τῶν ὅρων Ἀρμενίων Ῥωμαίων καὶ

3. γινομένης Ox.

quod Clementiae Vestrae Nostrique, (qui Vos unice diligimus,) temporibus, inter orbem utrumque Pax facta fuerit, omnibus manifestum est. Quod et favente Deo utriusque Nostrum inimicis exitium futurum est. Legati itaque Nostri primo quoque tempore aderunt, quo ad Pacis confirmationem, quodcunque necessarium erit, Effectum dent. Nobis vero uti Paterna vestra affectione quam diutissime frui liceat precamur.

Missus autem secundis cum literis Imperatoriis in Persidem Rufinus Regem invenit circa pacis illas conditiones invicem ineundas longe aliter se habentem. Inter haec enim Samaritae, quibus Imperator, uti superius dictum est, infensus erat, ad Persas transfugae, (eorum autem numerabantur L. Millia) auxilia sua adversus Romanos Coadi Regi obtulerunt; in se insuper recipientes Palaestinae totius proditionem Locorumque ibi Sanctorum faciendam; in qua urbe diversorum Regum recondita erant Anathemata; ubi etiam auri et argenti vis maxima, lapillorumque pretiosorum infinita erat congeries. Haec ubi audisset Persarum Rex, illorum dictis fidem habens pacem confirmare detrectavit, arrepta etiam de Aurifodinis occasiuncula, quae Anastasii olim temporibus inventae, exinde Romano cesserant imperio; cum prius montes isti juris Persici fuissent. Montes autem hi auriferi, Armeniae Romanae Persarmeniaeque in

Περσαρμενίων, ὡς εἰδότες λέγουσιν· ἅτινα ὄρη φέρουσι χρυσὸν
πολύν· ὅτε γὰρ βροχαὶ καὶ ὄμβροι γίνονται, κατασύρεται ἡ γῆ
E τῶν αὐτῶν ὀρέων, λεπτίδας ἀναβλύζουσα χρυσοῦ· τὰ δὲ αὐτὰ
ὄρη ἐμισθοῦντο τὸ πρότερόν τινες ἀπὸ Ῥωμαίων καὶ Περσῶν
O 193 χρυσοῦ λιτρῶν διακοσίων· ἐξ οὗ δὲ παρελήφθησαν τὰ αὐτὰ ὄρη
ὑπὸ τοῦ θειοτάτου Ἀναστασίου, Ῥωμαῖοι μόνοι κομίζονται τὴν
θεσπισθεῖσαν συντέλειαν. καὶ ἐκ τούτου ἐγένετο διαστροφὴ περὶ
τὰ πάκτα.

Ἡ δὲ τῶν Σαμαρειτῶν προδοσία ἐγνώσθη Ῥωμαίοις, ὥς τι-
V 67 νων ἐξ αὐτῶν εὐπόρων συσχεθέντων ἐν τῷ ὑποστρέφειν αὐτοὺς
ἀπὸ τῶν Περσικῶν μερῶν, καὶ γνωρισθέντων μετὰ τὸ ἀπελθεῖν
αὐτοὺς πρὸς Κωάδην, βασιλέα Περσῶν, καὶ συντάξασθαι αὐτῷ
ποιεῖν τὴν προδοσίαν τῆς ἰδίας χώρας, ὡς προείρηται· ἦσαν δὲ
οἱ γνωρισθέντες Σαμαρεῖται ὀνόματα πέντε· καὶ συσχεθέντες
ἀπηνέχθησαν πρὸς τὸν στρατηλάτην τῆς ἀνατολῆς, καὶ ἐξητά-
σθησαν παρ' αὐτῷ, καὶ ὡμολόγησαν τὴν προδοσίαν ἣν ἐμελέ-
των. τὰ δὲ πεπραγμένα αὐτῶν ἀνεγνώσθη τῷ βασιλεῖ Ἰουστι-
νιανῷ.

Ἐν αὐτῷ δὲ τῷ χρόνῳ ἐγένοντο σεισμοὶ κατὰ τόπον, καὶ λι-
ταῖς ἐσχόλαζον ἐν ἑκάστῃ πόλει.

Τῷ δὲ αὐτῷ καιρῷ καὶ πρεσβευτὴς ἐπέμφθη ὑπὸ τοῦ βασι-
B λέως Περσῶν πρὸς τὸν βασιλέα Ῥωμαίων· καὶ ἐπιδοὺς ἃς ἐπε-
φέρετο σάκρας ἀπελύθη κομισάμενος δῶρα.

Ὁ δὲ βασιλεὺς Ῥωμαίων ἀκούσας παρὰ τοῦ πατρικίου Ῥου-

1. ὡς] Adde οἱ. 3. λεπτίδας] Fort. λεπίδας.

finibus siti sunt: uti tradunt ii, quibus hoc compertum est. Qui quidem montes magnam ferunt auri copiam: ex pluviis enim imbribusque cadentibus terra de Montibus deorsum acta, Auri quasi laminae scaturiunt. Caeterum Montes hosce antea temporis, aeque a Persis ac Romanis, quidam cc. auri libris conduxerunt. Ex quo vero in potestatem sacratissimi Anastasii devenerunt mercedem condictam exinde Romani soli perceperunt. Caeterum hinc Pactis rumpendis oblata occasio.

In Proditionis vero, quam Samaritae moliebantur, notitiam Romani hoc modo pervenerunt. Quinque enim ex illorum primariis viris, (qui, paulo post iter susceptum supradictae Proditionis cum Coade Persa ineundae causa, innotuerant,) in reditu suo ex Perside comprehensi, coram Militum in Oriente Magistro adducti sunt: Quos Proditionis agitatae ubi postulasset, confitentes habuit statim reos. Quae vero de his acta sunt Justiniano imperatori legenda mittebantur.

Eodem tempore terrae motus ubique grassabantur; hominibus interim Litaniis ubique urbium vacantibus.

Eodem enim tempore Persarum Rex Legatum misit ad Imperatorem Romanum; qui traditis literis et muneribus donatus dimissus est.

Sed interim Imperator de Coadis Persarum Regis praevaricatione

φίνουτὴν παρὰ Κωάδου, βασιλέως Περσῶν, παράβασιν, ποιήσας O 194
θείας κελεύσεις κατέπεμψε πρὸς τὸν βασιλέα τῶν Αὐξουμιτῶν·
ὅστις βασιλεὺς Ἰνδῶν συμβολὴν ποιήσας μετὰ τοῦ βασιλέως τῶν
Ἀμεριτῶν Ἰνδῶν, κατὰ κράτος νικήσας παρέλαβε τὰ βασίλεια
αὐτοῦ καὶ τὴν χώραν αὐτοῦ πᾶσαν, καὶ ἐποίησεν ἀντ' αὐτοῦ βα-
σιλέα τῶν Ἀμεριτῶν Ἰνδῶν ἐκ τοῦ ἰδίου γένους Ἀγγάνην διὰ
τὸ εἶναι καὶ τὸ τῶν Ἀμεριτῶν Ἰνδῶν βασίλειον ὑπ' αὐτόν. καὶ
ἀποπλεύσας ὁ πρεσβευτὴς Ῥωμαίων ἐπὶ Ἀλεξάνδρειαν διὰ τοῦ
Νείλου ποταμοῦ καὶ τῆς Ἰνδικῆς θαλάσσης κατέφθασε τὰ Ἰνδικὰ C
μέρη. καὶ εἰσελθὼν παρὰ τῷ βασιλεῖ τῶν Ἰνδῶν, μετὰ χαρᾶς
πολλῆς ἐξενίσθη ὁ βασιλεὺς Ἰνδῶν, ὅτι διὰ πολλῶν χρόνων ἠξιώ-
θη μετὰ τοῦ βασιλέως Ῥωμαίων κτήσασθαι φιλίαν. ὡς δὲ
ἐξηγήσατο ὁ αὐτὸς πρεσβευτής, ὅτε ἐδέξατο αὐτὸν ὁ τῶν Ἰνδῶν
βασιλεύς, ὑφηγήσατο τὸ σχῆμα τῆς βασιλικῆς τῶν Ἰνδῶν κατα-
στάσεως ὅτι γυμνὸς ὑπῆρχε καὶ κατὰ τοῦ ζώσματος εἰς τὰς ψύας
αὐτοῦ λινόχρυσα ἱμάτια, κατὰ δὲ τῆς γαστρὸς καὶ τῶν ὤμων
φορῶν σχιαστὰς διὰ μαργαριτῶν καὶ κλαβία ἀνὰ πέντε καὶ
χρυσᾶ ψέλια εἰς τὰς χεῖρας αὐτοῦ, ἐν δὲ τῇ κεφαλῇ αὐτοῦ λινό- O 195
χρυσον φακιόλιν ἐσφενδονισμένον, ἔχον ἐξ ἀμφοτέρων τῶν μερῶν
σειρὰς τέσσαρας, καὶ μανιάκιν χρυσοῦν ἐν τῷ τραχήλῳ αὐτοῦ,
καὶ ἵστατο ὑπεράνω τεσσάρων ἐλεφάντων ἐχόντων ζυγὸν καὶ D
τροχοὺς δ', καὶ ἐπάνω, ὡς ὄχημα ὑψηλὸν ἠμφιεσμένον χρυσέοις
πετάλοις, ὥσπερ ἐστὶ τὰ τῶν ἀρχόντων τῶν ἐπαρχιῶν ὀχήματα

11. *ἠξιώθην* Ox. 16. *λινόχρυσα* Ch., Theophanes p. 207. A, *λινὰ χρυσᾶ* Ox. 17. *σχιαστὰς*] *σχιστὰ* Theophanes. *ibid.* *κλανία* Ox. Scripsi *κλαβία*, quod potest etiam *κλανία* scribi. V. Theophanes l. c.

certior a Rufino Patricio factus; Auxumitarum regem super his per sacras interpellavit. Regem hic Homeritarum Indorum, praelio cum eo commisso, penitus debellaverat; et regno ejus regioneque occupatis, regem ibi, ex genere suo Anganem constituerat; eo quod Homeritarum Indorum etiam regnum jam sibi subjectum haberet. Caeterum Legatus Romanorum, nave conscensa; Alexandriam versus cursum dirigit: Niloque flumine et Mari Indico trajectis, Indorum ad regiones pervenit. Cujus ad ingressum, Rex Indorum, summo ex gaudio, obstupuit: „Diu (inquiens) est, quod societatem cum Romanis ineundi me tenuit desiderium.“ Habitus autem Regis Indici, pompaque solennis, quibus Legatum Romanum (*uti ex ipsius ore didicimus,*) excepit erant hujusmodi. Nudus erat; a Zona vero circa lumbos vestis linea auro intertexta demittebatur; ab humeris autem ad ventrem pendebat tunica soluta, margaritis et claneis, per quiniones distributis insignita: manibusque armillas aureas gestabat. Caput ejus pileo lineo, auro intertexto et contortuplicato, IV. catenulas utrinque demittente, collum vero monili aureo ornabantur. Currui vero insedebat alto, quatuor rotis suffulto, quatuorque Elephantis tracto, qui petalis quatuor aureis, (qualibus argenteis Provinciarum Praefecti utuntur) circum-

ἀργύρῳ ἠμφιεσμένα. καὶ ἵστατο ἐπάνω ὁ βασιλεὺς τῶν Ἰνδῶν βαστάζων σκουτάριον μικρὸν κεχρυσωμένον καὶ δύο λαγκίδια καὶ αὐτὰ κεχρυσωμένα κατέχων ἐν ταῖς χερσὶν αὐτοῦ. καὶ οὕτως ἵστατο πᾶσα ἡ σύγκλητος αὐτοῦ μεθ' ὅπλων καὶ αὐλοὶ ᾄδοντες μέλη μουσικά.

Καὶ εἰσενεχθεὶς ὁ πρεσβευτὴς Ῥωμαίων, κλίνας τὸ γόνυ προσεκύνησε· καὶ ἐκέλευσεν ὁ βασιλεὺς Ἰνδῶν ἀναστῆναί με καὶ
E ἀναχθῆναι πρὸς αὐτόν. καὶ δεξάμενος τὴν τοῦ βασιλέως Ῥωμαίων σάκραν κατεφίλησε τὴν σφραγῖδα. δεξάμενος δὲ καὶ τὰ δῶρα τὰ πεμφθέντα ὑπὸ τοῦ βασιλέως ἐξεπλάγη. λύσας δὲ καὶ ἀναγνοὺς δι' ἑρμηνέως τὰ γράμματα, εὗρε περιέχοντα ὥστε ὁπλίσασθαι αὐτὸν κατὰ Κωάδου, βασιλέως Περσῶν, καὶ τὴν
O 195 πλησιάζουσαν αὐτῷ χώραν ἀπολέσαι καὶ τοῦ λοιποῦ μηκέτι συνάλλαγμα ποιῆσαι μετ' αὐτοῦ, ἀλλὰ δι' ἧς ὑπέταξε χώρας τῶν
V 68 Ἀμεριτῶν Ἰνδῶν διὰ τοῦ Νείλου ἐπὶ τὴν Αἴγυπτον ἐν Ἀλεξανδρείᾳ τὴν πραγματείαν ποιεῖσθαι. καὶ εὐθέως ὁ βασιλεὺς Ἰνδῶν Ἐλεσβόας ἐπ' ὄψεσι τοῦ πρεσβευτοῦ Ῥωμαίων ἐκίνησε πόλεμον κατὰ Περσῶν, προπέμψας καὶ τοὺς ὑπ' αὐτὸν Ἰνδοὺς Σαρακηνούς, ἐπῆλθε τῇ Περσικῇ χώρᾳ ὑπὲρ Ῥωμαίων, δηλώσας τῷ βασιλεῖ Περσῶν τοῦ δέξασθαι τὸν βασιλέα Ἰνδῶν πολεμοῦντα αὐτῷ καὶ ἐκπορθῆσαι πᾶσαν τὴν ὑπ' αὐτοῦ βασιλευομένην γῆν. καὶ πάντων οὕτως προβάντων ὁ βασιλεὺς Ἰνδῶν κρατήσας τὴν

7. με] τε? 12. *Κωάδου*] *Κωάδους* Ox. 17. Ἐλεσβόας] Ἐλεσβαᾶς Nonnosus Photii cod. 3., Theophanes p. 144. D. 18. καὶ] Immo δὲ. *ibid.* αὐτὸν Ch., αὐτῶν Ox.

dabatur: Huic insidens Indorum Rex, scutum parvum deauratum, lanceolasque duas et ipsas deauratas, manibus gestabat. Stipatus autem erat a Primoribus suis et ipsis similiter armatis, Choroque ad tibias carmina musica modulante.

Introductus autem Legatus Romanus, in genua procidens, Regem veneratus est: sed Me [dixit Legatus] Rex surgere jussit et propius accedere. Acceptis autem Romani Imperatoris literis, sigillum deosculatus est: Donis etiam ab Imperatore missis acceptis; scilicet obstupuit. Apertis deinde literis Imperatoriis, perque Interpretem lectis, id Imperatorem Romanum a se poscere intellexit, uti Coadem bello aggrederetur; disperditisque Persarum vicinis regionibus, commercia cum illis non amplius haberet: sed per Homeritarum quam sibi subjugaverat regionem, perque Nilum Aegyptum petens, Alexandriae potius mercaturam exerceret. Sine mora igitur Indorum Rex Elesboas, Legati ipsius in conspectu, adversus Persas arma movet; praemissisque quos sub se habuit Saracenis Indis, Persidem statim, Romanorum causa, invasit; simul Regem Persarum per literas monens, hostem uti sibi expectaret Indorum Regem, Romanorum partes agentem, Persicique quodcunque esset imperii devastantem. Succedentibus itaque ad hunc modum omnibus, Indorum Rex Legatum Roma-

κεφαλὴν τοῦ πρεσβευτοῦ Ῥωμαίων, δεδωκὼς εἰρήνης φίλημα, ἀπέλυσεν ἐν πολλῇ θεραπείᾳ. κατέπεμψε γὰρ καὶ σάκρας διὰ Ἰνδοῦ πρεσβευτοῦ καὶ δῶρα τῷ βασιλεῖ Ῥωμαίων.

Ἐν αὐτῷ δὲ τῷ χρόνῳ κατεπέμφθη δέησις παρὰ Γιλδερίχου, B ῥηγὸς τῶν Ἀφρῶν, ὡς τυραννήσαντος τοῦ ἰδίου ἐξαδέλφου κατ᾽ αὐτοῦ, καὶ πόλεμον τῶν Μαυρουσίων κατὰ τῶν Ἀφρῶν συμβα- O 197 λόντων, παρέλαβον πολλὴν αὐτοῦ χώραν, ἐν οἷς παρελήφθη ἡ παρ᾽ αὐτοῖς λεγομένη Τρίπολις καὶ Λεπτωμὰ καὶ Σαβαθὰ καὶ τὸ Βυζάκιν, αἰχμαλωτίσαντες ἐπὶ μονὰς δέκα. καὶ ἐπεστράτευσε κατ᾽ αὐτῶν ὁ αὐτὸς ῥὴξ τῶν Ἀφρῶν Γιλδερίχος πλῆθος ἔχων πολὺ σὺν στρατηγῷ ὀνόματι Γελίμερ· ὅστις συμβαλὼν μετὰ Μαυρουσίων περιεγένετο κατὰ κράτος. καὶ συνάψας φιλίαν μετ᾽ αὐτῶν ἔλαβεν αὐτοὺς εἰς συμμαχίαν, καὶ τυραννήσας εἰσῆλθε κατὰ τοῦ αὐτοῦ Γιλδερίχου ἐν Καρταγένῃ, καὶ συνέλαβεν C αὐτὸν καὶ ἀποκλείσας αὐτὸν ἐν οἴκῳ μετὰ τῆς γυναικὸς αὐτοῦ καὶ τῶν τέκνων αὐτοῦ, φονεύσας καὶ τοὺς συγκλητικούς. καὶ ἔπεμψεν ὁ αὐτὸς Γελίμερ διὰ τοῦ ἰδίου πρεσβευτοῦ δῶρα τῷ βασιλεῖ Ἰουστινιανῷ· καὶ μηνυθέντων τῷ βασιλεῖ Ῥωμαίων ἠγανάκτησε κατ᾽ αὐτῶν ἕνεκεν τοῦ ῥηγὸς τῶν Ἀφρῶν· ἦν γὰρ μαθὼν τὴν γενομένην τυραννίδα κατὰ Γιλδερίχου· καὶ ἀπέλυσεν αὐτοὺς μεθ᾽ ὕβρεως πολλῆς. καὶ ἐκπέμψας μαγιστριανὸν ἐν Ῥώ-

4. Θευδερίχου et 10. Θευδερίχος Ox. Γιλδερίχου et Γιλδερίχος Ch. 8. Λεπτωμὰ] *Leplin magnam* dicit: monuit Ch. *ibid.* Σαβαθὰ] Σαβαθρὰ Procopio et Ptolemaeo: v. interpretes Antonini p. 61. ed. Wessel. 9. Βυζάκιν Ch., Βιζάκιν Ox. 11. κατὰ Ox. 15. ἀποκλείσαντες Ox., ἀποκλείσας Ch.

num, capite ejus prehenso, datoque ei pacis osculo, perquam honorifice dimisit; missis etiam Imperatori Romano, per Legatum Indorum, literis Regis et muneribus.

Eodem tempore supplex Imperatorem suppetias rogavit Theuderichus, Afrorum Rex; patruelis sui de tyrannide conquestus. Quippe Maurusii cum Afris bello congredientes, bene multas eorum urbes occupaverant; quas inter Tripolis, (uti illis vocatur,) Leptoma, Sabatha et Byzacium fuere; sed et per x. dierum itineris spatium, e regionibus undique Captivos abduxerunt. Theudericus itaque, Afrorum Rex, eos bello vicissim aggreditur, numeroso exercitu instructus, quem Gelimer ducebat: qui praelio cum Maurusiis commisso, eos penitus profligavit. Caeterum foedere deinde cum eis inito, belli socios eosdem sibi adjunxit; tyrannidemque capessens, in Gilderichum ipsum arma movit; Carthaginemque veniens, ipsum cum uxore liberisque comprehensum incarceravit; primoribus interim regni de medio sublatis. Deinde Gelimer Justiniano Imperatori, per Legatum suum, munera mittit: de quibus ubi audivisset Imperator, eis offensus est Gilderici scilicet Afrorum Regis causa: (de Tyrannide enim in illum agitata jamjam rescierat:) Legatum vero omni cum oppro-

μὴ πρὸς τὸν ῥῆγα Ἀθαλάριχον, ἔκγονον τοῦ Οὐαλεμεριακοῦ, δηλώσας αὐτῷ τοῦ μὴ δέξασθαι πρεσβευτὰς παρὰ Γελίμερ ἐκπεμπομένους πρὸς αὐτόν, μήτε δὲ τὴν ὀνομασίαν αὐτοῦ εἰς ῥῆγα, διότι ἐστὶ τύραννος. καὶ δεξάμενος τὰ ἐκπεμφθέντα D γράμματα παρὰ τοῦ βασιλέως καὶ στοιχήσας, οὐκ ἐδέξατο πρεσβευτὰς παρὰ Γελίμερ τοῦ Ἄφρου.

Ἐν αὐτῷ δὲ τῷ χρόνῳ ὁ αὐτὸς βασιλεὺς ἀγωνίσασθαι βουλόμενος κατὰ Περσῶν διὰ γῆς τε καὶ θαλάσσης, ἐκπέμπει στράτευμα τοῦ φυλάξαι ἀτάραχον τὴν πολιτείαν Ῥωμαίων.

Τῷ δὲ αὐτῷ χρόνῳ δέησις κατεπέμφθη Ἐφραϊμίῳ πατριάρχῃ παρὰ τῶν ἀπομεινάντων ἐν αἰχμαλωσίᾳ ὑπὸ Ἀλαμουνδάρου Σαρακηνοῦ, ὡς πικραῖς τιμωρίαις δεδέσθαι αὐτούς. τινὰς γὰρ καὶ ἀπεκεφάλισεν ἐξ αὐτῶν, φοβούμενος μήπως καὶ προδοσία ἐξ αὐτῶν γένηται. καί τινες προσπεσόντες αὐτῷ παρεκάλεσαν E ὀλίγων ἡμερῶν ἔνδοσιν γενέσθαι αὐτοῖς πρὸς τὸ πέμψαι δέησιν ἐν τῇ Ῥωμαίων πολιτείᾳ τοῦ ἐκπεμφθῆναι χρήματα εἰς ἀνάῤῥυσιν αὐτῶν. καὶ ταῦτα ἀκούσας Ἀλαμούνδαρος, χαίρων, φησί, παρεκλήθη· καὶ δεδωκὼς προθεσμίαν ἡμερῶν ἑξήκοντα, ἀντιφωνήσαντος ὑπὲρ αὐτῶν Ταϊζάνου τοῦ ἀρχιφύλου Σαρακηνῶν, καὶ τῆς δεήσεως ἐκπεμφθείσης, ἀνεγνώσθη ἐν Ἀντιοχείᾳ, καὶ μετὰ δακρύων πάντες εἰς τὰ λεγόμενα γαζοφυλάκια ἐν ἑκάστῃ O 199 V 69 ἐκκλησίᾳ καθ' ὃ ηὐπόρει τις μετεδίδου. ἐν οἷς πρῶτος κατα-

1. Οὐαλεμεριακοῦ scripsi repetitis proximis litteris. V. p. 64. C. Ἀλεμεριακοῦ Ox. 6. Γελίμερ] Γελίμαρ Ox. 15. πέμψαι] πέμψας Ox.

brio dimisit. Quin et Magistrianum quoque Romam misit, qui regem Athalaricum, Alemeriaci F. moneret; ne Legatos a Gelimere missos omnino exciperet; sed nec Regem eum, ut qui Tyrannus esset appellaret. Cui etiam Athalarichus, acceptis ejus literis et perlectis, morem gessit; nec Gelimeris Afri Legatos excipere dignatus est.

Iisdem temporibus Imperator Persas terra marique bello aggressurus, exercitum amisit, qui res interim Imperii ubique praestaret integras.

Eodem tempore, qui supererant in bello captorum ab Alamundaro Saraceno, supplices ad Ephraemium Patriarcham referebant; utpote in quos Alamundarus graviter animadverterat: eorum enim nonnullis capita, cavens sibi a Proditionibus amputaverat. Caeteri procidentes ei ad pedes, paucorum dierum inducias sibi dari petebant, interim dum ad Romanos suos mittere poterant, qui pecunias sibi redimendis impetratum irent. Exoratus Alamundarus, (ut cui ista satis arriderent;) licentiam illis in LX. dies concessit; Expromissorem pro eis se praestante Taizane, Saracenorum Archiphylo. Libellus itaque supplex Antiochiam delatus, ubi coram populo perlectus est, illachrymantes omnes, pro re quisque sua, singulas per Ecclesias, in Gazophylacia stipem conjecerunt. Praeibat

νυχθεὶς ὁ πατριάρχης σὺν τοῖς κληρικοῖς καὶ τοῖς ἄρχουσιν ἐξ οἰκείας προαιρέσεως μετέδωκαν. καὶ ἀναγνωσθείσης τῆς δεήσεως τῆς παρὰ τῶν αἰχμαλώτων πεμφθείσης, ᾔτησε πᾶς ὁ δῆμος τοῦ ἀχθῆναι πάνδημον· καὶ τοῦ πανδήμου ἀχθέντος καὶ τάπητος ἁπλωθέντος, ἕκαστος καθ' ὃ ηὐπόρει ἔῤῥιπτεν ἐν τῷ τάπητι. καὶ συναχθέντων πάντων καὶ ἐκπεμφθέντων ἀνεῤῥύσθησαν οἱ αἰχμάλωτοι.

Τῷ δὲ αὐτῷ χρόνῳ κατεπέμφθη ὁ μάγιστρος Ἑρμογένης ἐν τοῖς ἀνατολικοῖς μέρεσιν ἕνεκεν τοῦ Περσικοῦ πολέμου· ἦν γὰρ ὁ βασιλεὺς Ῥωμαίων μαθὼν ὅτι στρατηλάτης Περσῶν Ἐξαρὰθ ὀνόματι μετὰ Περσικῆς βοηθείας, ἔχων μεθ' ἑαυτοῦ καὶ βάνδον βασιλικόν, ὥρμησεν ἐπὶ τὰ Ῥωμαϊκά. καὶ Ἀλαμούνδαρος δέ, B βασιλίσκος Σαρακηνῶν, μετὰ πολλῆς ἐνόπλου βοηθείας, διὰ τοῦ Κιρκησίου ἐλθὼν ἀνεφάνη εἰς Καλλίνικον, πόλιν τῆς Ὀσδροηνῆς.

Καὶ γνοὺς ταῦτα Βελισάριος ὁ στρατηλάτης, ἀπελθὼν εἰς συμμαχίαν τῶν δουκῶν μετὰ χιλιάδων ὀκτώ, ἐν οἷς εὑρέθη καὶ Ἀρέθας ὁ φύλαρχος μετὰ χιλιάδων πέντε. ὁρμήσαντες δὲ οἱ O 200 Πέρσαι μετὰ τῶν ἰδίων Σαρακηνῶν νυκτὸς κατεσκήνωσαν πλησίον τοῦ κάστρου Γαββουλῶν, ἔχον παρακείμενον καὶ μικρὸν ποταμόν· καὶ ποιήσαντες ἐκεῖ φοσσᾶτον ἐσκόρπισαν πέριξ τοῦ φοσσάτου τριβόλους σιδηροῦς ἐπὶ πολὺ διάστημα, μίαν ἑαυτοῖς

3. ᾔτησε Ch., αἴτησε Ox. 14. Κιρκησίου] Κιρκισίου Ox. *ibid.* Ὀσδροηνῆς] Ὀσδροΐνης Ox.

aliis, misertus eorum, Patriarcha; qui cum Clero suo, Magistratibusque, pecunias libera manu impertivit. Quinetiam ubi captivorum Libellum supplicem lectum audivisset populus Antiochenus, singulis id efflagitantibus; publicus populi universi Conventus indictus est: ad diem itaque constitutum tapete explicato, symbolum suum quisque, pro facultatum suarum ratione porrigebat. Collectis demum pecuniis, et Alamundaro transmissis, Captivi liberati sunt.

Eodem tempore missus est in Orientem Hermogenes Magister, Belli Persici curam suscepturus: Quippe Imperatori nunciatum fuerat, Exarath, Persarum Ducem, Persica manu simul et Vexillo regio instructum, Romanas invasisse ditiones. Quin et Alamundarus, Saracenorum regulus, copiis quamplurimis instructus, Circesium praetergressus, Callinicum adusque, Osdroinae urbem pervenerat.

Certior autem de his factus Belisarius, octo cum millibus armatorum Ducibus in suppetias exit: quos inter Arethas fuit Phylarchus; cujus in exercitu V. millia numerabantur. Egressi vero cum Saracenis suis per noctem Persae, juxta Gabbulorum Castellum, quod fluviolus praeterfluebat, Castra posuerunt; fossatoque ibi facto, murices ferreos undique ad oram ejus, magno satis intervallo, dispergebant, unico loco, per quem exi-

C ἐάσαντες εἴσοδον. καὶ ἐλθόντος ὄπισθεν αὐτῶν Σουνίκα τοῦ δουκὸς μετὰ χιλιάδων τεσσάρων, καὶ εὑρηκώς τινας ἐκ τῶν Περσῶν καὶ Σαρακηνῶν πραιδεύοντας τὰ παρακείμενα χωρία καὶ καταδιώξας, ἐφόνευσεν ἐξ αὐτῶν ὀλίγους, συλλαβόμενος καί τινας ἐξ αὐτῶν· οὕστινας ἐξετάσας ἔμαθε περὶ τῶν βεβουλευμένων.

Ὁ δὲ μάγιστρος Ῥωμαίων καταλαβὼν τὴν Ἱεράπολιν, καὶ μαθὼν ὅτι εἰς τὰ Ῥωμαϊκὰ ἐσκήνωσαν οἱ Πέρσαι, ἐξελθὼν πρὸς
O 201 Βελισάριον πλησίον ὄντα τῶν Περσῶν μετὰ Στεφάνου καὶ Ἄψκαλ ἐξάρχων καὶ Σίμμα τοῦ δουκὸς μετὰ χιλιάδων τεσσάρων, ἐπὶ Βαρβαισισσὸν τὴν πόλιν· καὶ ἀγανακτήσαντος Βελισαρίου
D κατὰ Σουνίκα, διότι αὐθεντήσας ἐπῆλθε τῷ Περσικῷ στρατῷ, καὶ φθάσαντος τοῦ μαγίστρου ἐποίησεν αὐτοὺς γενέσθαι φίλους, προτρεψάμενος ὁρμῆσαι κατὰ Περσῶν. καὶ μεσολαβηθέντων τῶν Περσῶν σὺν τοῖς Σαρακηνοῖς ἐπὶ τὴν κώμην τὴν λεγομένην Βεσελαθὼν καὶ Βατνῶν καὶ τῶν πέριξ πόλεων, καὶ ποιήσαντες οἱ Πέρσαι διὰ ξύλων μηχανήματα καὶ διορύξαντες, ἔστρεψαν τὸ τεῖχος Γαββουλῶν, καὶ εἰσελθόντες ὅσους ηὗρον ἐφόνευσαν, ἐπαρόντες καὶ αἰχμαλώτους. καὶ ἄλλους δὲ τόπους παρέλαβον ποιήσαντες αἰφνιδίους καταδρομάς.

Οἱ δὲ Ἀντιοχεῖς ἀκούσαντες τὰ γενόμενα, ἔφυγον ἐπὶ τὴν

5. ἐξετάσας Ch., ἐξαιτάσας Ox. 11. Βαρβαισισσὸν τὴν πόλιν] „τοῦ Βαρβαλισσοῦ φρουρίου in hisce partibus meminit Procopius, de Bell. Pers. lib. 2. et de Justin. Aedific. Lib. 2. Forte hoc Castellum idem sit cum Auctoris nostri Βαρβαισισσῷ urbecula.“ Ch. 19. ἐπάροντες Ox. Vid. ad Chron. p. 395. D.

rent ipsi, vacuo relicto. Interim a tergo superveniens illis Sunica Dux, IV. Millibus armatorum stipatus, in Persas quosdam incidit, qui villas circumiacentes depraedabantur: quos insecutus, eorum nonnullis occisioni traditis, ab aliis quos comprehendi jussit, Consilia Persarum explorata habuit.

Romanorum autem Militum Magister, Hierapolim veniens, edoctusque Persas intra Romaniae fines castra posuisse; IV. Millibus Militum stipatus, urbem Barbasissum ae Belisarium accessit; qui ibi una cum Stephano et Apscal Exarchis et Simma Duce, non procul a Persis, consederat. Quinetiam Magister, Belisario (qui Sunicae, quod Persas injussus adortus fuisset irascebatur,) in causa fuit, ut in gratiam cum eo rediret; Persas simul omnes aggredi hortatus. Caeterum Persae jam Saracenis suis vicum inter, quem Beselathon vocant et Batnas, quaeque circumjacent urbes, medii a Romanis occupati, Machinis, quas fabricarunt sibi, ligneis, perfossos Gabbulorum muros everterunt: tum vero irrumpentes, obvios ibi quosque interfecerunt, vel captivos habuerunt. Quin et ex subito factis incursionibus, loca etiam alia occuparunt.

His auditis, Antiochenses in Maritimam Syriam se recipiebant. Du-

πάραλον τῆς Συρίας. τῶν δὲ στρατηγῶν Ῥωμαίων δηλωσάντων ἑαυτοῖς τοῦ ἑτοίμως ἔχειν συγκροῦσαι μετ᾽ αὐτῶν· ἦν γὰρ δηλωθὲν ἐκ τῶν Περσῶν τοῦ συναφθῆναι τὸν πόλεμον, καὶ παραλαβόντες πᾶσαν τὴν πραῖδαν, νυκτὸς ἔφυγον· καὶ μαθὼν ταῦτα Βελισάριος καὶ οἱ ἔξαρχοι Ῥωμαίων, ἐπιδιώξαντες κατέλαβον αὐτούς· καὶ στραφέντες οἱ Πέρσαι ἔστησαν, καὶ τάξαντες O 202 *ἑαυτοὺς ἐσκήνωσαν ἐπὶ τὸ λίμιτον πέραν τοῦ Εὐφράτου βουλευόμενοι. ὁμοίως δὲ καὶ οἱ ἔξαρχοι Ῥωμαίων στρατολογήσαντες ἔστησαν κατέναντι τῶν Περσῶν, κατὰ νώτου ἑαυτῶν τάξαν-* V 70 *τες τὸν Εὐφράτην, Βελισαρίου ἐπιτρέψαντος τὰ πλοῖα παρὰ τὰς ὄχθας τοῦ ποταμοῦ ἑστάναι. εἰς δὲ τὸ κατὰ μεσημβρίαν μέρος ἐσκήνωσεν Ἀρέθας μετὰ Δωροθέου καὶ Μάμαντιος, ἐξάρχων Ἰσαύρων, εἰς δὲ τὸ ἀρκτῷον Σουνίκας καὶ Σίμμας ἔχοντες στρατόν. καὶ τῇ ιθ´ τοῦ ἀπριλλίου ἐν ἁγίῳ σαββάτῳ τοῦ πάσχα ἐγένετο ἡ συμβολὴ τοῦ πολέμου. ὁρμησάντων γὰρ τῶν Περσῶν κατὰ Σουνίκα καὶ Σίμμα, καὶ ἀντιστάντων Ῥωμαίων, δόλῳ δέδωκαν οἱ Πέρσαι νῶτα ἐπὶ τοὺς ἰδίους ἑαυτῶν. καὶ ὑφ᾽ ἓν γενόμενοι Πέρσαι, προσεσχηκότες ὅτι Ῥωμαῖοι κατὰ νώτου ἔχουσι τὸν Εὐφράτην, ὁρμήσαντες σὺν τοῖς Σαρακηνοῖς συνέκρουσαν τὸν πόλεμον, καὶ πολλῶν πεσόντων ἐξ ἀμφοτέρων τῶν μερῶν, ἐν* B *οἷς ἔπεσον ἀπὸ μὲν Περσῶν Ἀνδράζης, χιλίαρχος, καὶ Νααμάν, υἱὸς Ἀλαμουνδάρου, ἐκ δὲ Ῥωμαίων Σαρακηνῶν ἐλήφθη Ἄβρος ὀνόματι δούξ· καὶ Στεφανάκιος δὲ πληγεὶς ἔπεσε. τῆς γὰρ*

16. *ἀνθιστάντων* Ox. *ibid. δέδωκαν*] V. p. seq. v. 7., supra p. 58. E.

